

HARVARD
UNIVERSITY
LIBRARY



O

BIBLIOTHECA BATAVA
SCRIPTORUM GRAECORUM ET ROMANORUM,
CURANTIBUS K. KUIPER, J. S. SPEYER, J. VAN WAGENINGEN.


QUINQUE DIALOGI PLATONICI:

EUTHYPHRO, APOLOGIA SOCRATIS, CRITO, PHAEDO, PROTAGORAS.

RECENSUIT ET BREVI ADNOTATIONE INSTRUXIT

HENRICUS VAN HERWERDEN,
PROFESSOR ORD. IN UNIVERSITATE RHENO-TRAIECTINA RUDE DONATUS.

LUGDUNI BATAVORUM, APUD G. F. THÉONVILLE.


HARVARD COLLEGE
APR 28 1909
LIBRARY.

VIRO CLARISSIMO, NOBILISSIMO,

BERNHARDO HENRICO CORNELIO CAROLO VAN DER WIJCK,

PHILOSOPHO PHILOPLATONI, COLLEGAE CONIUNCTISSIMO. MUNUS
ACADEMICUM, QUO PER ANNOS QUADRAGINTA TRES SUMMA
CUM GLORIA FUNCTUS EST, CUM OMNIUM DESIDERIO

DEPOSITURO,

QUA PAR EST OBSERVANTIA,

HUNC LIBELLUM D. D. D. EDITOR AMICISSIMUS.

PRAEFATIO.

Ne haec editio, praesertim studiosae iuventuti destinata, longa adnotatione in nimium pro bibliopolae honestissimi voluntate cresceret, statui in notulis criticis ea tantummodo commemorare quae spectant mutationes a me ipso introductas in textum, qualem constituit egregius Platonis editor Martinus Schanz, ad cuius editiones, quibus nemo Platonis studiosus carere potest, de reliquis correctionibus lectorem ablegare habeo satis.

Praeterea vero indicandae mihi sunt minutiae quaedam orthographicae, quibus recensio mea differt a Schanziana.

1) Ad mentem Cobeti (ut in scholis praecipere solebat) vocabula οὔκουν, οὐκοῦν, οὐκ οὖν ita distinxi, ut primum significet nonne *(vulgo apud Platonem eo sensu editur οὐκοῦν), alterum* ergo, *tertium* non igitur *(vulgo item οὔκουν).*

2) Articulum, substantive positum, donavi accentu, scribens ὃ μὲν — ὃ δέ, οἳ μὲν — οἳ δέ. Similiter pronomen indefinitum, ubicumque emphasin habet.

3) θἄτερον, θἀτέρου, θἀτέρῳ scripsi cum corona.

4) Quamvis conspirantibus hac in re titulis cum codicibus satis constet ipsos veteres nullam certam normam observasse in scribendis *elisionibus et crasibus, quibus tamen quin in* pronuntiando *Athenienses constanter usi sint vix potest dubitari, nihilominus ausus sum in hac editione multo constantius has adhibere quam fit in libris manuscriptis et editis, idque non alio consilio quam ut iuventus nostra penitus persentiscat admirabilem illam eurythmiam, qua insignis est elegantissima dictio Platonica;*

quam quae plurima onerantia, non ornantia, verba partim praeeuntibus aliis partim meo marte seclusi magistellorum aut lectorum esse additamenta, non potest quidem plerumque pro certo demonstrari, sed tamen callentibus stilum Platonicum veri simile videbitur admodum. Ceterum fac me hic illic excessisse modum, nihil legentibus facilius est quam removere cancellos; nam suo quisque fruatur iudicio necesse est, vos lectores vestro, meo equidem.

Sero animadverti me in Phaedone p. 137 sq. neglexisse verbum περιελίττειν *corrigere in formam sinceram atticam* περιειλίττειν, *servatam in libris pag. 182, 5 et confirmatam titulis.*

Similiter me poenitet non ubique Platoni reddidisse formas atticas saepius in eius libris servatas εἶπας, εἴπατε, εἰπάτην *pro hellenisticis* εἶπες, εἴπετε, εἰπέτην.

Pag. 153, 4 requiro ἑκάστῳ *pro* ἑκάστοις.

Contra formula parum logica δυοῖν θἅτερα *pro* θἅτερον, *quam interdun obviam suspectavi, non mutavi, fieri potest ut satis defendatur usu plurali vocabulorum* οὐδέτερα *et* μηδέτερα, *ubi numerus singularis expectatur.*

Notulis criticis hic illic tironum gratia inserui animadversiones exegeticas, grammaticas, historicas et fragmentorum indicationes.

Praeter Lectiones Rheno-traiectinas de coniecturis meis conferantur quae nuperrime scripsi et mox scripturus sum in Mnemosyne Batava.

Si paucissimis, ut confido, hic liber deturpatur vitiis typographicis, hoc bona ex parte debetur curae et industriae Iacobi van Wageningen, dilectissimi olim discipuli, nunc collegae coniunctissimi in universitate Groningana, qui in plagulis corrigendis gnaviter me adiuvit. Cui gratias ago habeoque quam maximas.

Scribebam Traiecti ad Rhenum m.
Aprili a. d. MCMVI. H. VAN HERWERDEN.

SIGLA.

B = codex Bodleianus sive Clarkianus sive Oxoniensis.
C = „ Crusianus sive Tubingensis.
D = „ Venetus 185.
E = „ Venetus 184 sive Bessarionis.
F = „ Vaticanus 1029.
G = „ Venetus Append. Class. 4, cod. 54.
T = „ Venetus Append. Class. 4, cod. 1.
V = „ Vindobonensis 109.
W = „ Vindobonensis 54, suppl. phil. Gr. 7.
Arm. = Versio Armeniaca.
Ars. = Papyrus Arsinoïticus a Flinders Petrie repertus.
Recentiores codicum manus literis minutis significantur.

Bad(ham), Bait(er), Bam(berg), Baum(ann), Bekk(er), Burg(es), Burn(et), Cob(et), For(ster), Gomp(erz), Hart(man), Heind(orf), Herm(ann), Hir(schig), Hoen(ebeek Calkoen), Lieb(enstein, Progr. schol. Vindob. 1877), Liebh(old), Madv(ig), Meist(erhans—Schwyzer, Grammatik der Att. Inschriften Berlin 1903), Nab(er), Rich(ards), Schleierm(acher), Sch(anz), Stallb(aum), vH(erwerden), Wohlr(ab), Zek. = *Ζηκίδης* (*Διορθώσεις εἰς Ἕλληνας συγγραφεῖς* Ath. 1904). Reliqua nomina plene scripta sunt.

Ath(enaeus), Clem(ens), Eus(ebius), Olymp(iodorus), Stob(aeus), Theod(oretus).

L(ectiones) Rh(eno-traiectinae) meae Leidae ap. E. J. Brill 1882.

ΕΥΘΥΦΡΩΝ

ἢ περὶ ὁσίου.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ
ΕΥΘΥΦΡΩΝ, ΣΩΚΡΑΤΗΣ. St. I p. 2

I. *ΕΥΘ.* *Τί νεώτερον, ὦ Σώκρατες, γέγονεν, ὅτι σὺ* A *τὰς ἐν Λυκείῳ καταλιπὼν διατριβὰς ἐνθάδε νῦν διατρίβεις περὶ τὴν τοῦ βασιλέως στοάν; οὐ γάρ που καὶ σοί γε δίκη τις οὖσα τυγχάνει πρὸς τὸν βασιλέα ὥσπερ ἐμοί.*

ΣΩ. *Οὔ τοι δὴ Ἀθηναῖοί γε, ὦ Εὐθύφρον, δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν.*

ΕΥΘ. *Τί φῄς; γραφὴν σέ τις, ὡς ἔοικε, | γέγραπται;* B *οὐ γὰρ ἐκεῖνό γέ ⟨σου⟩ καταγνώσομαι, ὡς σὺ ἕτερον.*

ΣΩ. *Οὐ γὰρ οὖν.*

ΕΥΘ. *Ἀλλὰ σὲ ἄλλος;*

ΣΩ. *Πάνυ γε.*

ΕΥΘ. *Τίς οὗτος;*

ΣΩ. *Οὐδ' αὐτὸς πάνυ τι γιγνώσκω, ὦ Εὐθύφρον, τὸν ἄνδρα· νέος γάρ τίς μοι φαίνεται καὶ ἀγνώς· ὀνομάζουσι μέντοι αὐτόν, ὡς ἐγῷμαι, Μέλητον. ἔστι δὲ τῶν δήμων Πιθεύς, εἴ τινα νῷ ἔχεις Πιθέα Μέλητον οἷον τετανότριχα καὶ οὐ πάνυ εὐγένειον, ἐπίγρυπον δέ.*

ΕΥΘ. *Οὐκ ἐννοῶ, ὦ Σώκρατες· ἀλλὰ δὴ τίνα γραφήν σε | γέγραπται;* C

ΣΩ. *Ἥντινα; οὐκ ἀγεννῆ, ἔμοιγε δοκεῖ· τὸ γὰρ νέον ὄντα τοσοῦτον πρᾶγμα ἐγνωκέναι οὐ φαῦλόν ἐστιν· ἐκεῖνος γάρ, ὥς φησιν, οἶδε, τίνα τρόπον οἱ νέοι διαφθείρονται καὶ*

---

8. *γέ σου* (Steph.) Hir.] *γε.* | 16. *Πιθεύς — Πιθέα.* Vid. Meisterhans—Schwyzer p. 80, 10.] *Πιτθεύς — Πιτθέα.*

*τίνες οἱ διαφθείροντες αὐτούς. καὶ κινδυνεύει σοφός τις εἶναι·
καὶ τὴν ἐμὴν ἀμαθίαν κατιδὼν ὡς διαφθείροντος τοὺς ἡλι-
κιώτας αὐτοῦ, ἔρχεται κατηγορήσων μου ὡς πρὸς μητέρα
[πρὸς] τὴν πόλιν. καὶ φαίνεταί μοι τῶν πολιτικῶν μόνος*
D *ἄρχεσθαι ὀρθῶς· ὀρθῶς γάρ | ἐστι τῶν νέων πρῶτον ἐπιμε-
ληθῆναι, ὅπως ἔσονται ὅτι ἄριστοι, ὥσπερ γεωργὸν ἀγαθὸν
τῶν νέων φυτῶν εἰκὸς πρῶτον ἐπιμεληθῆναι, μετὰ δὲ τοῦτο
καὶ τῶν ἄλλων· καὶ δὴ καὶ Μέλητος ἴσως πρῶτον μὲν* |
3 *ἡμᾶς ἐκκαθαρεῖ τοὺς [τῶν νέων] τὰς βλάστας διαφθείροντας,
ὥς φησιν· ἔπειτα μετὰ τοῦτο δῆλον ὅτι τῶν πρεσβυτέρων
ἐπιμεληθεὶς πλείστων καὶ μεγίστων ἀγαθῶν αἴτιος τῇ πόλει
γενήσεται, ὥς γε τὸ εἰκὸς ξυμβῆναι ἐκ τοιαύτης ἀρχῆς
ἀρξαμένῳ.*

II. *ΕΥΘ. Βουλοίμην ἄν, ὦ Σώκρατες, ἀλλ' ὀρρωδῶ,
μὴ τοὐναντίον γένηται. ἀτεχνῶς γάρ μοι δοκεῖ ἀφ' Ἑστίας
ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σέ. καί
μοι λέγε, τί καὶ ποιοῦντά σέ φησι διαφθείρειν τοὺς νέους;*

B *ΣΩ. | Ἄτοπα, ὦ θαυμάσιε, ὡς οὕτω γ' ἀκοῦσαι. φησὶ
γάρ με ποιητὴν εἶναι θεῶν, καὶ ὡς καινοὺς ποιοῦντα θεούς,
τοὺς δ' ἀρχαίους οὐ νομίζοντα, ἐγράψατο τούτων αὐτῶν
ἕνεκα, ὥς φησιν.*

*ΕΥΘ. Μανθάνω, ὦ Σώκρατες· ὅτι δὴ σὺ τὸ δαιμόνιον
φῂς σαυτῷ ἑκάστοτε γίγνεσθαι. ὡς οὖν καινοτομοῦντός σου
περὶ τὰ θεῖα γέγραπται ταύτην τὴν γραφήν, καὶ ὡς διαβαλῶν
δὴ ἔρχεται εἰς τὸ δικαστήριον, εἰδὼς ὅτι εὐδιάβολα τὰ τοιαῦτα
πρὸς τοὺς πολλούς. καὶ ἐμοῦ γάρ τοι, ὅταν τι λέγω ἐν τῇ* |
C *ἐκκλησίᾳ περὶ τῶν θείων, προλέγων αὐτοῖς τὰ μέλλοντα,
καταγελῶσιν ὡς μαινομένου. καίτοι οὐδὲν ὅ τι οὐκ ἀληθὲς
εἴρηκα ὧν προεῖπον, ἀλλ' ὅμως φθονοῦσιν ἡμῖν πᾶσι τοῖς
τοιούτοις. ἀλλ' οὐδὲν αὐτῶν χρὴ φροντίζειν, ἀλλ' ὁμόσ' ἰέναι.*

III. *ΣΩ. Ὦ φίλ' Εὐθύφρον, ἀλλὰ τὸ μὲν καταγελασ-
θῆναι ἴσως οὐδὲν πρᾶγμα. Ἀθηναίοις γάρ τοι, ὡς ἐμοὶ*

---

4. Cobeti sententiae, antecedente comparatione alteram praep. delendam esse, pauci habuere fidem. Ita tamen solet Plato. | 9. *ἐκκαθαρεῖ* Hir.] *ἐκκαθαίρει.* — *τῶν νέων* del. Gomperz. | 15 sq. Schol: *ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν.*

δοκεῖ, οὐ σφόδρα μέλει, ἐάν τινα δεινὸν οἴωνται εἶναι, μὴ μέντοι διδασκαλικὸν τῆς αὑτοῦ σοφίας· ὃν δ' ἂν καὶ ἄλλους οἴωνται ποιεῖν τοιούτους, | θυμοῦνται, εἴτ' οὖν φθόνῳ, ὡς D *σὺ λέγεις, εἴτε δι' ἄλλο τι.*

ΕΥΘ. Τούτου οὖν πέρι ὅπως ποτὲ πρὸς ἔμ' ἔχουσιν, οὐ πάνυ ἐπιθυμῶ πειραθῆναι.

ΣΩ. Ἴσως γὰρ σὺ μὲν δοκεῖς σπάνιον σεαυτὸν παρέχειν καὶ διδάσκειν οὐκ ἐθέλειν τὴν σεαυτοῦ σοφίαν· ἐγὼ δὲ φοβοῦμαι, μὴ ὑπὸ φιλανθρωπίας δοκῶ αὐτοῖς ὅτιπερ ἔχω ἐκκεχυμένως παντὶ ἀνδρὶ λέγειν, οὐ μόνον ἄνευ μισθοῦ, ἀλλὰ καὶ προστιθεὶς ἂν ἡδέως, εἴ τίς μου ἐθέλοι ἀκούειν. εἰ μὲν οὖν, ὃ νυνδὴ ἔλεγον, μέλλοιέν μου καταγελᾶν, ὥσπερ σὺ φῂς σαυτοῦ, οὐδὲν ἂν εἴη ἀηδὲς | παίζοντας καὶ γελῶντας E *ἐν τῷ δικαστηρίῳ διαγαγεῖν, εἰ δὲ σπουδάσονται, τοῦτ' ἤδη ὅπῃ ἀποβήσεται ἄδηλον ⟨παντὶ⟩ πλὴν ὑμῖν τοῖς μάντεσιν.*

ΕΥΘ. Ἀλλ' ἴσως οὐδὲν ἔσται, ὦ Σώκρατες, πρᾶγμα, ἀλλὰ σύ τε κατὰ νοῦν ἀγωνιεῖ τὴν δίκην, οἶμαι δὲ καὶ ἐμὲ τὴν ἐμήν.

IV. *ΣΩ. Ἔστι δὲ δή σοι, ὦ Εὐθύφρον, τίς ἡ δίκη; φεύγεις αὐτὴν ἢ διώκεις;*

ΕΥΘ. Διώκω.

ΣΩ. Τίνα;

| *ΕΥΘ. Ὃν διώκων αὖ δοκῶ μαίνεσθαι.* 4

ΣΩ. Τί δέ; πετόμενόν τινα διώκεις;

ΕΥΘ. Πολλοῦ γε δεῖ πέτεσθαι, ὅς γε τυγχάνει ὢν εὖ μάλα πρεσβύτης.

ΣΩ. Τίς οὗτος;

ΕΥΘ. Ὁ ἐμὸς πατήρ.

ΣΩ. Ὁ σός, ὦ βέλτιστε;

ΕΥΘ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἔστιν δὲ τί τὸ ἔγκλημα καὶ τίνος ἡ δίκη;

ΕΥΘ. Φόνου, ὦ Σώκρατες.

ΣΩ. Ἡράκλεις! ἦ που, ὦ Εὐθύφρον, ἀγνοεῖται ὑπὸ τῶν

---

1. *ἐὰν]* *ἄν*, quod non est aetatis Platonicae, hic et saepius codd. Ubique mutavi. | 15. *παντὶ* add. Wohlr. | 17. fort. *τὴν* ⟨*σὴν*⟩.

πολλῶν, ὅπῃ ποτ' ὀρθῶς ἔχει. οὐ γάρ οἶμαί γε τοῦ ἐπιτυ- B χόντος [ὀρθῶς] αὐτὸ πρᾶξαι, ἀλλὰ | πόρρω που ἤδη σοφίας ἐλαύνοντος.

ΕΥΘ. Πόρρω μέντοι νὴ Δία, ὦ Σώκρατες.

ΣΩ. Ἔστιν δὲ δὴ τῶν οἰκείων τις ὁ τεθνεὼς ὑπὸ τοῦ σοῦ πατρός; ἢ δῆλα δή· οὐ γὰρ ἄν πού γ' ὑπὲρ ἀλλοτρίου ἐπεξῇσθα φόνου αὐτῷ.

ΕΥΘ. Γελοῖον, ὦ Σώκρατες, ὅτι οἴει τι διαφέρειν, εἴτ' ἀλλότριος εἴτ' οἰκεῖος ὁ τεθνεώς, ἀλλ' οὐ τοῦτο μόνον δεῖν φυλάττειν, εἴτ' ἐν δίκῃ ἔκτεινεν ὁ κτείνας εἴτε μή, καὶ εἰ μὲν ἐν δίκῃ, ἐᾶν, εἰ δὲ μή, ἐπεξιέναι, ἐάνπερ χὡ κτείνας C ξυνέστιός σοι καὶ ὁμοτράπεζος ᾖ. | ἴσον γὰρ τὸ μίασμα γίγνεται, ἐὰν ξυνῇς τῷ τοιούτῳ ξυνειδὼς καὶ μὴ ἀφοσιοῖς σεαυτόν τε κἀκεῖνον τῇ δίκῃ ἐπεξιών. ἐπεὶ ὅ γ' ἀποθανὼν πελάτης τις ἦν ἐμός, καὶ ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν. παροινήσας οὖν καὶ ὀργισθεὶς τῶν οἰκετῶν τινι τῶν ἡμετέρων ἀποσφάττει αὐτόν· ὁ οὖν πατὴρ ξυνδήσας τοὺς πόδας καὶ τὰς χεῖρας αὐτοῦ, καταβαλὼν εἰς τάφρον τινά, πέμπει δεῦρ' ἄνδρα πευσόμενον τοῦ ἐξηγητοῦ, D ὅ τι χρείη ποιεῖν. ἐν δὲ τούτῳ τῷ χρόνῳ τοῦ | δεδεμένου ὠλιγώρει τε καὶ ἠμέλει ὡς ἀνδροφόνου καὶ οὐδὲν ὂν πρᾶγμα, εἰ καὶ ἀποθάνοι· ὅπερ οὖν καὶ ἔπαθεν. ὑπὸ γὰρ λιμοῦ καὶ ῥίγους καὶ τῶν δεσμῶν ἀποθνήσκει πρὶν τὸν ἄγγελον παρὰ τοῦ ἐξηγητοῦ ἀφικέσθαι. ταῦτα δὴ οὖν καὶ ἀγανακτεῖ ὅ τε πατὴρ καὶ οἱ ἄλλοι οἰκεῖοι, ὅτι ἐγὼ ὑπὲρ τοῦ ἀνδροφόνου τῷ πατρὶ φόνου ἐπεξέρχομαι, οὔτ' ἀποκτείναντι, ὥς φασιν ἐκεῖνοι, οὔτ' εἰ ὅτι μάλιστ' ἀπέκτεινεν, ἀνδροφόνου γ' ὄντος τοῦ ἀποθανόντος, οὐ δεῖν φροντίζειν ὑπὲρ τοῦ τοιούτου· E ἀνόσιον γὰρ | εἶναι τὸ ὑὸν πατρὶ φόνου ἐπεξιέναι· κακῶς

---

1. ἔχει] lacunam post ἔχει statuit Madv., ut fere exciderit ἐπεξιέναι τῷ πατρὶ aut αὕτη ἡ πρᾶξις φόνου. cf. 4 D; 9 A; 15 D.; ἔχεις vix recte Adams. | 2. Alterum ὀρθῶς del. Bur. | 7. ἐπεξῇσθα] ἐπεξήειεσθα. | 11. χὡ coni. Sch.]. | 12. ξυνέστιος B.] συνέστιος. | 15. Schol. πελάτης] ὁ ἀντιστροφῶν (l. ἀντὶ τροφῆς) καὶ ὑπηρετῶν κτε. | 28. δεῖν = δέον, sec. Usenerum, coll. πλεῖν = πλέον. De qua doctrina subdubitans malim δέον cum Stephano.

εἰδότες, ὦ Σώκρατες, [τὸ θεῖον ὡς ἔχει] τοῦ ὁσίου τε πέρι καὶ τοῦ ἀνοσίου.

ΣΩ. Σὺ δὲ δὴ πρὸς Διός, ὦ Εὐθύφρον, οὑτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν θείων, ὅπῃ ἔχει, καὶ τῶν ὁσίων τε καὶ ἀνοσίων, ὥστε τούτων οὕτω πραχθέντων, ὡς σὺ λέγεις, οὐ φοβεῖ δικαζόμενος τῷ πατρί, ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων;

ΕΥΘ. Οὐδὲν γάρ ἄν μου ὄφελος εἴη, ὦ Σώκρατες, οὐδέ τῳ ἂν διαφέροι | Εὐθύφρων τῶν πολλῶν ἀνθρώπων, εἰ μὴ τὰ τοιαῦτα πάντ' ἀκριβῶς εἰδείην.

V. *ΣΩ. Ἆρ' οὖν μοι, ὦ θαυμάσιε [Εὐθύφρον], κράτιστόν ἐστι μαθητῇ σῷ γενέσθαι καὶ πρὸ τῆς γραφῆς τῆς πρὸς Μέλητον αὐτὰ ταῦτα προκαλεῖσθαι αὐτὸν λέγοντα, ὅτι ἔγωγε καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τὰ θεῖα περὶ πολλοῦ ἐποιούμην εἰδέναι, καὶ νῦν ἐπειδή μ' ἐκεῖνος αὐτοσχεδιάζοντά φησι καὶ καινοτομοῦντα περὶ τῶν θείων ἐξαμαρτάνειν, μαθητὴς δὴ γέγονα σός — καὶ εἰ μέν, ὦ Μέλητε, φαίην ἄν, Εὐθύφρονα ὁμολογεῖς | σοφὸν εἶναι τὰ τοιαῦτα, [καὶ] ὀρθῶς νομίζειν* B *ἔμ' ἡγοῦ καὶ μὴ δικάζου· εἰ δὲ μή, ἐκείνῳ τῷ διδασκάλῳ λάχε δίκην πρότερον ἢ ἐμοί, ὡς τοὺς πρεσβυτέρους διαφθείροντι, ἐμέ τε καὶ τὸν αὑτοῦ πατέρα, ἐμὲ μὲν διδάσκοντι, ἐκεῖνον δὲ νουθετοῦντί τε καὶ κολάζοντι — κἂν μή μοι πείθηται μηδ' ἀφίῃ τῆς δίκης ἢ ἀντ' ἐμοῦ γράφηται σέ, αὐτὰ ταῦτα λέγειν ἐν τῷ δικαστηρίῳ, ἃ προυκαλούμην αὐτόν;*

ΕΥΘ. Ναὶ μὰ Δία, ὦ Σώκρατες, εἰ ἄρ' ἔμ' ἐπιχειρήσειε γράφεσθαι, εὕροιμ' ἄν, ὡς | οἶμαι, ὅπῃ σαθρός ἐστιν, καὶ C *πολὺ ἂν ἡμῖν πρότερον περὶ ἐκείνου λόγος ἐγένετ' ἐν τῷ δικαστηρίῳ ἢ περὶ ἐμοῦ.*

ΣΩ. Κἀγώ τοι, ὦ φίλ' ἑταῖρε, ταῦτα γιγνώσκων μαθητὴς ἐπιθυμῶ γενέσθαι σός, εἰδώς, ὅτι καὶ ἄλλος πού τις καὶ ὁ Μέλητος οὗτος σὲ μὲν οὐδὲ δοκεῖ ὁρᾶν, ἐμὲ δ' οὕτως ὀξέως καὶ ῥᾳδίως κατεῖδεν, ὥστ' ἀσεβείας ἐγράψατο. νῦν οὖν πρὸς Διὸς λέγε μοι, ὃ νυνδὴ σαφῶς εἰδέναι διισχυρίζου· ποῖόν

---

1. expunxi suspecta Schanzio. | 11. hic et alibi in similibus e mente Cobeti delevi nomen. | 18. *καὶ* del. Bur. | 25. *ἄρ' ἔμ'* v. H.] *ἄρα με*. | 27. *ἐκείνου*] scil. ut causa casuri.

τι τὸ εὐσεβὲς φῂς εἶναι καὶ τὸ ἀσεβὲς καὶ περὶ φόνου καὶ
D περὶ τῶν ἄλλων; ἢ οὐ | ταὐτόν ἐστιν ἐν πάσῃ πράξει τὸ
ὅσιον αὐτὸ αὑτῷ, καὶ τὸ ἀνόσιον αὖ τοῦ μὲν ὁσίου παντὸς
ἐναντίον, αὐτὸ δ' αὑτῷ ὅμοιον καὶ ἔχον μίαν τιν' ἰδέαν
[κατὰ τὴν ὁσιότητα] πᾶν, ὅτιπερ ἂν μέλλῃ ἀνόσιον εἶναι;

ΕΥΘ. Πάντως δήπου, ὦ Σώκρατες.

VI. ΣΩ. Λέγε δή, τί φῂς εἶναι τὸ ὅσιον καὶ τί τὸ ἀνόσιον;

ΕΥΘ. Λέγω τοίνυν, ὅτι τὸ μὲν ὅσιόν ἐστιν ὅπερ ἐγὼ
νῦν ποιῶ, τῷ ἀδικοῦντι ἢ περὶ φόνους ἢ περὶ ἱερῶν κλοπὰς
ἤ τι ἄλλο τῶν τοιούτων ἐξαμαρτάνοντι ἐπεξιέναι, ἐάντε πατὴρ
E ὢν τυγχάνῃ ἐάντε μήτηρ ἐάντ' ἄλλος | ὁστισοῦν, τὸ δὲ μὴ
ἐπεξιέναι ἀνόσιον· ἐπεί, ὦ Σώκρατες, θέασαι, ὡς μέγα σοι
ἐρῶ τεκμήριον τοῦ ὁσίου ὅτι οὕτως ἔχει, ὃ καὶ ἄλλοις ἤδη
εἶπον[, ὅτι ταῦτ' ὀρθῶς ἂν εἴη οὕτω γιγνόμενα, μὴ ἐπιτρέπειν
τῷ ἀσεβοῦντι μηδ' ἐὰν ὁστισοῦν τυγχάνῃ ὤν]· αὐτοὶ γὰρ
ἄνθρωποι τυγχάνουσι νομίζοντες τὸν Δία τῶν θεῶν ἄριστον
6 καὶ δικαιότατον, καὶ τοῦτον ὁμολογοῦσι τὸν | αὑτοῦ πατέρα
δῆσαι, ὅτι τοὺς ὑεῖς κατέπινεν οὐκ ἐν δίκῃ, κἀκεῖνόν γ' αὖ
τὸν αὑτοῦ πατέρα ἐκτεμεῖν δι' ἕτερα τοιαῦτα· ἐμοὶ δὲ χαλε-
παίνουσιν, ὅτι τῷ πατρὶ ἐπεξέρχομαι ἀδικοῦντι, καὶ οὕτως
αὐτοὶ αὑτοῖς τἀναντία λέγουσι περί τε τῶν θεῶν καὶ περὶ ἐμοῦ.

ΣΩ. Ἆρά γε, ὦ Εὐθύφρον, τοῦτ' ἔστιν, οὗ ἕνεκα τὴν
γραφὴν φεύγω, ὅτι τὰ τοιαῦτ' ἐπειδάν τις περὶ τῶν θεῶν
λέγῃ, δυσχερῶς πως ἀποδέχομαι; δι' ὃ δή, ὡς ἔοικε, φήσει
τίς μ' ἐξαμαρτάνειν. νῦν οὖν εἰ καὶ σοὶ ταῦτα ξυνδοκεῖ τῷ
B εὖ | εἰδότι περὶ τῶν τοιούτων, ἀνάγκη δή, ὡς ἔοικε, καὶ
ἡμῖν ξυγχωρεῖν. τί γὰρ καὶ φήσομεν, οἵ γ' αὐτοὶ ὁμολογοῦμεν
περὶ αὐτῶν μηδὲν εἰδέναι; ἀλλά μοι εἰπὲ πρὸς Φιλίου, σὺ
ὡς ἀληθῶς ἡγεῖ ταῦθ' οὕτως γεγονέναι;

ΕΥΘ. Καὶ ἔτι γε τούτων θαυμασιώτερα, ὦ Σώκρατες,
ἃ οἱ πολλοὶ οὐκ ἴσασιν.

ΣΩ. Καὶ πόλεμον ἄρ' ἡγεῖ σὺ εἶναι τῷ ὄντι ἐν τοῖς θεοῖς
πρὸς ἀλλήλους, καὶ ἔχθρας γε δεινὰς καὶ μάχας καὶ ἄλλα
τοιαῦτα πολλά, οἷα λέγεταί τε ὑπὸ τῶν ποιητῶν, καὶ ὑπὸ

7. τι τὸ TWArm.] τό. | 13. ὁσίου Hir.] νόμου, νομίμου Baum., τοὐν-
νόμου Sch. | 14—15. ὅτι — ὢν del. Sch.

τῶν ἀγαθῶν γραφέων τά τ' | ἄλλ' ἱερὰ ἡμῖν καταπεποίκιλται, C *καὶ δὴ καὶ τοῖς μεγάλοις Παναθηναίοις ὁ πέπλος μεστὸς τῶν τοιούτων ποικιλμάτων ἀνάγεται εἰς τὴν ἀκρόπολιν; ταῦτ' ἀληθῆ φῶμεν εἶναι, ὦ Εὐθύφρον;*

ΕΥΘ. Μὴ μόνον γε, ὦ Σώκρατες· ἀλλ' ὅπερ ἄρτι εἶπον, καὶ ἄλλα σοι ἐγὼ πολλά, ἐάνπερ βούλῃ, περὶ τῶν θείων διηγήσομαι, ἃ σὺ ἀκούων εὖ οἶδ' ὅτι ἐκπλαγήσει.

VII. *ΣΩ. Οὐκ ἂν θαυμάζοιμι. ἀλλὰ ταῦτα μέν μοι εἰς αὖθις ἐπὶ σχολῆς διηγήσει· νυνὶ δέ, ὅπερ ἄρτι σ' ἠρόμην, πειρῶ σαφέστερον εἰπεῖν. οὐ γάρ με, | ὦ ἑταῖρε, τὸ πρότερον* D *ἱκανῶς ἐδίδαξας ἐρωτήσαντα τὸ ὅσιον, ὅ τι ποτ' εἴη, ἀλλά μοι εἶπες, ὅτι τοῦτο τυγχάνει ὅσιον ὄν, ὃ σὺ νῦν ποιεῖς, φόνου ἐπεξιὼν τῷ πατρί.*

ΕΥΘ. Καὶ ἀληθῆ γ' ἔλεγον, ὦ Σώκρατες.

ΣΩ. Ἴσως. ἀλλὰ γάρ, ὦ Εὐθύφρον, καὶ ἄλλα πολλὰ φῂς εἶναι ὅσια.

ΕΥΘ. Καὶ γάρ ἐστιν.

ΣΩ. Μέμνησαι οὖν, ὅτι οὐ τοῦτό σοι διεκελευόμην, ἕν τι ἢ δύο με διδάξαι τῶν πολλῶν ὁσίων, ἀλλ' ἐκεῖν' αὐτὸ τὸ εἶδος, ᾧ πάντα τὰ ὅσια ὅσιά ἐστιν; ἔφησθα γάρ που μιᾷ ἰδέᾳ τά τ' ἀνόσι' ἀνόσι' εἶναι καὶ τὰ | ὅσι' ὅσια· ἢ οὐ μνημονεύεις; E

ΕΥΘ. Ἔγωγε.

ΣΩ. Ταύτην τοίνυν μ' αὐτὴν δίδαξον τὴν ἰδέαν, τίς ποτ' ἐστίν, ἵν' εἰς ἐκείνην ἀποβλέπων καὶ χρώμενος αὐτῇ παραδείγματι, ὃ μὲν ἂν τοιοῦτον ᾖ, ὧν ἂν ἢ σὺ ἢ ἄλλος τις πράττῃ, φῶ ὅσιον εἶναι, ὃ δ' ἂν μὴ τοιοῦτον, μὴ φῶ.

ΕΥΘ. Ἀλλ' εἰ οὕτω βούλει, ὦ Σώκρατες, καὶ οὕτω σοι φράσω.

ΣΩ. Ἀλλὰ μὴν βούλομαί γε.

ΕΥΘ. Ἔστι τοίνυν τὸ μὲν τοῖς θεοῖς προσφιλὲς ὅσιον, τὸ δὲ μὴ | προσφιλὲς ἀνόσιον. 7

ΣΩ. Παγκάλως, ὦ Εὐθύφρον, καὶ ὡς ἐγὼ ἐζήτουν ἀποκρίνασθαί σε, οὕτω νῦν ἀπεκρίνω. εἰ μέντοι ἀληθῶς, τοῦτ' οὔπω οἶδα, ἀλλὰ σὺ δῆλον ὅτι ἐπεκδιδάξεις, ὡς ἔστιν ἀληθῆ ἃ λέγεις.

ΕΥΘ. Πάνυ μὲν οὖν.

---

34. *ὡς — λέγεις* abesse malim.

VIII. *ΣΩ.* *Φέρε δή, ἐπισκεψώμεθα, τί λέγομεν. τὸ μὲν θεοφιλές τε καὶ ὁ θεοφιλὴς ἄνθρωπος ὅσιος, τὸ δὲ θεομισὲς καὶ ὁ θεομισὴς ἀνόσιος· οὐ ταὐτὸν δ' ἐστίν, ἀλλὰ τοὐναντιώτατον τὸ ὅσιον τῷ ἀνοσίῳ· οὐχ οὕτως;*

ΕΥΘ. *Οὕτω μὲν οὖν.*

ΣΩ. *Καὶ εὖ γε φαίνεται εἰρῆσθαι;*

B | *ΕΥΘ.* *Δοκῶ, ὦ Σώκρατες [εἴρηται γάρ].*

ΣΩ. *Οὐκοῦν καὶ ὅτι στασιάζουσιν οἱ θεοί, ὦ Εὐθύφρον, καὶ διαφέρονται ἀλλήλοις καὶ ἔχθρα ἐστὶν ἐν αὐτοῖς πρὸς ἀλλήλους, καὶ τοῦτ' εἴρηται;*

ΕΥΘ. *Εἴρηται γάρ.*

ΣΩ. *Ἔχθραν δὲ καὶ ὀργάς, ὦ ἄριστε, ἡ περὶ τίνων διαφορὰ ποιεῖ; ὧδε δὲ σκοπῶμεν. ἆρ' ἂν εἰ διαφεροίμεθ' ἐγώ τε καὶ σὺ περὶ ἀριθμοῦ, ὁπότερα πλείω, ἡ περὶ τούτων διαφορὰ ἐχθροὺς ἂν ἡμᾶς ποιοίη καὶ ὀργίζεσθαι ἀλλήλοις, ἢ ἐπὶ λογισμὸν ἐλθόντες περί γε τῶν τοιούτων ταχὺ ἂν* | C *ἀπαλλαγεῖμεν;*

ΕΥΘ. *Πάνυ γε.*

ΣΩ. *Οὐκοῦν καὶ περὶ τοῦ μείζονος καὶ ἐλάττονος εἰ διαφεροίμεθα, ἐπὶ τὸ μετρεῖν ἐλθόντες ταχὺ παυσαίμεθ' ἂν τῆς διαφορᾶς;*

ΕΥΘ. *Ἔστι ταῦτα.*

ΣΩ. *Καὶ ἐπί γε τὸ ἱστάναι ἐλθόντες, ὡς ἐγᾦμαι, περὶ τοῦ βαρυτέρου τε καὶ κουφοτέρου διακριθεῖμεν ἄν;*

ΕΥΘ. *Πῶς γὰρ οὔ;*

ΣΩ. *Περὶ τίνος δὲ δὴ διενεχθέντες καὶ ἐπὶ [τίνα] κρίσιν οὐ δυνάμενοι ἀφικέσθαι ἐχθροί γ' ἂν ἀλλήλοις εἶμεν καὶ ὀργιζοίμεθα; ἴσως οὐ πρόχειρόν σοί ἐστιν, ἀλλ' ἐμοῦ λέγον*D*τος | σκόπει, εἰ τάδ' ἐστὶ τό τε δίκαιον καὶ τὸ ἄδικον καὶ καλὸν καὶ αἰσχρὸν καὶ ἀγαθὸν καὶ κακόν. ἆρ' οὐ ταῦτ' ἐστιν, περὶ ὧν διενεχθέντες καὶ οὐ δυνάμενοι ἐφ' ἱκανὴν*

---

7. *εἴρηται γὰρ* del. Naber. | 15. *ποιοῖ* codd. Hanc similesque optativi singularis formas passim apud Platonem obvias recte philosopho abiudicasse videtur Cobet, quare ubique pro iis substitui formas atticas. | 26. *τίνα* Secl. Bait., *ἐπί τινα?* Sch.

κρίσιν αὐτῶν ἐλθεῖν ἐχθροὶ ἀλλήλοις γιγνόμεθα, ὅταν γιγνώμεθα, καὶ ἐγὼ καὶ σὺ καὶ οἱ ἄλλοι ἄνθρωποι πάντες;

ΕΥΘ. Ἀλλ' ἔστιν αὕτη ἡ διαφορά, ὦ Σώκρατες, καὶ περὶ τούτων.

ΣΩ. Τί δέ; οἱ θεοί, ὦ Εὐθύφρον, οὐκ εἴπερ τι διαφέρονται, διὰ ταῦτα διαφέροιντ' ἄν;

ΕΥΘ. Πολλὴ ἀνάγκη.

ΣΩ. Καὶ τῶν θεῶν ἄρα, ὦ γενναῖε [Εὐθύφρον], ἄλλοι E
ἄλλα δίκαια ⟨καὶ ἄδικα⟩ ἡγοῦνται κατὰ τὸν σὸν λόγον, καὶ καλὰ καὶ αἰσχρὰ καὶ ἀγαθὰ καὶ κακά· οὐ γὰρ ἄν που ἐστασίαζον ἀλλήλοις, εἰ μὴ περὶ τούτων διεφέροντο· ἦ γάρ;

ΕΥΘ. Ὀρθῶς λέγεις.

ΣΩ. Οὐκοῦν ἅπερ καλ' ἡγοῦνται ἕκαστοι καὶ ἀγαθὰ καὶ δίκαια, ταῦτα καὶ φιλοῦσιν, τὰ δ' ἐναντία τούτων μισοῦσιν;

ΕΥΘ. Πάνυ γε.

ΣΩ. Ταὐτὰ δέ γε, ὡς σὺ φῄς, οἱ μὲν δίκαι' ἡγοῦνται, οἱ δ' ἄδικα· περὶ ἃ καὶ ἀμφισβητοῦντες | στασιάζουσί τε καὶ 8
πολεμοῦσιν ἀλλήλοις. ἆρ' οὐχ οὕτω;

ΕΥΘ. Οὕτω.

ΣΩ. Ταὔτ' ἄρα, ὡς ἔοικεν, μισεῖται ὑπὸ τῶν θεῶν καὶ φιλεῖται, καὶ θεομισῆ τε καὶ θεοφιλῆ ταὔτ' ἂν εἴη.

ΕΥΘ. Ἔοικεν.

ΣΩ. Καὶ ὅσι' ἄρα καὶ ἀνόσια ταὔτ' ἂν εἴη, ὦ Εὐθύφρον, τούτῳ τῷ λόγῳ.

ΕΥΘ. Κινδυνεύει.

IX. ΣΩ. Οὐκ ἄρ' ὃ ἠρόμην ἀπεκρίνω, ὦ θαυμάσιε. οὐ γὰρ τοῦτό γ' ἠρώτων, ὃ τυγχάνει ταὐτὸν ὂν ὅσιόν τε καὶ ἀνόσιον· ὃ δ' ἂν θεοφιλὲς ᾖ, καὶ θεομισές ἐστιν, ὡς ἔοικεν. ὥστε, ὦ Εὐθύφρον, ὃ σὺ νῦν ποιεῖς τὸν | πατέρα B
κολάζων, οὐδὲν θαυμαστόν, εἰ τοῦτο δρῶν τῷ μὲν Διὶ προσφιλὲς ποιεῖς, τῷ δὲ Κρόνῳ καὶ τῷ Οὐρανῷ ἐχθρόν, καὶ τῷ μὲν Ἡφαίστῳ φίλον, τῇ δ' Ἥρᾳ ἐχθρόν· καὶ εἴ τις ἄλλος τῶν θεῶν ἕτερος ἑτέρῳ διαφέρεται περὶ αὐτοῦ, καὶ ἐκείνοις κατὰ ταὐτά.

---

8. delevi nomen. Cf. p. 5, l. 11 | 9. inserui cum Hir. *καὶ ἄδικα.* | 20. fort. *μισεῖταί* ⟨*τε*⟩. | 26. *ὃ*] Huiusmodi locis cum Cobeto malim ⟨*πρὸς*⟩ *ὃ*.

ΕΥΘ. *Ἀλλ' οἶμαι, ὦ Σώκρατες, περί γε τούτου τῶν θεῶν οὐδέν' ἕτερον ἑτέρῳ διαφέρεσθαι, ὡς οὐ δεῖ δίκην διδόναι ἐκεῖνον, ὃς ἂν ἀδίκως τιν' ἀποκτείνῃ.*

ΣΩ. *Τί δέ; ἀνθρώπων, ὦ Εὐθύφρον, ἤδη τινὸς ἤκουσας* C *ἀμφισβητοῦντος, ὡς τὸν ἀδίκως | ἀποκτείναντα ἢ ἄλλ' ἀδίκως ποιοῦντα ὁτιοῦν οὐ δεῖ δίκην διδόναι;*

ΕΥΘ. *Οὐδὲν μὲν οὖν παύονται ταῦτ' ἀμφισβητοῦντες καὶ ἄλλοθι καὶ ἐν τοῖς δικαστηρίοις. ἀδικοῦντες γὰρ πάμπολλα, πάντα ποιοῦσι καὶ λέγουσι φεύγοντες τὴν δίκην.*

ΣΩ. *Ἦ καὶ ὁμολογοῦσιν, ὦ Εὐθύφρον, ἀδικεῖν, καὶ ὁμολογοῦντες ὅμως οὐ δεῖν φασι σφᾶς διδόναι δίκην;*

ΕΥΘ. *Οὐδαμῶς τοῦτό γε.*

ΣΩ. *Οὐκ ἄρα πᾶν γε ποιοῦσι καὶ λέγουσι. τοῦτο γάρ, οἶμαι, οὐ τολμῶσι λέγειν οὐδ' ἀμφισβητεῖν, ὡς οὐχί, εἴπερ* D *ἀδικοῦσί γε, | δοτέον δίκην· ἀλλ', οἶμαι, οὔ φασιν ἀδικεῖν. ἢ γάρ;*

ΕΥΘ. *Ἀληθῆ λέγεις.*

[ΣΩ. *Οὐκ ἄρ' ἐκεῖνό γ' ἀμφισβητοῦσιν, ὡς οὐ τὸν ἀδικοῦντα δεῖ διδόναι δίκην· ἀλλ' ἐκεῖν' ἴσως ἀμφισβητοῦσι, τὸ τίς ἐστιν ὁ ἀδικῶν καὶ τί δρῶν καὶ πότε.*

ΕΥΘ. *Ἀληθῆ λέγεις.]*

ΣΩ. *Οὐκουν αὐτά γε ταῦτα καὶ οἱ θεοὶ πεπόνθασιν, εἴπερ στασιάζουσι περὶ τῶν δικαίων καὶ ἀδίκων, ὡς ὁ σὸς λόγος, καὶ οἱ μέν φασιν ἀλλήλους ἀδικεῖν, οἱ δ' οὔ φασιν; ἐπεὶ ἐκεῖνό γε δήπου, ὦ θαυμάσιε, οὐδεὶς οὔτε θεῶν οὔτ'* E *ἀνθρώπων | τολμᾷ λέγειν, ὡς οὐ τῷ γ' ἀδικοῦντι δοτέον δίκην.*

ΕΥΘ. *Ναί, τοῦτο μὲν ἀληθὲς λέγεις, ὦ Σώκρατες, τό γε κεφάλαιον.*

ΣΩ. *Ἀλλ' ἕκαστόν γε, οἶμαι, ὦ Εὐθύφρον, τῶν πραχθέντων ἀμφισβητοῦσιν οἱ ἀμφισβητοῦντες, καὶ ἄνθρωποι καὶ θεοί, εἴπερ ἀμφισβητοῦσιν θεοί· πράξεώς τινος πέρι διαφερόμενοι οἱ μὲν δικαίως φασὶν αὐτὴν πεπρᾶχθαι, οἱ δ' ἀδίκως· ἆρ' οὐχ οὕτω;*

ΕΥΘ. *Πάνυ γε.*

---

29. *γε* cum B om. Sch.

X. *ΣΩ.* Ἴθι νυν, ὦ φίλ' Εὐθύφρον, δίδαξον κἀ | μέ, 9
ἵνα σοφώτερος γένωμαι, τί σοι τεκμήριόν ἐστιν, ὡς πάντες
θεοὶ ἡγοῦνται ἐκεῖνον ἀδίκως τεθνάναι, ὃς ἂν θητεύων
ἀνδροφόνος γενόμενος, ξυνδεθεὶς ὑπὸ τοῦ δεσπότου τοῦ
ἀποθανόντος, φθάσῃ τελευτήσας διὰ τὰ δεσμά, πρὶν τὸν
ξυνδήσαντα παρὰ τῶν ἐξηγητῶν περὶ αὐτοῦ πυθέσθαι, τί
χρὴ ποιεῖν, καὶ ὑπὲρ τοῦ τοιούτου δὴ ὀρθῶς ἔχει ἐπεξιέναι
καὶ ἐπισκήπτεσθαι φόνου τὸν υἱὸν τῷ πατρί· ἴθι, περὶ τούτων
πειρῶ τί μοι σαφὲς ἐνδείξασθαι, ὡς παντὸς μᾶλλον πάντες
θεοὶ | ἡγοῦνται ὀρθῶς ἔχειν ταύτην τὴν πρᾶξιν· κἄν μοι B
ἱκανῶς ἐνδείξῃ, ἐγκωμιάζων σ' ἐπὶ σοφίᾳ οὐδέποτε παύσομαι.

ΕΥΘ. Ἀλλ' ἴσως οὐκ ὀλίγον ἔργον ἐστίν, ὦ Σώκρατες· ἐπεὶ πάνυ γε σαφῶς ἔχοιμ' ἂν ἐπιδεῖξαί σοι.

ΣΩ. Μανθάνω· ὅτι σοι δοκῶ τῶν δικαστῶν δυσμαθέστερος εἶναι· ἐπεὶ ἐκείνοις γ' ἐνδείξει δῆλον ὅτι, ὡς ἄδικά τ' ἐστιν καὶ οἱ θεοὶ ἅπαντες τὰ τοιαῦτα μισοῦσιν.

ΕΥΘ. Πάνυ γε σαφῶς, ὦ Σώκρατες, ἐάνπερ ἀκούωσί γέ μου λέγοντος.

XI. *ΣΩ.* Ἀλλ' ἀκούσονται, ἐάνπερ εὖ δοκῇς | λέγειν. C
τόδε δέ σου ἐνενόησα ἅμα λέγοντος, καὶ πρὸς ἐμαυτὸν σκοπῶ·
εἰ ὅτι μάλιστά μ' Εὐθύφρων διδάξειεν, ὡς οἱ θεοὶ ἅπαντες
τὸν τοιοῦτον θάνατον ἡγοῦνται ἄδικον εἶναι, τί μᾶλλον ἐγὼ
μεμάθηκα παρ' Εὐθύφρονος, τί ποτ' ἐστὶν τὸ ὅσιόν τε καὶ
τὸ ἀνόσιον; θεομισὲς μὲν γὰρ τοῦτο τοὔργον, ὡς ἔοικεν,
εἴη ἄν· ἀλλὰ γὰρ οὐ τούτῳ ἐφάνη ἄρτι ὡρισμένα τὸ ὅσιον
καὶ μή· [τὸ γὰρ θεομισὲς ὂν καὶ θεοφιλὲς ἐφάνη·] ὥστε
τούτου μὲν ἀφίημί σε, ὦ Εὐθύφρον, καὶ εἰ βούλει, πάντες
αὐτὸ | ἡγείσθων θεοὶ ἄδικον καὶ πάντες μισούντων. ἀλλ' ἆρα D
τοῦτο νῦν ἐπανορθώμεθ' ἐν τῷ λόγῳ, ὡς ὃ μὲν ἂν πάντες
οἱ θεοὶ μισῶσιν, ἀνόσιόν ἐστιν, ὃ δ' ἂν φιλῶσιν, ὅσιον· ὃ δ'
ἂν οἳ μὲν φιλῶσιν, οἳ δὲ μισῶσιν, οὐδέτερ' ἢ ἀμφότερα;
ἆρ' οὕτω βούλει ἡμῖν ὡρίσθαι νῦν περὶ τοῦ ὁσίου καὶ τοῦ
ἀνοσίου;

ΕΥΘ. Τί γὰρ κωλύει, ὦ Σώκρατες;

ΣΩ. Οὐδὲν ἐμέ γε, ὦ Εὐθύφρον, ἀλλὰ σὺ δὴ τὸ σὸν

---

26. τὸ — ἐφάνη del. Kleist. | 28. ἡγείσθων vH.] ἡγεισθωσαν.

σκόπει, εἰ τοῦθ' ὑποθέμενος οὕτω ῥᾳστά με διδάξεις ὃ ὑπέσχου.

E *ΕΥΘ. Ἀλλ' ἔγωγε φαίην ἂν τοῦτ' εἶναι | τὸ ὅσιον, ὃ ἂν πάντες οἱ θεοὶ φιλῶσιν, καὶ τοὐναντίον, ὃ ἂν πάντες ⟨οἱ⟩ θεοὶ μισῶσιν, ἀνόσιον.*

ΣΩ. Οὐκοῦν ἐπισκοπῶμεν αὖ τοῦτο, ὦ Εὐθύφρον, εἰ καλῶς λέγεται, ἢ ἐῶμεν καὶ οὕτω ἡμῶν τ' αὐτῶν ἀποδεχώμεθα καὶ τῶν ἄλλων, ἐὰν μόνον φῇ τίς τι ἔχειν οὕτω, ξυγχωροῦντες ἔχειν; ἢ σκεπτέον, τί λέγει ὁ λέγων;

ΕΥΘ. Σκεπτέον· οἶμαι μέντοι ἔγωγε τοῦτο νυνὶ καλῶς λέγεσθαι.

XII. *ΣΩ. Τάχ', ὠγαθέ, βέλτιον εἰσόμεθα. ἐννόησον γὰρ*
10 *τὸ τοιόνδε· ἆρα τὸ ὅσιον, ὅτι ὅσιόν ἐστιν, φιλεῖται ὑπὸ τῶν θεῶν, ἢ ὅτι φιλεῖται, ὅσιόν ἐστιν;*

ΕΥΘ. Οὐκ οἶδ' ὅ τι λέγεις, ὦ Σώκρατες.

ΣΩ. Ἀλλ' ἐγὼ πειράσομαι σαφέστερον φράσαι. λέγομέν τι φερόμενον καὶ φέρον καὶ ἀγόμενον καὶ ἄγον καὶ ὁρώμενον καὶ ὁρῶν· καὶ πάντα τὰ τοιαῦτα μανθάνεις ὅτι ἕτερ' ἀλλήλων ἐστὶ καὶ ᾗ ἕτερα;

ΕΥΘ. Ἔγωγέ μοι δοκῶ μανθάνειν.

ΣΩ. Οὐκοῦν καὶ φιλούμενόν τί ἐστιν καὶ τούτου ἕτερον τὸ φιλοῦν;

ΕΥΘ. Πῶς γὰρ οὔ;

B *ΣΩ. Λέγε δή μοι, πότερον τὸ | φερόμενον, διότι φέρεται, φερόμενόν ἐστιν, ἢ δι' ἄλλο τι;*

ΕΥΘ. Οὔκ, ἀλλὰ διὰ τοῦτο.

ΣΩ. Καὶ τὸ ἀγόμενον δή, διότι ἄγεται, καὶ τὸ ὁρώμενον, διότι ὁρᾶται;

ΕΥΘ. Πάνυ γε.

ΣΩ. Οὐκ ἄρα διότι ὁρώμενόν γ' ἐστιν, διὰ τοῦτο ὁρᾶται, ἀλλὰ τοὐναντίον διότι ὁρᾶται, διὰ τοῦτο ὁρώμενον· οὐδὲ διότι ἀγόμενόν ἐστιν, διὰ τοῦτ' ἄγεται, ἀλλὰ διότι ἄγεται, διὰ τοῦτ' ἀγόμενον· οὐδὲ διότι φερόμενον, φέρεται, ἀλλὰ διότι φέρεται, φερόμενον. ἆρα κατάδηλον, ὦ Εὐθύφρον,
C *ὃ βούλομαι λέγειν; | βούλομαι δὲ τόδε, ὅτι, εἴ τι γίγνεται ἢ*

4. *οἱ* om. TWArm., mox *οἱ* addidi.

τι πάσχει, οὐχ ὅτι γιγνόμενόν ἐστι, γίγνεται, ἀλλ' ὅτι γίγνεται, γιγνόμενόν ἐστιν· οὐδ' ὅτι πάσχον ἐστί, πάσχει, ἀλλ' ὅτι πάσχει, πάσχον ἐστίν· ἢ οὐ ξυγχωρεῖς οὕτω;

ΕΥΘ. Ἔγωγε.

ΣΩ. Οὔκουν καὶ τὸ φιλούμενον ἢ γιγνόμενόν τί ἐστιν ἢ πάσχόν τι ὑπό του;

ΕΥΘ. Πάνυ γε.

ΣΩ. Καὶ τοῦτ' ἄρ' οὕτως ἔχει, ὥσπερ τὰ πρότερα· οὐχ ὅτι φιλούμενόν ἐστιν, φιλεῖται ὑπὸ ὧν φιλεῖται, ἀλλ' ὅτι φιλεῖται, φιλούμενον;

ΕΥΘ. Ἀνάγκη.

ΣΩ. Τί δὴ οὖν λέγομεν περὶ τοῦ ὁσίου, | ὦ Εὐθύφρον; D ἄλλο τι φιλεῖται ὑπὸ θεῶν πάντων, ὡς ὁ σὸς λόγος;

ΕΥΘ. Ναί.

ΣΩ. Ἆρα διὰ τοῦτο, ὅτι ὅσιόν ἐστιν, ἢ δι' ἄλλο τι;

ΕΥΘ. Οὔκ, ἀλλὰ διὰ τοῦτο.

ΣΩ. Διότι ἄρ' ὅσιόν ἐστιν, φιλεῖται, ἀλλ' οὐχ ὅτι φιλεῖται, διὰ τοῦτο ὅσιόν ἐστιν;

ΕΥΘ. Ἔοικεν.

ΣΩ. Ἀλλὰ μὲν δὴ διότι γε φιλεῖται ὑπὸ θεῶν, φιλούμενόν ἐστι καὶ θεοφιλὲς ⟨τὸ θεοφιλές⟩.

ΕΥΘ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκ ἄρα τὸ θεοφιλὲς ὅσιόν ἐστιν, ὦ Εὐθύφρον, οὐδὲ τὸ ὅσιον θεοφιλές, ὡς σὺ λέγεις, ἀλλ' ἕτερον τοῦτο τούτου.

ΕΥΘ. Πῶς δή, ὦ | Σώκρατες; E

ΣΩ. Ὅτι ὁμολογοῦμεν τὸ μὲν ὅσιον διὰ τοῦτο φιλεῖσθαι, ὅτι ὅσιόν ἐστιν, ἀλλ' οὐ διότι φιλεῖται, ὅσιον εἶναι· ἢ γάρ;

ΕΥΘ. Ναί.

XIII. *ΣΩ.* Τὸ δέ γε θεοφιλὲς ὅτι φιλεῖται ὑπὸ θεῶν, αὐτῷ τούτῳ [τῷ φιλεῖσθαι] θεοφιλὲς εἶναι, ἀλλ' οὐχ ὅτι θεοφιλές, διὰ τοῦτο φιλεῖσθαι.

ΕΥΘ. Ἀληθῆ λέγεις.

ΣΩ. Ἀλλ' εἴ γε ταὐτὸν ἦν, ὦ φίλ' Εὐθύφρον, τὸ θεοφιλὲς

---

13. *ἄλλο τι* = *ἄλλο τι ἤ*, *nonne*. | 24 sq. *τοῦτο τούτου* abesse malim. | 31. *τῷ φιλεῖσθαι* seclusit Madvig.

καὶ τὸ ὅσιον, εἰ μὲν διὰ τὸ ὅσιον εἶναι ἐφιλεῖτο τὸ ὅσιον,
11 καὶ διὰ τὸ θεοφιλὲς εἶναι | ἐφιλεῖτ' ἂν τὸ θεοφιλές, εἰ δὲ διὰ
τὸ φιλεῖσθαι ὑπὸ θεῶν τὸ θεοφιλὲς θεοφιλὲς ἦν, καὶ τὸ
ὅσιον ἂν διὰ τὸ φιλεῖσθαι ὅσιον ἦν· νῦν δ' ὁρᾷς, ὅτι ἐναν-
τίως ἔχετον, ὡς παντάπασιν ἑτέρω ὄντ' ἀλλήλων. τὸ μὲν
γάρ, ὅτι φιλεῖται, ἐστιν οἷον φιλεῖσθαι· τὸ δ' ὅτι ἐστὶν οἷον
φιλεῖσθαι, διὰ τοῦτο φιλεῖται. καὶ κινδυνεύεις, ὦ Εὐθύφρον,
ἐρωτώμενος τὸ ὅσιον, ὅ τι ποτ' ἔστιν, τὴν μὲν οὐσίαν μοι
αὐτοῦ οὐ βούλεσθαι δηλῶσαι, πάθος δέ τι περὶ αὐτοῦ λέγειν,
B ὅτι πέπονθε τοῦτο τὸ ὅσιον, φιλεῖσθαι ὑπὸ πάντων | θεῶν·
ὅ τι δὲ ⟨τυγχάνει⟩ ὄν, οὔπω εἶπες. εἰ οὖν σοι φίλον, μή μ'
ἀποκρύψῃ, ἀλλὰ πάλιν εἴπ' ἐξ ἀρχῆς, τί ποτ' ὂν τὸ ὅσιον
εἴτε φιλεῖται ὑπὸ θεῶν εἴθ' ὁτιδὴ πάσχει· οὐ γὰρ περὶ
τούτου διοισόμεθα· ἀλλ' εἰπὲ προθύμως, τί ἐστιν τό θ' ὅσιον
καὶ τὸ ἀνόσιον;

ΕΥΘ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω ἔγωγε, ὅπως σοι
εἴπω ὃ νοῶ. περιέρχεται γάρ πως ἡμῖν ἀεὶ ὃ ἂν προθώμεθα,
καὶ οὐκ ἐθέλει μένειν ὅπου ἂν ἱδρυσώμεθ' αὐτό.

ΣΩ. Τοῦ ἡμετέρου προγόνου, ὦ Εὐθύφρον, ἔοικεν εἶναι
C Δαιδάλου τὰ ὑπὸ σοῦ | λεγόμενα. καὶ εἰ μὲν αὔτ' ἐγὼ ἔλεγον
καὶ ἐτιθέμην, ἴσως ἄν μ' ἐπέσκωπτες, ὡς ἄρα κἀμοὶ κατὰ
τὴν ἐκείνου ξυγγένειαν τὰ ἐν τοῖς λόγοις ἔργ' ἀποδιδράσκει
καὶ οὐκ ἐθέλει μένειν ὅπου ἄν τις αὐτὰ θῇ· νῦν δέ — σαὶ
γὰρ αἱ ὑποθέσεις εἰσίν· ἄλλου δή τινος δεῖ σκώμματος. οὐ
γὰρ ἐθέλουσι σοὶ μένειν, ὡς καὶ αὐτῷ σοι δοκεῖ.

ΕΥΘ. Ἐμοὶ δέ γε δοκεῖ σχεδόν τι τοῦ αὐτοῦ σκώμματος,
ὦ Σώκρατες, δεῖσθαι τὰ λεγόμενα· τὸ γὰρ περιιέναι [τούτοις]
τοῦτο καὶ μὴ μένειν ἐν τῷ αὐτῷ οὐκ ἐγώ εἰμ' ὁ ἐντιθείς,

---

10. *τῶν* add. Hir. ante *θεῶν*, sed cf. 10 D 2. | 11. inserui *τυγχάνει*. Cf. p. 7, l. 12. | 19 sqq. Schol. postquam dixit Socratem ab initio artem statuariam exercuisse, sic pergit: *Δαίδαλος δὲ Ἀθηναῖος ἦν τῶν πώποτε ἀνδριαντοποιῶν περιφανέστατος* (!). *πρῶτος δὲ καὶ περισκελὲς (διασκελὲς?) ἄγαλμα ἐσχημάτισε, τῶν πρὸ ἐκείνου κατὰ ταὐτὸ συμβεβληκότα τὼ πόδε τὰ βρέτη ἐργαζομένων, ἀφ' οὗ δὴ καὶ ὁ τοῦ περιιέναι καὶ κινεῖσθαι τὰ φιλοτεχνήματα αὐτοῦ ὑπὸ τῶν πολλῶν ἀνάκειται λόγος αὐτῷ, ὃν καὶ νῦν Σωκράτης παίζων Εὐθύφρονα προάγει.* | 26. *δέ γε* (*γε* suprascr. in B) vH] *δὲ*.

ἀλλὰ σύ μοι δοκεῖς ὁ Δαίδαλος· ἐπεὶ ἐμοῦ γ' ἕνεκ' ἔμενεν D ἂν ταῦθ' οὕτως.

ΣΩ. Κινδυνεύω ἄρα, ὦ ἑταῖρε, ἐκείνου τοῦ ἀνδρὸς δεινότερος γεγονέναι τὴν τέχνην τοσούτῳ, ὅσῳ ὃ μὲν τὰ αὑτοῦ μόνα ἐποίει οὐ μένοντα, ἐγὼ δὲ πρὸς τοῖς ἐμαυτοῦ, ὡς ἔοικε, καὶ τἀλλότρια. καὶ δῆτα τοῦτό μοι τῆς τέχνης ἐστὶ κομψότατον, ὅτι ἄκων εἰμὶ σοφός. ἐβουλόμην γὰρ ἄν μοι τοὺς λόγους μένειν καὶ ἀκινήτως ἱδρῦσθαι μᾶλλον ἢ πρὸς τῇ Δαιδάλου σοφίᾳ τὰ Ταντάλου χρήματα γενέσθαι. καὶ | E τούτων μὲν ἅδην· ἐπειδὴ δέ μοι δοκεῖς σὺ τρυφᾶν, αὐτός σοι ξυμπροθυμήσομαι [δεῖξαι], ὅπως ἄν με διδάξῃς περὶ τοῦ ὁσίου. καὶ μὴ προαποκάμῃς. ἰδὲ γάρ, εἰ οὐκ ἀναγκαῖόν σοι δοκεῖ δίκαιον εἶναι πᾶν τὸ ὅσιον.

ΕΥΘ. Ἔμοιγε.

ΣΩ. Ἆρ' οὖν καὶ πᾶν τὸ δίκαιον ὅσιον, ἢ τὸ μὲν ὅσιον πᾶν | δίκαιον, τὸ δὲ δίκαιον οὐ πᾶν ὅσιον, ἀλλὰ τὸ μὲν 12 αὐτοῦ ὅσιον, τὸ δέ τι καὶ ἄλλο;

ΕΥΘ. Οὐχ ἕπομαι, ὦ Σώκρατες, τοῖς λεγομένοις.

ΣΩ. Καὶ μὴν νεώτερός γέ μου εἶ οὐκ ἐλάττονι ἢ ὅσῳ σοφώτερος· ἀλλ', ὃ λέγω, τρυφᾷς ὑπὸ πλούτου τῆς σοφίας. ἀλλ', ὦ μακάριε, ξύντεινε σαυτόν· καὶ γὰρ οὐδὲν χαλεπὸν κατανοῆσαι ὃ λέγω. λέγω γὰρ δὴ τοὐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας·

Ζῆνα δὲ τὸν θ' ἔρξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
| οὐκ ἐθέλει νεικεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. B

ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ. εἴπω σοι ὅπῃ;

ΕΥΘ. Πάνυ γε.

ΣΩ. Οὐ δοκεῖ μοι εἶναι, ἵνα δέος, ἔνθα καὶ αἰδώς· πολλοὶ γάρ μοι δοκοῦσι καὶ νόσους καὶ πενίας καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιότες δεδιέναι μέν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα, ἃ δεδίασιν. οὐ καὶ σοὶ δοκεῖ;

---

21. οὐδὲν Christ.] οὐδέ. | 24 sq. Schol. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων. | 24. [θ] ἔρξαντα (i. e. ϝέρξαντα) Bur.] θέρξαντα B, στέρξαντα T, ῥέξαντα Stobaeus, alii. | 25. ἐθέλει νεικεῖν (ἐθέλειν εἴκειν Schol. ap. Cram. An. Par. I p. 399) Bur.] ἐθέλεις εἰπεῖν.

ΕΥΘ. Πάνυ γε.

ΣΩ. Ἀλλ' ἵνα γ' αἰδώς, ἔνθα καὶ δέος εἶναι· ἐπεὶ ἔστιν ὅστις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος οὐ πεφόβηταί C *τε καὶ | δέδοικεν ἅμα δόξαν πονηρίας;*

ΕΥΘ. Δέδοικε μὲν οὖν.

ΣΩ. Οὐκ ἄρ' ὀρθῶς ἔχει λέγειν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς· ἀλλ' ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος, οὐ μέντοι ἵνα γε δέος, πανταχοῦ αἰδώς. ἐπὶ πλέον γάρ, οἶμαι, δέος αἰδοῦς· μόριον γὰρ αἰδὼς δέους, ὥσπερ ἀριθμοῦ περιττόν, ὥστ' οὐχ ἵναπερ ἀριθμός, ἔνθα καὶ περιττόν, ἵνα δὲ περιττόν, ἔνθα καὶ ἀριθμός. ἕπει γάρ που νῦν γε;

ΕΥΘ. Πάνυ γε.

ΣΩ. Τὸ τοιοῦτον τοίνυν κἀκεῖ λέγων ἠρώτων, ἆρ' ἵνα D *δίκαιον, ἔνθα καὶ ὅσιον, ἢ ἵνα μὲν ὅσιον, ἔνθα καὶ | δίκαιον, ἵνα δὲ δίκαιον, οὐ πανταχοῦ ὅσιον· μόριον γὰρ τοῦ δικαίου τὸ ὅσιον. οὕτω φῶμεν ἢ ἄλλως σοι δοκεῖ;*

ΕΥΘ. Οὔκ, ἀλλ' οὕτω. φαίνει γάρ μοι ὀρθῶς λέγειν.

XIV. *ΣΩ. Ὅρα δὴ τὸ μετὰ τοῦτο. εἰ γὰρ μέρος τὸ ὅσιον τοῦ δικαίου, δεῖ δὴ ἡμᾶς, ὡς ἔοικεν, ἐξευρεῖν τὸ ποῖον μέρος ἂν εἴη τοῦ δικαίου τὸ ὅσιον. εἰ μὲν οὖν σύ μ' ἠρώτας τι τῶν νῦν δή, οἷον ποῖον μέρος ἐστὶν ἀριθμοῦ τὸ ἄρτιον καὶ τίς ὢν τυγχάνει οὗτος ὁ ἀριθμός, εἶπον ἄν, ὅτι ὃς ἂν μὴ σκαληνὸς ᾖ, ἀλλ' ἰσοσκελής· ἢ οὐ δοκεῖ σοι;*

ΕΥΘ. Ἔμοιγε.

E *ΣΩ. Πειρῶ δὴ καὶ σὺ ἐμ' | οὕτω διδάξαι, τὸ ποῖον μέρος τοῦ δικαίου ⟨τὸ⟩ ὅσιόν ἐστιν, ἵνα καὶ Μελήτῳ λέγωμεν μηκέθ' ἡμᾶς ἀδικεῖν μηδ' ἀσεβείας γράφεσθαι, ὡς ἱκανῶς ἤδη παρὰ σοῦ μεμαθηκότας τά τ' εὐσεβῆ καὶ ὅσια καὶ τὰ μή.*

ΕΥΘ. Τοῦτο τοίνυν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, τὸ μέρος τοῦ δικαίου εἶναι εὐσεβές τε καὶ ὅσιον, τὸ περὶ τὴν τῶν θεῶν θεραπείαν· τὸ δὲ περὶ τὴν τῶν ἀνθρώπων τὸ λοιπὸν εἶναι τοῦ δικαίου μέρος.

XV. *ΣΩ. Καὶ καλῶς γέ μοι, ὦ Εὐθύφρον, φαίνει λέγειν·* 13 *ἀλλὰ | σμικροῦ τινος ἔτι ἐνδεής εἰμι. τὴν γὰρ θεραπείαν οὔπω*

---

23. *σκαληνὸς — ἰσοσκελής* proprie de trigonis, translate de numeris *imparibus* et *paribus* usurpantur. | 28. *τὸ* add. Hir.

ξυνίημ' ἥντιν' ὀνομάζεις. οὐ γάρ που λέγεις γε, οἷαίπερ καὶ αἱ περὶ τἆλλα θεραπεῖαί εἰσιν, τοιαύτην καὶ περὶ θεούς. λέγομεν γάρ που — οἷον φαμέν, ἵππους οὐ πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ ἱππικός· ἦ γάρ;

ΕΥΘ. Πάνυ γε.

ΣΩ. Ἡ γάρ που ἱππικὴ ἵππων θεραπεία.

ΕΥΘ. Ναί.

ΣΩ. Οὐδέ γε κύνας πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ κυνηγετικός.

ΕΥΘ. Οὕτω.

ΣΩ. Ἡ γάρ που κυνηγετικὴ κυνῶν θεραπεία.

| *ΕΥΘ.* Ναί. B

ΣΩ. Ἡ δὲ βοηλατικὴ βοῶν.

ΕΥΘ. Πάνυ γε.

ΣΩ. Ἡ δὲ δὴ ὁσιότης τε καὶ εὐσέβεια θεῶν, ὦ Εὐθύφρον; οὕτω λέγεις;

ΕΥΘ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν θεραπεία γε πᾶσα ταὐτὸν διαπράττεται; οἷον ⟨τὸ⟩ τοιόνδε· ἐπ' ἀγαθῷ τινί ἐστι καὶ ὠφελίᾳ τοῦ θεραπευομένου, ὥσπερ ὁρᾷς δή, ὅτι οἱ ἵπποι ὑπὸ τῆς ἱππικῆς θεραπευόμενοι ὠφελοῦνται καὶ βελτίους γίγνονται· ἢ οὐ δοκοῦσί σοι;

ΕΥΘ. Ἔμοιγε.

ΣΩ. Καὶ οἱ κύνες γέ που ὑπὸ τῆς κυνηγετικῆς, καὶ οἱ βόες ὑπὸ τῆς βοηλατικῆς, | καὶ τἆλλα πάνθ' ὡσαύτως· ἢ ἐπὶ C βλάβῃ οἴει τοῦ θεραπευομένου τὴν θεραπείαν εἶναι;

ΕΥΘ. Μὰ Δί' οὐκ ἔγωγε.

ΣΩ. Ἀλλ' ἐπ' ὠφελίᾳ;

ΕΥΘ. Πῶς δ' οὔ;

ΣΩ. Ἦ οὖν καὶ ἡ ὁσιότης θεραπεία οὖσα θεῶν ὠφελία τ' ἐστι θεῶν καὶ βελτίους τοὺς θεοὺς ποιεῖ; καὶ σὺ τοῦτο ξυγχωρήσαις ἄν, ὡς ἐπειδάν τι ὅσιον ποιῇς, βελτίω τινὰ τῶν θεῶν ἀπεργάζει;

ΕΥΘ. Μὰ Δί' οὐκ ἔγωγε.

ΣΩ. Οὐδὲ γὰρ ἐγώ, ὦ Εὐθύφρον, οἶμαί σε τοῦτο λέγειν·

---

19. τὸ add. v. Heusde.

πολλοῦ καὶ δέω· ἀλλὰ τούτου δὴ ἕνεκα καὶ ἀνηρόμην, τίνα D *ποτὲ | λέγοις τὴν θεραπείαν τῶν θεῶν, οὐχ ἡγούμενός σε τοιαύτην λέγειν.*

ΕΥΘ. Καὶ ὀρθῶς γε, ὦ Σώκρατες· οὐ γὰρ τοιαύτην λέγω.

ΣΩ. Εἶεν· ἀλλὰ τίς δὴ θεῶν θεραπεία εἴη ἂν ἡ ὁσιότης;

ΕΥΘ. Ἥνπερ, ὦ Σώκρατες, οἱ δοῦλοι τοὺς δεσπότας θεραπεύουσιν.

ΣΩ. Μανθάνω· ὑπηρετική τις ἄν, ὡς ἔοικεν, εἴη θεοῖς.

ΕΥΘ. Πάνυ μὲν οὖν.

XVI. *ΣΩ. Ἔχοις ἂν οὖν εἰπεῖν, ἡ ἰατροῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν τυγχάνει οὖσ' ὑπηρετική; οὐκ εἰς ὑγιείας οἴει;*

ΕΥΘ. Ἔγωγε.

E *ΣΩ. Τί δέ; ἡ ναυπηγοῖς ὑπηρετικὴ εἰς τίνος | ἔργου ἀπεργασίαν ὑπηρετική ἐστιν;*

ΕΥΘ. Δῆλον ὅτι, ὦ Σώκρατες, εἰς πλοίου.

ΣΩ. Καὶ ἡ οἰκοδόμοις γέ που εἰς οἰκίας;

ΕΥΘ. Ναί.

ΣΩ. Εἰπὲ δή, ὦ ἄριστε· ἡ δὲ θεοῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετικὴ ἂν εἴη; δῆλον γὰρ ὅτι σὺ οἶσθα, ἐπειδήπερ τά γε θεῖα κάλλιστα φῂς εἰδέναι ἀνθρώπων.

ΕΥΘ. Καὶ ἀληθῆ γε λέγω, ὦ Σώκρατες.

ΣΩ. Εἰπὲ δὴ πρὸς Διός, τί ποτ' ἐστιν ἐκεῖνο τὸ πάγκαλον ἔργον, ὃ οἱ θεοὶ ἀπεργάζονται ἡμῖν ὑπηρέταις χρώμενοι;

ΕΥΘ. Πολλὰ καὶ καλά, ὦ Σώκρατες.

14 *ΣΩ. Καὶ γὰρ | οἱ στρατηγοί, ὦ φίλε· ἀλλ' ὅμως τὸ κεφάλαιον ⟨τῆς ἀπεργασίας⟩ αὐτῶν ῥᾳδίως ἂν εἴποις, ὅτι νίκην ἐν τῷ πολέμῳ ἀπεργάζονται· ἢ οὔ;*

ΕΥΘ. Πῶς δ' οὔ;

ΣΩ. Πολλὰ δέ γ', οἶμαι, καὶ καλὰ καὶ οἱ γεωργοί· ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ἐστιν τῆς ἀπεργασίας ἡ ἐκ τῆς γῆς τροφή.

ΕΥΘ. Πάνυ γε.

---

21. *κάλλιστά γε* vulgo. Omisi particulam male repetitam cum TWArm. (Bur.). | 27. *τῆς ἀπεργασίας* postea add. Sch., quae verba prius male deleri iusserat vs. 31. | 31. *ἀπεργασίας* scripsi cum TWArm.] *ἐργασιας*.

ΣΩ. Τί δὲ δή; τῶν πολλῶν καὶ καλῶν, ἃ οἱ θεοὶ ἀπεργάζονται, τί τὸ κεφάλαιόν ἐστι τῆς ἀπεργασίας;

ΕΥΘ. Καὶ ὀλίγον σοι πρότερον εἶπον, ὦ Σώκρατες, ὅτι
πλείονος ἔργου ἐστὶν ἀκριβῶς | πάντα ταῦθ' ὡς ἔχει μαθεῖν· B
τόδε μέντοι σοι ἁπλῶς λέγω, ὅτι ἐὰν μὲν κεχαρισμένα τις ἐπίστηται τοῖς θεοῖς λέγειν τε καὶ πράττειν εὐχόμενός τε καὶ θύων, ταῦτ' ἔστι τὰ ὅσια, καὶ σῴζει τὰ τοιαῦτα τούς τ' ἰδίους οἴκους καὶ τὰ κοινὰ τῶν πόλεων· τὰ δ' ἐναντία τῶν κεχαρισμένων ἀσεβῆ, ἃ δὴ καὶ ἀνατρέπει ἅπαντα καὶ ἀπόλλυσιν.

XVII. *ΣΩ.* Ἤ πολύ μοι διὰ βραχυτέρων, ὦ Εὐθύφρον, εἰ ἐβούλου, εἶπες ἂν τὸ κεφάλαιον ὧν ἠρώτων. ἀλλὰ γὰρ οὐ
πρόθυμός μ' εἶ διδάξαι· δῆλος εἶ. καὶ γὰρ νῦν | ἐπειδὴ ἐπ' C
αὐτῷ ἦσθα, ἀπετράπου· ὃ εἰ ἀπεκρίνω, ἱκανῶς ἂν ἤδη παρὰ σοῦ τὴν ὁσιότητα ἐμεμαθήκη. νῦν δ' ἀνάγκη γὰρ τὸν ἐρῶντα τῷ ἐρωμένῳ ἀκολουθεῖν, ὅπῃ ἂν ἐκεῖνος ὑπάγῃ· τί δὴ αὖ λέγεις τὸ ὅσιον εἶναι καὶ τὴν ὁσιότητα; οὐχὶ ἐπιστήμην τινὰ τοῦ θύειν τε καὶ εὔχεσθαι;

ΕΥΘ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν τὸ θύειν δωρεῖσθαί ἐστι τοῖς θεοῖς, τὸ δ' εὔχεσθαι αἰτεῖν τοὺς θεούς;

ΕΥΘ. Καὶ μάλα, ὦ Σώκρατες.

ΣΩ. Ἐπιστήμη ἄρ' αἰτήσεως καὶ δόσεως θεοῖς | ὁσιότης D
ἂν εἴη ἐκ τουτου τοῦ λόγου.

ΕΥΘ. Πάνυ καλῶς, ὦ Σώκρατες, ξυνῆκας ὃ εἶπον.

ΣΩ. Ἐπιθυμητὴς γάρ εἰμι, ὦ φίλε, τῆς σῆς σοφίας καὶ προσέχω τὸν νοῦν αὐτῇ, ὥστ' οὐ χαμαὶ πεσεῖται ὅ τι ἂν εἴπῃς. ἀλλά μοι λέξον, τίς αὕτη ἡ ὑπηρεσία ἐστὶ τοῖς θεοῖς; αἰτεῖν τε φῂς αὐτοὺς καὶ διδόναι ἐκείνοις;

ΕΥΘ. Ἔγωγε.

XVIII. *ΣΩ.* Ἆρ' οὖν οὐ τὸ ὀρθῶς αἰτεῖν ἂν εἴη, ὧν δεόμεθα παρ' ἐκείνων, ταῦτ' αὐτοὺς αἰτεῖν;

ΕΥΘ. Ἀλλὰ τί;

ΣΩ. Καὶ αὖ τὸ διδόναι ὀρθῶς, ὧν ἐκεῖνοι | τυγχάνουσιν E
δεόμενοι παρ' ἡμῶν, ταῦτ' ἐκείνοις αὖ ἀντιδωρεῖσθαι; οὐ γάρ

---

11. *εἶπες*] malim *εἶπας* hic et alibi. | 26. *οὐ χαμαὶ πεσεῖται*] Schol. *παροιμία ἐπὶ τῶν διακενῆς οὐδὲν λεγόντων, ἀλλ' ἐπιτυγχανόντων.*

που τεχνικόν γ' ἂν εἴη δωροφορεῖν [διδόντα] τῳ ταῦθ' ὧν οὐδὲν δεῖται.

ΕΥΘ. Ἀληθῆ λέγεις, ὦ Σώκρατες.

ΣΩ. Ἐμπορικὴ ἄρα τις ἂν εἴη, ὦ Εὐθύφρον, τέχνη ἡ ὁσιότης θεοῖς καὶ ἀνθρώποις παρ' ἀλλήλων.

ΕΥΘ. Ἐμπορική, εἰ οὕτως ἥδιόν σοι ὀνομάζειν.

ΣΩ. Ἀλλ' οὐδὲν ἥδιον ἔμοιγε, εἰ μὴ τυγχάνει ἀληθὲς ὄν. φράσον δέ μοι, τίς ἡ ὠφελία τοῖς θεοῖς τυγχάνει οὖσ' ἀπὸ τῶν δώρων ὧν παρ' ἡμῶν λαμβάνουσιν; ἃ μὲν γὰρ διδόασι,
15 *παντὶ δῆλον· οὐδὲν γὰρ ἡμῖν ἐστιν ἀγαθόν, | ὅ τι ἂν μὴ ἐκεῖνοι δῶσιν· ἃ δὲ παρ' ἡμῶν λαμβάνουσιν, τί ὠφελοῦνται; ἢ τοσοῦτον αὐτῶν πλεονεκτοῦμεν κατὰ τὴν ἐμπορίαν, ὥστε πάντα τἀγαθὰ παρ' αὐτῶν λαμβάνομεν, ἐκεῖνοι δὲ παρ' ἡμῶν οὐδέν;*

ΕΥΘ. Ἀλλ' οἴει, ὦ Σώκρατες, τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων, ἃ παρ' ἡμῶν λαμβάνουσιν;

ΣΩ. Ἀλλὰ τί δήποτ' ἂν εἴη ταῦτα, ὦ Εὐθύφρον, τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς;

ΕΥΘ. Τί δ' οἴει ἄλλο ἢ τιμή τε καὶ γέρα καί, ὅπερ ἐγὼ ἄρτι ἔλεγον, χάρις;

B *ΣΩ. Κεχαρισμένον ἄρ' | ἐστίν, ὦ Εὐθύφρον, τὸ ὅσιον, ἀλλ' οὐχὶ ὠφέλιμον οὐδὲ φίλον τοῖς θεοῖς;*

ΕΥΘ. Οἶμαι ἔγωγε πάντων γε μάλιστα φίλον.

ΣΩ. Τοῦτ' ἄρ' ἐστὶν αὖ, ὡς ἔοικε, τὸ ὅσιον, τὸ τοῖς θεοῖς φίλον.

ΕΥΘ. Μάλιστά γε.

XIX. *ΣΩ. Θαυμάσει οὖν ταῦτα λέγων, ἐάν σοι οἱ λόγοι φαίνωνται μὴ μένοντες ἀλλὰ βαδίζοντες, καὶ ἔμ' αἰτιάσει τὸν Δαίδαλον βαδίζοντας αὐτοὺς ποιεῖν, αὐτὸς ὢν πολύ γε τεχνικώτερος τοῦ Δαιδάλου καὶ κύκλῳ περιιόντα ποιῶν; ἢ οὐκ αἰσθάνει, ὅτι ὁ λόγος ἡμῖν περιελθὼν πάλιν εἰς ταὐτὸν |*
C *ἥκει; μέμνησαι γάρ που, ὅτι ἐν τῷ ἔμπροσθεν τό θ' ὅσιον καὶ τὸ θεοφιλὲς οὐ ταὐτὸν ἡμῖν ἐφάνη, ἀλλ' ἕτερ' ἀλλήλων· ἢ οὐ μέμνησαι;*

ΕΥΘ. Ἔγωγε.

---

1. cancellavi *διδόντα* ut glossema ad verbum sacerdotale *δωροφορεῖν*.

ΣΩ. *Νῦν οὖν οὐκ ἐννοεῖς, ὅτι τὸ τοῖς θεοῖς φίλον φῂς ὅσιον εἶναι; τοῦτο δ' ἄλλο τι ἢ θεοφιλὲς γίγνεται· ἢ οὔ;*

ΕΥΘ. *Πάνυ γε.*

ΣΩ. *Οὔκουν ἢ ἄρτι οὐ καλῶς ὡμολογοῦμεν, ἢ εἰ τότε καλῶς, νῦν οὐκ ὀρθῶς τιθέμεθα;*

ΕΥΘ. *Ἔοικεν.*

XX. *ΣΩ.* *Ἐξ ἀρχῆς ἄρ' ἡμῖν πάλιν σκεπτέον, τί ἐστι τὸ ὅσιον· ὡς ἐγώ, πρὶν ἂν μάθω, ἑκὼν εἶναι οὐκ ἀποδειλιάσω. ἀλλὰ μή μ' ἀτιμάσῃς, ἀλλὰ παντὶ τρόπῳ προσέχων τὸν* D
νοῦν ὅτι μάλιστα νῦν εἰπὲ τὴν ἀλήθειαν. οἶσθα γάρ, εἴπερ τις ἄλλος ἀνθρώπων, καὶ οὐκ ἀφετέος εἶ, ὥσπερ ὁ Πρωτεύς, πρὶν ἂν εἴπῃς. εἰ γὰρ μὴ ᾔδησθα σαφῶς τό θ' ὅσιον καὶ τὸ ἀνόσιον, οὐκ ἔστιν ὅπως ἄν ποτ' ἐπεχείρησας ὑπὲρ ἀνδρὸς θητὸς ἄνδρα πρεσβύτην πατέρα διωκαθεῖν φόνου, ἀλλὰ καὶ τοὺς θεοὺς ἂν ἔδεισας παρακινδυνεύειν, μὴ οὐκ ὀρθῶς αὐτὸ ποιήσοις, καὶ τοὺς ἀνθρώπους ᾐσχύνθης. νῦν δ' εὖ οἶδ' ὅτι σαφῶς | οἴει εἰδέναι τό θ' ὅσιον καὶ μή· εἰπ' οὖν, ὦ βέλτιστε E
[Εὐθύφρον], καὶ μὴ ἀποκρύψῃ ὅ τι αὐθ' ἡγεῖ.

ΕΥΘ. *Εἰς αὖθις τοίνυν, ὦ Σώκρατες· νῦν γὰρ σπεύδω ποι, καί μοι ὥρα ἀπιέναι.*

ΣΩ. *Οἷα ποιεῖς, ὦ ἑταῖρε! ἀπ' ἐλπίδος με καταβαλὼν μεγάλης ἀπέρχει, ἣν εἶχον, ὡς παρὰ σοῦ μαθὼν τά θ' ὅσια καὶ μὴ καὶ τῆς πρὸς Μέλητον γραφῆς ἀπαλλάξομαι, ἐνδειξάμενος ἐκείνῳ ὅτι σοφὸς ἤδη παρ' | Εὐθύφρονος τὰ θεῖα* 16
γέγονα καὶ ὅτι οὐκέτι ὑπ' ἀγνοίας αὐτοσχεδιάζω οὐδὲ καινοτομῶ περὶ αὐτά, καὶ δὴ καὶ τὸν ἄλλον βίον [ὅτι] ἄμεινον βιωσοίμην.

---

11. *ὁ Πρωτεύς.* Cf. Hom. Od. IV 384 sqq. | 18. delevi nomen. Cf. p. 3, l. 11.

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ.

St. I
p. 17

A I. Ὅ τι μὲν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πεπόνθατ' ὑπὸ
τῶν ἐμῶν κατηγόρων, οὐκ οἶδα· ἐγὼ δ' οὖν καὶ αὐτὸς ὑπ'
αὐτῶν ὀλίγου ἐμαυτοῦ ἐπελαθόμην· οὕτω πιθανῶς ἔλεγον.
καίτοι ἀληθές γε, ὡς ἔπος εἰπεῖν, οὐδὲν εἰρήκασιν. μάλιστα
δ' αὐτῶν ἓν ἐθαύμασα [τῶν πολλῶν ὧν ἐψεύσαντο], τοῦτο,
ἐν ᾧ ἔλεγον, ὡς χρὴ ὑμᾶς εὐλαβεῖσθαι, μὴ ὑπ' ἐμοῦ ἐξα-
B πατηθῆτ' ὡς δεινοῦ | ὄντος λέγειν. τὸ γὰρ μὴ αἰσχυνθῆναι,
ὅτι αὐτίκ' ὑπ' ἐμοῦ ἐξελεγχθήσονται ἔργῳ, ἐπειδὰν μηδ'
ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι ἔδοξεν αὐτῶν
ἀναισχυντότατον εἶναι, εἰ μὴ ἄρα δεινὸν καλοῦσιν οὗτοι λέγειν
τὸν τἀληθῆ λέγοντα· εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην
ἂν ἔγωγ', ⟨ἀλλ'⟩ οὐ κατὰ τούτους, εἶναι ῥήτωρ. οὗτοι μὲν
οὖν, ὥσπερ ἐγὼ λέγω, ἤ τὶ ἢ οὐδὲν [ἀληθὲς] εἰρήκασιν·
ὑμεῖς δ' ἐμοῦ ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν. οὐ μέντοι μὰ
Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους,
C ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν [οὐδὲ | κεκοσμη-
μένους], ἀλλὰ [ἀκούσεσθ'] εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν
ὀνόμασιν· πιστεύω γὰρ δίκαι' εἶναι ἃ λέγω, καὶ μηδεὶς
ὑμῶν προσδοκησάτω ἄλλως· οὐδὲ γὰρ ἂν δήπου πρέποι,
ὦ ἄνδρες, τῇδε τῇ ἡλικίᾳ ὥσπερ μειρακίῳ πλάττοντι λόγους
εἰς ὑμᾶς εἰσιέναι· καὶ μέντοι καὶ πάνυ, ὦ ἄνδρες Ἀθηναῖοι,
τοῦθ' ὑμῶν δέομαι καὶ παρίεμαι· ἐὰν διὰ τῶν αὐτῶν λόγων
ἀκούητέ μου ἀπολογουμένου, δι' ὧνπερ εἴωθα λέγειν καὶ ἐν
ἀγορᾷ ἐπὶ τῶν τραπεζῶν, ἵν' ὑμῶν πολλοὶ ἀκηκόασι, καὶ
D ἄλλοθι, μήτε | θαυμάζειν μήτε θορυβεῖν τούτου ἕνεκα. ἔχει

---

5. *τῶν — ἐψεύσαντο* del. Hartm. | 12. addidi *ἀλλ'* cum virgulis; *οὐ* del. Muretus. | 13. *ἤ τὶ] ἤ τι.* Suspectum mihi *ἀληθές.* | 16 sq. emblemata del. Hartm. | 22. *παρίεμαι* = *παραιτοῦμαι* (superscr. b).

γὰρ οὑτωσί. νῦν ἐγὼ πρῶτον ἐπὶ δικαστήριον ἀναβέβηκα, ἔτη γεγονὼς ἑβδομήκοντα· ἀτεχνῶς οὖν ξένως ἔχω τῆς ἐνθάδε λέξεως. ὥσπερ οὖν ἄν, εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγιγνώσκετε δήπου ἄν μοι, εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ ἔλεγον, ἐν | οἷσπερ ἐτεθράμμην, καὶ δὴ καὶ 18 *νῦν τοῦθ᾽ ὑμῶν δέομαι δίκαιον, ὥς γέ μοι δοκῶ, τὸν μὲν τρόπον τῆς λέξεως ἐᾶν· ἴσως μὲν γὰρ χείρων, ἴσως δὲ βελτίων ἂν εἴη· αὐτὸ δὲ τοῦτο σκοπεῖν καὶ τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω ἢ μή· δικαστοῦ μὲν γὰρ αὕτη ἀρετή, ῥήτορος δὲ τἀληθῆ λέγειν.*

II. *Πρῶτον μὲν οὖν δίκαιός εἰμ᾽ ἀπολογήσασθαι, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ πρῶτά μου [ψευδῆ] κατηγορημένα καὶ τοὺς πρώτους κατηγόρους, ἔπειτα δὲ πρὸς τὰ ὕστερα καὶ τοὺς | ὑστέρους. ἐμοῦ γὰρ πολλοὶ κατήγοροι γεγόνασι* B *πρὸς ὑμᾶς καὶ πάλαι πόλλ᾽ ἤδη ἔτη [καὶ] οὐδὲν ἀληθὲς λέγοντες, οὓς ἐγὼ μᾶλλον φοβοῦμαι ἢ τοὺς ἀμφ᾽ Ἄνυτον, καίπερ ὄντας καὶ τούτους δεινούς· ἀλλ᾽ ἐκεῖνοι δεινότεροι, ὦ ἄνδρες, οἳ ὑμῶν τοὺς πολλοὺς ἐκ παίδων παραλαμβάνοντες ἔπειθόν τε καὶ κατηγόρουν ἐμοῦ ⟨οὐ⟩ μᾶλλον οὐδεν ἀληθές, ὡς ἔστι τις Σωκράτης σοφὸς ἀνήρ, τά τε μετέωρα [φροντιστὴς] καὶ τὰ ὑπὸ γῆς ἅπαντ᾽ ἀνεζητηκὼς καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν. οὗτοι, ὦ ἄνδρες Ἀθηναῖοι, | ⟨οἱ⟩ ταύτην* C *τὴν φήμην κατασκεδάσαντες οἱ δεινοί εἰσί μου κατήγοροι· οἱ γὰρ ἀκούοντες ἡγοῦνται τοὺς ταῦτα ζητοῦντας οὐδὲ θεοὺς νομίζειν. ἔπειτ᾽ εἰσὶν οὗτοι οἱ κατήγοροι πολλοὶ καὶ πολὺν χρόνον ἤδη κατηγορηκότες, ἔτι δὲ καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ λέγοντες πρὸς ὑμᾶς, ἐν ᾗ ἂν μάλιστ᾽ ἐπιστεύσατε παῖδες ὄντες, ἔνιοι δ᾽ ὑμῶν καὶ μειράκια, ἀτεχνῶς ἐρήμην κατηγοροῦντες [ἀπολογουμένου οὐδενός]. ὃ δὲ πάντων ἀλογώτατον,*

---

19. *οὐ* add. J. M. Fraenkel meus qui de formula *οὐ μᾶλλον*, *atque*, cft. Polit. 275 C, 288 A; Alc. II 193 D; Legg. 802 D; Lach. 182 B, 196 B; Theaet. 180 A.; *μᾶλλον — ἀληθὲς* del. Herm.; *μὰ τὸν* — ed. Sch. | 20. *φροντιστὴς* del. Burn. Cf. 19 C. De re cf. Ar Nub. 332, 389 et Cob. Mnem. I n. s. p. 117. | 21. *τὸν ἥττω — ποιῶν* proprie ***dicendo facere ut causa deterior vincat meliorem***, qua formula sec. Arist. Rhet. II 21 primus usus est Protagoras. Cf. Nub. 114 et 882—1104 et infra p. 19 C. ***Qui nigrum in candida vertunt.*** Iuven. Sat. III 30. | 29. emblema del. Hir.

D *ὅτι οὐδὲ τὠνόμαθ' οἷόν τ' αὐτῶν εἰδέναι καὶ εἰπεῖν, | πλὴν*
εἴ τις κωμῳδοποιὸς τυγχάνει ὤν· ὅσοι δὲ φθόνῳ καὶ διαβολῇ
χρώμενοι ὑμᾶς ἀνέπειθον, οἱ δὲ καὶ αὐτοὶ πεπεισμένοι ἄλλους
πείθοντες, οὗτοι πάντων ἀπορώτατοί εἰσιν· οὐδὲ γὰρ ἀναβι-
βάσασθαι οἷόν τ' ἐστὶν αὐτῶν ἐνταυθοῖ οὐδ' ἐλέγξαι οὐδένα,
ἀλλ' ἀνάγκη ἀτεχνῶς ὥσπερ σκιαμαχεῖν ἀπολογούμενόν τε
καὶ ἐλέγχοντα μηδενὸς ἀποκρινομένου. ἀξιώσατ' οὖν καὶ
ὑμεῖς, ὥσπερ ἐγὼ λέγω, διττούς μου τοὺς κατηγόρους
γεγονέναι, ἑτέρους μὲν τοὺς ἄρτι κατηγορήσαντας, ἑτέρους
E *δὲ | τοὺς πάλαι, οὓς ἐγὼ λέγω, καὶ οἰήθητε δεῖν πρὸς*
ἐκείνους πρῶτόν μ' ἀπολογήσασθαι· καὶ γὰρ ὑμεῖς ἐκείνων
πρότερον ἠκούσατε κατηγορούντων καὶ πολὺ μᾶλλον ἢ τῶνδε
[τῶν ὕστερον]. εἶεν· ἀπολογητέον δή, ὦ ἄνδρες Ἀθηναῖοι,
19 *καὶ | ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, ἣν ὑμεῖς ἐν*
⟨οὕτω⟩ πολλῷ χρόνῳ ἔσχετε, ταύτην ἐν οὕτως ὀλίγῳ [χρόνῳ].
βουλοίμην μὲν οὖν ἂν τοῦθ' οὕτως γενέσθαι, εἴ τι ἄμεινον
καὶ ὑμῖν καὶ ἐμοί, καὶ πλέον τί με ποιῆσαι ἀπολογούμενον·
οἶμαι δ' αὐτὸ χαλεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθάνει οἷόν
ἐστιν. ὅμως τοῦτο μὲν ἴτω ὅπῃ τῷ θεῷ φίλον, τῷ δὲ νόμῳ
πειστέον [καὶ ἀπολογητέον].

III. *Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς, τίς ἡ κατηγορία ἐστίν,*
B *ἐξ ἧς ἡ ἐμὴ διαβολὴ γέγονεν, ᾗ δὴ καὶ | πιστεύων Μέλητός*
μ' ἐγράψατο τὴν γραφὴν ταύτην. εἶεν· τί δὴ λέγοντες διέβαλλον
οἱ διαβάλλοντες; ὥσπερ οὖν κατηγόρων τὴν ἀντωμοσίαν δεῖ
ἀναγνῶναι αὐτῶν· Σωκράτης ἀδικεῖ καὶ περιεργά-
ζεται ζητῶν τά θ' ὑπὸ γῆς καὶ οὐράνια καὶ τὸν
ἥττω λόγον κρείττω ποιῶν καὶ ἄλλους ταὐτὰ
C *ταῦτα διδάσκων. | τοιαύτη τίς ἐστι· ταῦτα γὰρ ἑωρᾶτε*
καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ, Σωκράτη τιν' ἐκεῖ

---

2. *κωμῳδοποιὸς* FT attice] *κωμῳδιοποιὸς* BD hellenistice. | 4. *ἄπορος*, *contra quem fieri nihil potest*, ut saepe. | 7. *ἐλέγχοντα* Steph.] *ἐλέγχειν*. | 10 *ἐγὼ] νῦν*? | 13. *τῶν ὕστερον* cancellavi LRh. p. 36. | 15. *⟨οὕτω⟩ πολλῷ* coll. 24 A Hir. — *χρόνῳ* del. Hartm. | 17. *πλέον — ποιῆσαι*, *proficere*. | 19. *ἴτω*. Cf. Soph. O. R. 1058. | 20. emblema del. Hartm. | 24. *ἀντωμοσία* proprie est *sacramentum* praestandum accusatori et reo, deinde vero tam ipsa *accusatio* quam *defensio*.

*περιφερόμενον, φάσκοντά τ' ἀεροβατεῖν καὶ ἄλλην πολλὴν
φλυαρίαν φλυαροῦντα, ὧν ἐγὼ [οὐδὲν] οὔτε μέγα οὔτε
μικρὸν πέρι ἐπαΐω. καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύτην
ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός ἐστιν· μή πως
ἐγὼ ὑπὸ Μελήτων τοσαύτας δίκας φύγοιμι! ἀλλὰ γὰρ ἐμοὶ
τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστιν. μάρτυρας δ'
αὖ | ὑμῶν τοὺς πολλοὺς παρέχομαι, καὶ ἀξιῶ ὑμᾶς ἀλλή-* D
*λους διδάσκειν τε καὶ φράζειν, ὅσοι ἐμοῦ πώποτ' ἀκηκόατε
διαλεγομένου· πολλοὶ δ' ὑμῶν οἱ τοιοῦτοί εἰσιν· φράζετ' οὖν
ἀλλήλοις, εἰ πώποτ' ἢ μικρὸν ἢ μέγα ἤκουσέ τις ὑμῶν ἐμοῦ
περὶ τῶν τοιούτων διαλεγομένου· καὶ ἐκ τούτου γνώσεσθε,
ὅτι τοιαῦτ' ἐστὶ καὶ τἆλλ' ἃ περὶ ἐμοῦ οἱ πολλοὶ λέγουσιν.*

IV. *Ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν [ἐστιν], οὐδέ γ' εἴ
τινος ἀκηκόατε, ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ
χρήματα | πράττομαι, οὐδὲ τοῦτ' ἀληθές. ἐπεὶ καὶ τοῦτό γέ* E
*μοι δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους
ὥσπερ Γοργίας θ' ὁ Λεοντῖνος καὶ Πρόδικος ὁ Κεῖος καὶ
Ἱππίας ὁ Ἠλεῖος. τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, [οἷός τ'
ἐστίν] ἰὼν εἰς ἑκάστην τῶν πόλεων τοὺς νέους, οἷς ἔξεστι
τῶν ἑαυτῶν πολιτῶν προῖκα ξυνεῖναι ᾧ ἂν βούλωνται, τού-
τους πείθουσι τὰς ἐκείνων ξυνουσίας | ἀπολιπόντας σφίσιν* 20
*ξυνεῖναι χρήματα διδόντας καὶ χάριν προσειδέναι. ἐπεὶ καὶ
ἄλλος ἀνήρ ἐστι [Πάριος] ἐνθάδε σοφός, ὃν ἐγὼ ᾐσθόμην
ἐπιδημοῦντα· ἔτυχον γὰρ προσελθὼν ἀνδρί, ὃς τετέλεκε
χρήματα σοφισταῖς πλείω ἢ ξύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ
Ἱππονίκου· τοῦτον οὖν ἀνηρόμην — ἐστὸν γὰρ αὐτῷ δύο
υἱεῖ — 'ὦ Καλλία', ἦν δ' ἐγώ, 'εἰ μέν σου τὼ υἱεῖ πώλω ἢ
μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν καὶ
μισθώσασθαι, ὃς ἔμελλεν αὐτὼ καλώ τε κἀγαθὼ ποιήσειν
| τὴν προσήκουσαν ἀρετήν· ἦν δ' ἂν οὗτος ἢ τῶν ἱππικῶν* B
τις ἢ τῶν γεωργικῶν· νῦν δ' ἐπειδὴ ἀνθρώπω ἐστόν, τίν'

---

2. *οὐδὲν* del. Cob., tollendum etiam Phileb. 33 B. | 3. *ἐπαΐω* = *ἐπίσταμαι* passim ap. Platonem. | 5. *Μελήτων*, *hominum*, *qualis est Meletus*, pro *Μελήτου* Sch. | 7. *αὖ* Burn. cum T] *αὐτοὺς* B, *αὐτῶν* Sch. | 11. *τούτου* EFBurn.] *τούτων*. | 12. *τἆλλ' ἃ* Cob., deleto *ἃ* ante *οἱ*. | 13. *οὐδέ] οὔτε* Bekk., adversante Sch. Num recte? | 27. *υἱεῖ] υἱέε*.

αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς,
τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς, ἐπιστήμων ἐστίν; οἶμαι
γάρ σ' ἐσκέφθαι [διὰ τὴν τῶν ὑέων κτῆσιν] ἔστιν τις,'
ἔφην ἐγώ, 'ἢ οὔ'; 'πάνυ γε,' ἦ δ' ὅς. 'τίς,' ἦν δ' ἐγώ,
'καὶ ποδαπός, καὶ πόσου διδάσκει'; 'Εὔηνος,' ἔφη, 'ὦ Σώ-
κρατες, Πάριος, πέντε μνῶν.' καὶ ἐγὼ τὸν Εὔηνον ἐμακά-
C *ρισα, εἰ ὡς ἀληθῶς ἔχει ταύτην τὴν | τέχνην καὶ οὕτως*
εὐμελῶς διδάσκει. ἔγωγ' οὖν καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ
ἡβρυνόμην ἄν, εἰ ἠπιστάμην ταῦτα· ἀλλ' οὐ γὰρ ἐπίσταμαι,
ὦ ἄνδρες Ἀθηναῖοι.

V. *Ὑπολάβοι ἂν οὖν τις ὑμῶν ἴσως· ἀλλ', ὦ Σώκρατες,*
τὸ σὸν τί ἐστι πρᾶγμα; πόθεν αἱ διαβολαί σοι αὗται γεγό-
νασιν; οὐ γὰρ δήπου σοῦ γ' οὐδὲν τῶν ἄλλων περιττότερον
πραγματευομένου ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονεν
[εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί]. λέγ' οὖν ἡμῖν, τί
D *ἐστιν, ἵνα μὴ ἡμεῖς περὶ σοῦ | αὐτοσχεδιάζωμεν. ταυτί μοι*
δοκεῖ δίκαι' ἂν λέγειν ὁ λέγων, κἀγὼ ὑμῖν πειράσομαι ἀπο-
δεῖξαι, τί ποτ' ἔστιν τοῦθ' ὃ ἐμοὶ πεποίηκεν τό τε ὄνομα
καὶ τὴν διαβολήν. ἀκούετε δή. καὶ ἴσως μὲν δόξω τισὶν
ὑμῶν παίζειν, εὖ μέντοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ.
ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι' οὐδὲν ἀλλ' ἢ διὰ σοφίαν
τινὰ τοῦτο τοὔνομ' ἔσχηκα. ποίαν δὴ σοφίαν ταύτην; ἥπερ
ἐστὶν ἴσως ἀνθρωπίνη [σοφία]. τῷ ὄντι γὰρ κινδυνεύω ταύ-
την εἶναι σοφός· οὗτοι δὲ τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω
E *τιν' ἢ | κατ' ἄνθρωπον σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω, ὅ τι*
λέγω· οὐ γὰρ δὴ ἔγωγ' αὐτὴν ἐπίσταμαι, ἀλλ' ὅστις φησὶ
ψεύδεταί τε καὶ ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει. καί μοι, ὦ ἄνδρες
Ἀθηναῖοι, μὴ θορυβήσητε, μηδ' ἐὰν δόξω τι ὑμῖν μέγα λέγειν·
οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων
ὑμῖν τὸν λέγοντ' ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τις ἐστιν
σοφία καὶ οἵα, μάρτυρ' ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν

---

3. *διὰ — κτῆσιν* delevi. Si genuina sint, possis *δ. τ. ἄσκησιν.* | 7. *ἔχοι* BTW] *ἔχει* recte Sch. | 8. *εὐτελῶς* pro *ἐμμελῶς* speciose anonymus. | *διδάσκει*, quod urbanius, B Arm Sch.] *διδάσκοι* TW. | *ἔγωγ'* Tcorr.] *ἐγὼ* B. | 15. emblema del. Cob. | 16. *αὐτοσχεδιάζωμεν* = *εἰκῇ λέγωμεν.* | 17. *δίκαι' ἂν* vH] *δίκαια.* | 23. *σοφία* del. Hir. | 25. *ὅ τι* T] *τί.*

Δελφοῖς. Χαιρεφῶντα γὰρ ἤστέ που. οὗτος | ἐμός θ' ἑταῖρος 21
ἦν ἐκ νέου καὶ ὑμῶν τῷ πλήθει [ἑταῖρός τε καὶ] ξυνέφυγε
τὴν φυγὴν ταύτην καὶ μεθ' ὑμῶν κατῆλθε. καὶ ἴστε δή,
οἷος ἦν [Χαιρεφῶν], ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειεν. καὶ
δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι·
καί, ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες· ἤρετο γὰρ δή,
εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα
σοφώτερον εἶναι. καὶ τούτων πέρι ἀδελφὸς ὑμῖν αὐτοῦ οὑτοσὶ
μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκεν.

VI. *Σκέψασθε δή, ὧν ἕνεκα | ταῦτα λέγω· μέλλω γὰρ* B
ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονε. ταῦτα γὰρ ἐγὼ
ἀκούσας ἐνεθυμούμην οὑτωσί· τί ποτε λέγει ὁ θεός, καὶ τί
ποτ' αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε μέγ' οὔτε σμικρὸν ξύνοιδ'
ἐμαυτῷ σοφὸς ὤν· τί οὖν ποτε λέγει φάσκων ἐμὲ σοφώτατον
εἶναι; οὐ γὰρ δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. καὶ
πολὺν μὲν χρόνον ἠπόρουν, τί ποτε λέγει. ἔπειτα μόγις
πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τιν' ἐτραπόμην. ἦλθον ἐπί
τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς | ἐνταῦθα, εἴπερ που, C
ἐλέγξων τὸ μαντεῖον καὶ ἀποφανῶν [τῷ χρησμῷ], ὅτι οὑτοσὶ
ἐμοῦ σοφώτερός ἐστι, σὺ δ' ἐμὲ ἔφησθα. διασκοπῶν οὖν
τοῦτον — ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν, ἦν δέ τις τῶν
πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες
Ἀθηναῖοι, — [καὶ διαλεγόμενος αὐτῷ] ἔδοξέ μοι οὗτος
ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις
καὶ μάλισθ' ἑαυτῷ, εἶναι δ' οὔ· κἄπειτ' ἐπειρώμην αὐτῷ
δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ' οὔ. | ἐντεῦθεν D
οὖν τούτῳ τ' ἀπηχθόμην καὶ πολλοῖς τῶν παρόντων, πρὸς
ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην, ὅτι τούτου μὲν τἀν-
θρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν
οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι, ἀλλ' οὗτος μὲν
οἴεταί τι εἰδέναι οὐκ εἰδώς, ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα,
οὐδ' οἴομαι· ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ

---

1. *ἤστε* vH. L. Rh. p. 22] *ἴστε*. Cf. capitis fin. | 4. expunxi nomen. | 10. *δὴ* TArm. Burn.] *δὲ* W, refingens B. | 19. *τῷ χρησμῷ* delevi. | 20. *διασκοπῶν — ἔδοξέ μοι*. Structuram haud insolitam *σχῆμα σολοικοφανές* vocant grammatici. | 31. *οὖν re vera*.

σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ᾖα τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι, καὶ E *μοι | ταὐτὰ ταῦτ' ἔδοξε· καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην.*

VII. *Μετὰ ταῦτ' οὖν ἤδη ἐφεξῆς ᾖα, αἰσθανόμενος μὲν [καὶ] λυπούμενος καὶ δεδιὼς ὅτι ἀπηχθανόμην, ὅμως δ' ἀναγκαῖον ἐδόκει εἶναι τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι· ἰτέον οὖν ⟨εἶναι⟩ σκοποῦντι τὸν χρησμόν, τί λέγει, ἐφ ἅπαντας τούς τι δοκοῦντας εἰδέναι. καὶ νὴ τὸν κύνα, ὦ ἄνδρες |* 22 *Ἀθηναῖοι — δεῖ γὰρ πρὸς ὑμᾶς τἀληθῆ λέγειν — ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον· οἱ μὲν μάλιστ' εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν τοῦ πλείστου ἐνδεεῖς εἶναι ζητοῦντι κατὰ τὸν θεόν, ἄλλοι δὲ δοκοῦντες φαυλότεροι ἐπιεικέστεροι εἶναι ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην ἐπιδεῖξαι ὥσπερ πόνους τινὰς πονοῦντος, ἵνα μή μοι ἀνέλεγκτος ἡ μαντεία γένοιτο. μετὰ γὰρ τοὺς πολιτικοὺς ᾖα ἐπὶ τοὺς ποιητὰς τούς τε τῶν τραγῳδιῶν καὶ τοὺς τῶν διθυράμβων* B *καὶ τοὺς ἄλλους, | ὡς ἐνταῦθ' ἐπ' αὐτοφώρῳ καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. ἀναλαμβάνων οὖν αὐτῶν τὰ ποιήματα, ἅ μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι αὐτοῖς, διηρώτων ἂν αὐτούς, τί λέγοιεν, ἵν' ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. αἰσχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ ῥητέον. ὡς ἔπος γὰρ εἰπεῖν [ὀλίγου] αὐτῶν ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ ἐπεποιήκεσαν. ἔγνων οὖν καὶ περὶ τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦτο, ὅτι οὐ* C *σοφίᾳ | ποιοῖεν ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ καὶ ἐνθουσιάζοντες, ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί· καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασιν δ' οὐδὲν ὧν λέγουσι. τοιοῦτόν τί μοι ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες· καὶ ἅμ' ᾐσθόμην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἆλλα σοφωτάτων εἶναι ἀνθρώπων, ἃ οὐκ ἦσαν. ἀπῇ' οὖν κἀντεῦθεν τῷ αὐτῷ ⟨αὐτῶν⟩ οἰόμενος περιγεγονέναι ᾧπερ καὶ τῶν πολιτικῶν.*

---

6. delevi emblema. | 8. post *οὖν* Arm. repetit *ἐδόκει εἶναι*, unde inserui *εἶναι*. T hab. *καὶ ἰέναι*. | 15. *μή μοι* Arm. al. Burn.] *μοι καὶ* codd., *μή μοι καὶ* Sch. cum Steph. | 32. *αὐτῶν* add. anonymus, an *τούτων*?

VIII. *Τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ᾖα· ἐμαυτῷ
γὰρ ξυνῄδη οὐδὲν ἐπισταμένῳ, | ὡς ἔπος εἰπεῖν, τούτους δ'* D
*εὖ ᾔδη ὅτι εὑρήσοιμι πολλὰ καὶ κάλ' ἐπισταμένους. καὶ
τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ' ἠπίστανθ' ἃ ἐγὼ οὐκ ἠπισ-
τάμην καί μου ταύτῃ σοφώτεροι ἦσαν. ἀλλ', ὦ ἄνδρες
Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ
ποιηταί[, καὶ οἱ ἀγαθοὶ δημιουργοί]· διὰ τὸ τὴν τέχνην
καλῶς ἐξεργάζεσθαι ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέγιστα
σοφώτατος εἶναι, καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια ἐκείνην τὴν
σοφίαν ἀπέκρυπτεν· ὥστε μ' ἐμαυτὸν ἀνερωτᾶν | ὑπὲρ τοῦ* E
*χρησμοῦ, πότερα δεξαίμην ἂν οὕτως ὥσπερ ἔχω ἔχειν, μήτε
τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν μήτ' ἀμαθὴς τὴν ἀμαθίαν,
ἢ ἀμφότερ' ἃ ἐκεῖνοι ἔχουσιν ἔχειν. ἀπεκρινάμην οὖν ἐμαυτῷ
καὶ τῷ χρησμῷ ὅτι μοι λυσιτελοίη ὥσπερ ἔχω ἔχειν.*

IX. *Ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι,
πολλαὶ μὲν ἀπέχθειαί μοι | γεγόνασι καὶ οἷαι χαλεπώταται* 23
*καὶ βαρύταται, ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι,
ὄνομα δὲ τοῦτο λέγομαι, σοφὸς εἶναι. οἴονται γάρ μ' ἑκάστοθ'
οἱ παρόντες ταῦτ' αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω·
τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι,
καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη
σοφία ὀλίγου τινὸς ἀξία ἐστὶν καὶ οὐδενός· καὶ φαίνεται
τοῦτ' οὐ λέγειν τὸν Σωκράτη, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ
ὀνόματι, ἐμὲ παράδειγμα | ποιούμενος, ὥσπερ ἂν ⟨εἰ⟩ εἴποι,* B
*ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις ὥσπερ
Σωκράτης ἔγνωκεν, ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς
σοφίαν. ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιιὼν ἐξετάζω καὶ
ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ ξένων ἐάν τιν'
οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ
βοηθῶν ἐνδείκνυμαι, ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης
τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ
γέγονεν ἄξιον λόγου οὔτε τῶν οἰκείων, ἀλλ' ἐν | πενίᾳ μυρίᾳ* C
εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν.

---

2. *δ' εὖ* Cob.] *δέ γ'*. | 18. *λέγομαι* Sch.] *λέγεσθαι*. | 22. *καί* in similibus formulis variat cum *ἤ*, sed *καί* (*imo*) fortius est quam *ἤ* (*aut*). Cf. 23 C. | 27. *ἐξετάζω* Hir.] *ζητῶ*.

X. *Πρὸς δὲ τούτοις οἱ νέοι μοι ἐπακολουθοῦντες, οἷς
μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων ⟨ὑεῖς⟩, αὐτόματοι
χαίρουσιν ἀκούοντες ἐξεταζομένων τῶν ἀνθρώπων. καὶ αὐτοὶ
πολλάκις ἐμὲ μιμοῦνται, εἶτ' ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν·
κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν
εἰδέναι τι ἀνθρώπων, εἰδότων δ' ὀλίγ' ἢ οὐδέν. ἐντεῦθεν
οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, [ἀλλ'] οὐκ
αὐτοῖς, καὶ λέγουσιν, ὡς Σωκράτης τίς ἐστι μιαρώτατος καὶ
D διαφθείρει | τοὺς νέους· καὶ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ, ὅ τι
ποιῶν καὶ ὅ τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν, [ἀλλ'
ἀγνοοῦσιν,] ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων
τῶν φιλοσοφούντων πρόχειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα
καὶ τὰ ὑπὸ γῆς καὶ θεοὺς μὴ νομίζειν καὶ τὸν
ἥττω λόγον κρείττω ποιεῖν. τὰ γὰρ ἀληθῆ, οἴομαι,
οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι κατάδηλοι γίγνονται προσποιού-
μενοι μὲν εἰδέναι ⟨τι⟩, εἰδότες δ' οὐδέν. ἅτ' οὖν, οἶμαι, |
E φιλότιμοι ὄντες καὶ σφοδροὶ καὶ πολλοί, καὶ ξυντεταμένως
καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ
ὦτα καὶ πάλαι καὶ σφοδρῶς διαβάλλοντες· ἐκ τούτων καὶ
Μέλητός μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων, Μέλητος μὲν
ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ τῶν δημι-
24 ουργῶν [καὶ τῶν πολιτικῶν], Λύκων | δὲ ὑπὲρ τῶν ῥητόρων·
ὥστε, ὅπερ ἀρχόμενος ἐγὼ ἔλεγον, θαυμάζοιμ' ἄν, εἰ οἷός
τ' εἴην ἐγὼ ὑμῶν ταύτην τὴν διαβολὴν ἐξελέσθαι ἐν οὕτως
ὀλίγῳ χρόνῳ οὕτω πολλὴν γεγονυῖαν. ταῦτ' ἔστιν ὑμῖν, ὦ
ἄνδρες Ἀθηναῖοι, τἀληθῆ, καὶ ὑμᾶς οὔτε μέγα οὔτε μικρὸν
ὑποστειλάμενος ἐγὼ λέγω. καίτοι οἶδα σχεδόν, ὅ τι †τοῖς
αὐτοῖς† ἀπεχθάνομαι· ὃ καὶ τεκμήριον, ὅτι ἀληθῆ λέγω καὶ*

---

2. inserui *ὑεῖς*. | 4. *εἶτα — ἐξετάζειν* prius deleta postea tutatus est Sch., coll. Rep. 519 B; malim *μιμούμενοι* (sic F) [*εἶτα*]. | 7. *ἀλλ'* seclusi cum E. — *οὐκ αὐτοῖς*, i. e. Socratis imitatoribus] *οὐχ αὑτοῖς* B Sch. Difficilis optio. | 10 sq. *ἀλλ' ἀγνοοῦσι* del. Cob.] *ἀλλ' ἀμφιγνοοῦσι* coni. Sch. | 16. *τι* ante Heind., post *εἰδέναι* add. Cob. et sic Arm. | 27. vulgo *ἀποκρυψάμενος ἐ. λ. οὐδ' ὑποστειλάμενος*. Coll. Phot. s. v. *ὑποστ.* corr. Naber. | 27 sq. *τοῖς αὐτοῖς* BT] *αὐτοῖς τούτοις* Arm. (Burn.), *τούτοις αὐτοῖς* Heind., *τοῖς αὐτοῖς τούτοις* Sch. Melius intellegam *ὅτι ⟨δι'⟩ αὐτὸ τοῦτ' αὐτοῖς ἀπ.*, sc. *propter ipsam loquendi libertatem*.

[ὅτι] αὕτη ἐστὶν ἡ διαβολὴ ἡ ἐμὴ καὶ τὰ αἴτια ταῦτα
[ἐστιν]. καὶ ἐάντε νῦν ἐάντ' | αὖθις ζητήσητε ταῦτα, οὕτως B
εὑρήσετε.

XI. *Περὶ μὲν οὖν ὧν οἱ πρῶτοί μου κατήγοροι κατηγό-*
ρουν αὕτη ἐστὶν ἱκανὴ ἀπολογία πρὸς ὑμᾶς. πρὸς δὲ Μέλητον
τὸν ἀγαθόν τε καὶ φιλόπολιν, ὥς φησι, καὶ τοὺς ὑστέρους
μετὰ ταῦτα πειράσομαι ἀπολογεῖσθαι. αὖθις γὰρ δή, ὥσπερ
ἑτέρων τούτων ὄντων κατηγόρων, λάβωμεν αὖ τὴν τούτων
ἀντωμοσίαν. ἔχει δὲ ὧδέ πως· Σωκράτη φησίν ἀδικεῖν
τούς τε νέους διαφθείροντα καὶ θεοὺς οὓς ἡ
πόλις νομίζει οὐ νομίζοντα, ἕτερα δὲ | δαιμόνια C
καινά. τὸ μὲν δὴ ἔγκλημα τοιοῦτόν ⟨τί⟩ ἐστιν· τούτου δὲ
[τοῦ ἐγκλήματος] ἓν ἕκαστον ἐξετάσωμεν. φησὶ γὰρ δὴ τοὺς
νέους ἀδικεῖν με διαφθείροντα. ἐγὼ δέ γε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ἀδικεῖν φημι Μέλητον, ὅτι σπουδῇ χαριεντίζεται,
ῥᾳδίως εἰς ἀγῶνα καθιστὰς ἀνθρώπους, περὶ πραγμάτων
προσποιούμενος σπουδάζειν καὶ κήδεσθαι, ὧν οὐδὲν τούτῳ
πώποτ' ἐμέλησεν. ὡς δὲ τοῦθ' οὕτως ἔχει, πειράσομαι [καὶ]
ὑμῖν ἐπιδεῖξαι.

XII. *Καί μοι δεῦρ', ὦ Μέλητε. εἰπέ· 'ἄλλο τι ἢ περὶ*
πολλοῦ | ποιεῖ, ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται;' D
'ἔγωγε'. 'ἴθι δή νυν εἰπὲ τουτοισί, τίς αὐτοὺς βελτίους ποιεῖ.
δῆλον γὰρ ὅτι οἶσθα, μέλον γέ σοι. τὸν μὲν γὰρ διαφθείροντ'
ἐξευρών, ὡς φῄς, ἔμ' εἰσάγεις ⟨εἰς⟩ τουτουσί [καὶ κατηγορεῖς]·
τὸν δὲ δὴ βελτίους ποιοῦντα ἴθι εἰπὲ καὶ μήνυσον αὐτοῖς,
τίς ἐστιν. ὁρᾷς, ὦ Μέλητε, ὅτι σιγᾷς καὶ οὐκ ἔχεις εἰπεῖν;
καίτοι οὐκ αἰσχρόν σοι δοκεῖ εἶναι καὶ ἱκανὸν τεκμήριον οὗ
δὴ ἐγὼ λέγω, ὅτι σοι οὐδὲν μεμέληκεν; ἀλλ' εἰπέ, ὠ̃γαθέ,
τίς αὐτοὺς ἀμείνους ποιεῖ.' 'οἱ νόμοι.' 'ἀλλ' οὐ | τοῦτ' ἐρωτῶ, E
ὦ βέλτιστε, ἀλλὰ τίς ἄνθρωπος, ὅστις πρῶτον καὶ αὐτὸς

---

1 sq. Delevi *ὅτι* et cum Hir. *ἐστιν.* | 9. *ὧδέ πως* Hir.] *πως ὧδε.* Conieci olim *πῶς; ὧδε*, adversante Sch., sed confirmante Arm. | 12. *τι* add. Hir., delevi *τοῦ ἐγκλ.* | 18. *καὶ* del. Cob. | 19. post *Μέλητε* pro virgula posui punctum. | 21. *τουτοισί* Hir.] *τούτοις.* | 24. *εἰς τουτουσὶ* Cob. (Arm.)] *τουτοισὶ* | *καὶ κατ.* del. Cob. | 29. *αὐτὸς* J. M. Fraenkel] *αὐτό.*

τοῦτ' οἶδε, τοὺς νόμους.' 'οὑτοί, ὦ Σώκρατες [οἱ δικασταί].'
'πῶς λέγεις, ὦ Μέλητε; οἵδε τοὺς νέους παιδεύειν οἷοί τ'
εἰσι καὶ βελτίους ποιοῦσιν;' 'μάλιστα.' 'πότερον ἅπαντες, ἢ
οἱ μὲν αὐτῶν, οἱ δ' οὔ;' 'ἅπαντες.' 'εὖ γε νὴ τὴν Ἥραν
λέγεις, καὶ πολλὴν ἀφθονίαν τῶν ὠφελούντων. τί δὲ δή;
25 οἱ δὲ ἀκροαταὶ βελτίους | ποιοῦσιν ἢ οὔ;' 'καὶ οὗτοι.' 'τί δὲ
οἱ βουλευταί;' 'καὶ οἱ βουλευταί.' 'ἀλλ' ἄρα, ὦ Μέλητε, μὴ
οἱ ἐν τῇ ἐκκλησίᾳ [οἱ ἐκκλησιασταί], διαφθείρουσι τοὺς νεω-
τέρους; ἢ κἀκεῖνοι βελτίους ποιοῦσιν ἅπαντες;' 'κἀκεῖνοι.'
'πάντες ἄρα, ὡς ἔοικεν, Ἀθηναῖοι καλοὺς κἀγαθοὺς ποιοῦσι
πλὴν ἐμοῦ, ἐγὼ δὲ μόνος διαφθείρω. οὕτω λέγεις;' 'πάνυ
σφόδρα ταῦτα λέγω.' 'πολλήν γ' ἐμοῦ κατέγνωκας δυστυχίαν.
καί μοι ἀπόκριναι· ἦ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν;
B οἱ μὲν | βελτίους ποιοῦντες αὐτοὺς πάντες ἄνθρωποι εἶναι,
εἷς δέ τις ὁ διαφθείρων; ἢ τοὐναντίον τούτου πᾶν εἷς μέν
τις ὁ βελτίους οἷός τ' ὢν ποιεῖν ἢ πάνυ ὀλίγοι, οἱ ἱππικοί·
οἱ δὲ πολλοὶ ἐάνπερ ξυνῶσι [καὶ χρῶνται] ἵπποις, διαφθεί-
ρουσιν; οὐχ οὕτως ἔχει, ὦ Μέλητε, καὶ περὶ ἵππων καὶ
τῶν ἄλλων ἁπάντων ζῴων; πάντως δήπου, ἐάντε σὺ καὶ
Ἄνυτος οὐ φῆτε ἐάντε φῆτε· πολλὴ γὰρ ἄν τις εὐδαιμονία
εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ
C δ' ἄλλοι ὠφελοῦσιν. ἀλλὰ | γάρ, ὦ Μέλητε, ἱκανῶς ἐπιδείκ-
νυσαι, ὅτι οὐδεπώποτ' ἐφρόντισας τῶν νέων, καὶ σαφῶς
ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμήληκεν
περὶ ὧν ἐμὲ εἰσάγεις.

XIII. Ἔτι δ' ἡμῖν εἰπέ, ὦ πρὸς Διός, Μέλητε, πότερον
ἔστιν οἰκεῖν ἄμεινον ἐν πολίταις χρηστοῖς ἢ πονηροῖς; ὦ τᾶν,
ἀπόκριναι· οὐδὲν γάρ τοι χαλεπὸν ἐρωτῶ. οὐχ οἱ μὲν πονηροὶ
κακόν τι ἐργάζονται τοὺς ἀεὶ ἐγγυτάτω ἑαυτῶν ὄντας, οἱ δ'
ἀγαθοὶ ἀγαθόν τι;' 'πάνυ γε.' 'ἔστιν οὖν ὅστις βούλεται ὑπὸ
D τῶν ξυνόντων | βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; ἀπόκριναι,
ὦ γαθέ· καὶ γὰρ ὁ νόμος κελεύει [ἀποκρίνεσθαι]. ἔσθ' ὅστις

---

1. οὑτοί Cob., delens οἱ δικασταί] οὗτοι. | 6. οἱ δὲ] οἵδε οἱ B. | 14. αὐτούς, sc. δοκοῦσί σοι. | 17. καὶ χρῶνται concellavi. | 29. τι add. TArm. Hir. | 32. delevi ἀποκρίνεσθαι.

*βούλεται βλάπτεσθαι;' 'οὐ δῆτα.' 'φέρε δή, πότερον ἔμ' εἰσά-
γεις δεῦρ' ὡς διαφθείροντα τοὺς νεωτέρους καὶ πονηροτέρους
ποιοῦνθ' ἑκόντ' ἢ ἄκοντα;' 'ἑκόντ' ἔγωγε.' 'τί δῆτα, ὦ Μέλητε;
τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ τηλικούτου ὄντος τηλικόσδ'
ὤν, ὥστε σὺ μὲν ἔγνωκας, ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐργά-
ζονται ἀεὶ τοὺς μάλιστα πλησίον | ἑαυτῶν, οἱ δ' ἀγαθοὶ* E
*ἀγαθόν τι· ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω, ὥστε καὶ
τοῦτ' ἀγνοῶ, ὅτι, ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων,
κινδυνεύσω κακόν τι λαβεῖν ὑπ' αὐτοῦ, ὥστε τοῦτο ⟨τὸ⟩
τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς φῂς σύ; ταῦτ' ἐγώ σοι οὐ
πείθομαι, ὦ Μέλητε, οἶμαι δ' οὐδ' ἄλλον ἀνθρώπων οὐδένα.
ἀλλ' ἢ οὐ | διαφθείρω, ἢ [εἰ] διαφθείρω ἄκων, ὥστε σύ γε* 26
*κατ' ἀμφότερα ψεύδει. εἰ δ' ἄκων διαφθείρω, τῶν τοιούτων
[καὶ ἀκουσίων] ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν,
ἀλλ' ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν· δῆλον γὰρ ὅτι,
ἐὰν μάθω, παύσομαι ὅ γ' ἄκων ποιῶ. σὺ δὲ ξυγγενέσθαι
μέν μοι καὶ διδάξαι ἔφυγες καὶ οὐκ ἠθέλησας, δεῦρο δ'
εἰσάγεις, οἷ νόμος ἐστὶν εἰσάγειν τοὺς κολάσεως δεομένους,
ἀλλ' οὐ μαθήσεως.'*

XIV. *'Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον |
ἤδη ἐστίν, ὃ ἐγὼ ἔλεγον, ὅτι | Μελήτῳ τούτων οὔτε μέγα* B
*οὔτε σμικρὸν πώποτ' ἐμέλησεν. 'ὅμως δὲ δὴ λέγ' ἡμῖν, πῶς
με φῂς διαφθείρειν, ὦ Μέλητε, τοὺς νεωτέρους; ἢ δῆλον
δὴ ὅτι κατὰ τὴν γραφήν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα
μὴ νομίζειν οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαι-
μόνια καινά; οὐ ταῦτα λέγεις, ὅτι διδάσκων διαφθείρω;'
'πάνυ μὲν οὖν σφόδρα ταῦτα λέγω.' 'πρὸς αὐτῶν τοίνυν, ὦ
Μέλητε, τούτων τῶν θεῶν[, ὧν νῦν ὁ λόγος ἐστίν], εἰπ' ἔτι
| σαφέστερον καὶ ἐμοὶ καὶ [τοῖς ἀνδράσιν] τουτοισί. ἐγὼ γὰρ* C
*οὐ δύναμαι μαθεῖν, πότερον λέγεις διδάσκειν με νομίζειν
εἶναι ⟨μέν⟩ τινας θεούς (καὶ αὐτὸς ἄρα νομίζω θεοὺς εἶναι,*

---

9. *ὑπ'* ECob.] *ἀπ'*. | 18. *εἰσάγειν* fort. recte om. D. | 22. *σμικρὸν* formam Platonicam ubique reposui pro *μικρὸν*. | *ἐμέλησεν*. Hic et alibi cum allusione ad Meleti nomen. | 28. *ὧν* — *ἐστίν* delevi L. Rh. p. 37. | 29. *τοῖς ἀνδράσι* del. Cob. | *τουτοισὶ* BTV] *τούτοις*. | 31. *μὲν* add. Ast. | *καὶ* — *ἀδικῶ* posui in parenthesi.

*καὶ οὐκ εἰμὶ τὸ παράπαν ἄθεος οὐδὲ ταύτῃ ἀδικῶ), οὐ
μέντοι οὕσπερ γ' ἡ πόλις, ἀλλ' ἑτέρους, καὶ τοῦτ' ἔστιν ὅ
μοι ἐγκαλεῖς, ὅτι ἑτέρους· ἢ παντάπασί με φῂς οὔτ' αὐτὸν
νομίζειν θεοὺς τούς τ' ἄλλους ταῦτα διδάσκειν.' 'ταῦτα λέγω,
ὡς τὸ παράπαν οὐ νομίζεις θεούς.' 'ὦ θαυμάσιε [Μέλητε], ἵνα
D τί ταῦτα λέγεις; οὐδ' | ἥλιον οὐδὲ σελήνην ἄρα νομίζω θεοὺς
εἶναι, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι;' 'μὰ Δί,' ὦ ἄνδρες δικα-
σταί, ἐπεὶ τὸν μὲν ἥλιον λίθον φησὶν εἶναι, τὴν δὲ σελήνην
γῆν.' 'Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλητε, ἢ οὕτω
καταφρονεῖς τῶνδε καὶ οἴει αὐτοὺς ἀπείρους γραμμάτων εἶναι,
ὥστ' οὐκ εἰδέναι, ὅτι τὰ [Ἀναξαγόρου] βιβλία τοῦ Κλαζο-
μενίου γέμει τούτων τῶν λόγων; καὶ δὴ καὶ οἱ νέοι ταῦτα
παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ,
E δραχμῆς | ἐκ τῆς ὀρχήστρας πριαμένοις Σωκράτους κατα-
γελᾶν, ἐὰν προσποιῆται ἑαυτοῦ εἶναι, ἄλλως τε καὶ οὕτως
ἄτοπ' ὄντα. ἀλλ', ὦ πρὸς Διός, οὑτωσί σοι δοκεῖν; οὐδένα
νομίζω θεὸν εἶναι;' 'οὐ μέντοι μὰ Δί' οὐδ' ὁπωστιοῦν.'
'ἄπιστός γ' εἶ, ὦ Μέλητε, καὶ ταῦτα μέντοι, ὡς ἐμοὶ δοκεῖς,
σαυτῷ.' ἐμοὶ γὰρ δοκεῖ οὑτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ
εἶναι ὑβριστὴς καὶ ἀκόλαστος, καὶ ἀτεχνῶς τὴν γραφὴν ταύτην
ὕβρει τινὶ καὶ ἀκολασίᾳ καὶ νεότητι γράψασθαι. ἔοικεν γὰρ
27 ὥσπερ | αἴνιγμα ξυντιθέντι διαπειρωμένῳ· ἆρα γνώσεται
Σωκράτης ὁ σοφὸς δὴ ἐμοῦ χαριεντιζομένου καὶ ἐναντί'
ἐμαυτῷ λέγοντος, ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους τοὺς
ἀκούοντας; οὗτος γὰρ ἐμοὶ φαίνεται τἀναντία λέγειν αὐτὸς
ἑαυτῷ ἐν τῇ γραφῇ, ὥσπερ ἂν εἰ εἴποι· ἀδικεῖ Σωκράτης
θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων. καίτοι τοῦτ' ἔστι
παίζοντος.*

XV. *Ξυνεπισκέψασθε δή, ὦ ἄνδρες, ᾗ μοι φαίνεται ταῦτα
λέγειν· σὺ δ' ἡμῖν ἀπόκριναι, ὦ Μέλητε· ὑμεῖς δέ, ὅπερ
B κατ' ἀρχὰς ὑμᾶς | παρῃτησάμην, μέμνησθέ μοι μὴ θορυβεῖν,
ἐὰν ἐν τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι. 'ἔστιν ὅστις*

---

5. delevi nomen. | 9 *Ἀναξαγόρου* del. Sch., loci leporem destruens. Sensus *mene habes pro Anaxagora?* | *ἢ* vH. L.Rh. p. 37] *καί.* | 11. delevi l l. *Ἀναξαγόρου.* Anaxagoras solem esse *λίθον διάπυρον* statuerat. | 16. *δοκεῖν* Sch.] *δοκῶ* (quod prius edidit). | 27. *θεοὺς* abesse malim, sed cf. 22 D.

*ἀνθρώπων, ὦ Μέλητε, ἀνθρώπεια μὲν νομίζει πράγματ'
εἶναι, ἀνθρώπους δ' οὒ [νομίζει]; ἀποκρινέσθω, ὦ ἄνδρες,
καὶ μὴ ἄλλα καὶ ἄλλα θορυβείτω· ἔσθ' ὅστις ἵππους μὲν οὒ
νομίζει, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲν οὒ νομίζει
εἶναι, αὐλητικὰ δὲ πράγματα; οὐκ ἔστιν, ὦ ἄριστ' ἀνδρῶν·
εἰ μὴ σὺ βούλει ἀποκρίνασθαι, ἐγὼ σοὶ λέγω καὶ τοῖς ἄλλοις
τουτοισί. ἀλλὰ τὸ ἐπὶ τούτῳ γ' ἀπόκριναι· ἔσθ' ὅστις | δαι-* C
*μόνια μὲν νομίζει πράγματ' εἶναι, δαίμονας δὲ οὐ νομίζει;'
'οὐκ ἔστιν.' 'ὡς ὤνησας, ὅτι μόγις ἀπεκρίνω ὑπὸ τουτωνὶ
ἀναγκαζόμενος. οὐκοῦν δαιμόνια μὲν φῂς με καὶ νομίζειν
καὶ διδάσκειν, εἴτ' οὖν καίν' εἴτε παλαιά· ἀλλ' οὖν δαιμόνιά
γε νομίζω κατὰ τὸν σὸν λόγον, καὶ ταῦτα καὶ διωμόσω ἐν
τῇ ἀντιγραφῇ. εἰ δὲ δαιμόνια νομίζω, καὶ δαίμονας δήπου
πολλὴ ἀνάγκη νομίζειν μ' ἐστίν· οὐχ οὕτως ἔχει; ἔχει δή·
τίθημι γάρ σ' ὁμολογοῦντα, ἐπειδὴ οὐκ ἀποκρίνει. τοὺς δὲ
δαίμονας οὐχὶ ἤτοι | θεούς γ' ἡγούμεθ' ἢ θεῶν παῖδας;* D
*φῂς ἢ οὔ;' 'πάνυ γε.' 'οὐκοῦν εἴπερ δαίμονας ἡγοῦμαι, ὡς
σὺ φῄς, εἰ μὲν θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ' ἂν εἴη ὃ
ἐγώ φημί σ' αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγού-
μενον φάναι ἐμὲ θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε
δαίμονας ἡγοῦμαι· εἰ δ' αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσιν
νόθοι τινὲς ἢ ἐκ νυμφῶν ἢ ἔκ τινων ἄλλων, ὧν δὴ καὶ
λέγονται, τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτ' εἶναι,
θεοὺς δὲ μή; ὁμοίως γὰρ ἂν ἄτοπον εἴη, ὥσπερ ἂν εἴ τις
ἵππων μὲν | παῖδας ἡγοῖτο [ἢ] καὶ ὄνων [τοὺς ἡμιόνους],* E
*ἵππους δὲ καὶ ὄνους μὴ ἡγοῖτ' εἶναι. ἀλλ', ὦ Μέλητε, οὐκ
ἔστιν ὅπως σὺ ταῦτ' οὐχὶ ἀποπειρώμενος ἡμῶν ἐγράψω
[τὴν γραφὴν ταύτην] ἢ ἀπορῶν ὅ τι ἐγκαλοίης ἐμοὶ ἀληθὲς
ἀδίκημα· ὅπως δὲ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν
ἔχοντα [ἀνθρώπων], ὡς [οὐ τοῦ αὐτοῦ] ἐστιν καὶ δαιμόνια
καὶ θεῖα ἡγεῖσθαι, καὶ αὖ τοῦ αὐτοῦ μήτε δαίμονας μήτε
θεοὺς [μήτε | ἥρωας], οὐδεμία μηχανή ἐστιν.'* 28

---

2. *νομίζει* del. Hir. | 7. *γε] γετι* B. Eust. *γέ τοι.* | 25. *ἢ* del. Hartm., alii *καί.* | *τοὺς ἡμ.* del. Bauml. Legit iam Arrianus Diss. Epict. 2, 5. | 27. *ταῦτα* del. Sch., probabilius *τὴν γρ. ταύτην* Hir. | 30 sq. *ἀνθρ.* del. Hir. | *οὐ τοῦ αὐτοῦ* del. Riecker, contra *τοῦ αὐτοῦ* Hir.

XVI. *Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ οὐκ
ἀδικῶ κατὰ τὴν Μελήτου γραφήν, οὐ πολλῆς μοι δοκεῖ
εἶναι ἀπολογίας, ἀλλ' ἱκανὰ καὶ ταῦτα· ὃ δὲ καὶ ἐν τοῖς
ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀπέχθεια γέγονεν καὶ πρὸς
πολλούς, εὖ ἴσθ' ὅτι ἀληθές ἐστιν. καὶ τοῦτ' ἔστιν ὃ ἔμ'
αἱρήσει, ἐάνπερ αἱρῇ, οὐ Μέλητος οὐδ' Ἄνυτος, ἀλλ' ἡ τῶν
πολλῶν διαβολή τε καὶ φθόνος. ἃ δὴ καὶ ἄλλους πολλοὺς
καὶ ἀγαθοὺς ἄνδρας ᾕρηκεν, οἶμαι δὲ καὶ αἱρήσει· οὐδὲν |
B δὲ δεινόν, μὴ ἐν ἐμοὶ στῇ. ἴσως δ' ἂν οὖν εἴποι τις· εἶτ'
οὐκ αἰσχύνει, ὦ Σώκρατες, τοιοῦτον ἐπιτήδευμ' ἐπιτηδεύσας,
ἐξ οὗ κινδυνεύεις νυνὶ ἀποθανεῖν; ἐγὼ δὲ τούτῳ ἂν δικαιον
λόγον ἀντείποιμι, ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει
δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα,
ὅτου τι καὶ σμικρὸν ὄφελός [ἐστιν], ἀλλ' οὐκ ἐκεῖνο μόνον
σκοπεῖν, ὅταν πράττῃ, πότερον δίκαι' ἢ ἄδικα πράττει, καὶ
ἀνδρὸς ἀγαθοῦ ἔργ' ἢ κακοῦ. φαῦλοι γὰρ ἂν τῷ γε σῷ
C λόγῳ εἶεν τῶν | ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν οἵ τ'
ἄλλοι καὶ ὁ τῆς Θέτιδος ὑός, ὃς τοσοῦτον τοῦ κινδύνου
κατεφρόνησεν παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι, ὥστ' ἐπειδὴ
εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορ' ἀποκτεῖναι,
θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγὼ οἶμαι· ὦ παῖ, εἰ τιμωρή-
σεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον καὶ Ἕκτορ' ἀποκτενεῖς,
αὐτὸς ἀποθανεῖ· αὐτίκα γάρ τοι, φησί, μεθ' Ἕκτορα
πότμος ἑτοῖμος· ὁ δὲ τοῦτ' ἀκούσας τοῦ μὲν θανάτου
D καὶ τοῦ κινδύνου ὠλιγώρησε, πολὺ δὲ | μᾶλλον δείσας τὸ
ζῆν κακὸς ὢν καὶ τοῖς φίλοις μὴ τιμωρεῖν, αὐτίκα, φησί,
τεθναίην δίκην ἐπιθεὶς τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένω
καταγέλαστος παρὰ νηυσὶ κορωνίσιν ἄχθος ἀρούρης.
μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου; οὕτω γὰρ
ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἄν τις ἑαυτὸν
τάξῃ [ἢ] ἡγησάμενος βέλτιστον εἶναι ἢ ὑπ' ἄρχοντος ταχθῇ,
ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπο-
λογιζόμενον μήτε θάνατον μήτ' ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ.*

---

8. prius *καὶ* del. Cob. | *αἱρήσει* Burn.] *αἱρήσειν* B. | 14. *ἐστιν* om. Antoninus 7, 44. Delevi. | 23 sqq. Hom. I 410 sqq. | 28. *κορωνίσιν* (*-νηισιν* B)] *ἐτώσιον* Hom. Σ 104.

XVII. Ἐγὼ οὖν δείν᾽ ἂν εἴην εἰργασμένος, ὦ ἄνδρες
Ἀθηναῖοι, εἰ, ὅτε μέν μ᾽ | οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς
εἵλεσθ᾽ ἄρχειν μου, καὶ ἐν Ποτειδαίᾳ καὶ ἐν Ἀμφιπόλει καὶ
ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον ἔμενον ὥσπερ καὶ
ἄλλος τις καὶ ἐκινδύνευον ἀποθανεῖν, τοῦ δὲ θεοῦ τάττοντος,
ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με διαζῆν
καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ φοβη-
θεὶς ἢ θάνατον ἢ | ἄλλ᾽ ὁτιοῦν [πρᾶγμα] λίποιμι τὴν τάξιν. 29
δεινὸν τἂν εἴη, καὶ ὡς ἀληθῶς τότ᾽ ἄν με δικαίως εἰσαγάγοι
τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι ἀπειθῶν τῇ
μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος σοφὸς εἶναι οὐκ ὤν.
τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλ᾽ ἐστὶν ἢ
δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ
οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ᾽ εἰ τυγχάνει τῷ
ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν, δεδίασι δ᾽ ὡς
εὖ εἰδότες, ὅτι μέγιστον τῶν κακῶν ἐστι. καίτοι πῶς οὐκ |
ἀμαθία ἐστὶν [αὕτη ἡ] ἐπονείδιστος ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ B
οὐκ οἶδεν; ἐγὼ δ᾽, ὦ ἄνδρες, [τούτῳ] κἀνταῦθ᾽ ἴσως διαφέρω
τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην
εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου
οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δ᾽ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ
βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν
ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν, ὧν οἶδ᾽ ὅτι κάκ᾽ ἐστιν, ἃ
μὴ οἶδ᾽ εἰ καὶ ἀγάθ᾽ ὄντα τυγχάνει οὐδέποτε φοβήσομαι
οὐδὲ φεύξομαι· ὥστ᾽ οὐδ᾽ εἴ με νῦν ὑμεῖς ἀφίοιτ᾽ | Ἀνύτῳ C
ἀπιστήσαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρ᾽ εἰσελ-
θεῖν ἤ, ἐπειδὴ εἰσῆλθον, οὐχ οἷόν τ᾽ εἶναι τὸ μὴ ⟨οὐκ⟩
ἀποκτεῖναί με, λέγων πρὸς ὑμᾶς ὡς, εἰ διαφευξοίμην, ἤδη
[ἂν] ὑμῶν οἱ υἱεῖς ἐπιτηδεύοντες ἃ Σωκράτης διδάσκει πάντες

---

3. *Ποτιδαίᾳ* codd. Cf. Meist.—Schw. p. 52. Agitur de rebus gestis a. 432, 422, 424 a. C. | 6. *διαζῆν* dedi cum Stob. pro *δεῖν* (del. Bau., *με δεῖν* Hartm) — *ζῆν*. | 8. *πρᾶγμα* del. Hir. | 9. *εἰσαγάγοι* Hir.] *εἰσάγοι*. | 11. *καὶ — θάν.* del. Hartm. | 16. *καίτοι* Eust.] *καὶ τοῦτο* (*καίτοι τοῦτο* Heind.). | 17. *αὕτη ἡ* om. Arm. Utramque correctionem admisi, deleta virgula post *ἐπονείδιστος*. | 18. *τούτῳ* del. Sch. post me L. Rh. p. 38, ubi etiam sequens *καὶ* delebam. | 24. *εἰ καὶ* Eust. et Theod] *εἰ*. | 25. *ἀφίοιτε* Steph.] *ἀφίετε*. | 28. *οὐκ* addidi L. Rh. l.l. | 29. *ἂν* del. Cob.

παντάπασι διαφθαρήσονται, — εἴ μοι πρὸς ταῦτ' εἴποιτε·
ὦ Σώκρατες, νῦν μὲν Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφίεμέν
σε, ἐπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ τῇ ζητήσει
διατρίβειν [μηδὲ φιλοσοφεῖν]· ἐαν δὲ ἁλῷς ἔτι τοῦτο πράτ-
D των, ἀποθανεῖ·' εἰ οὖν | με, ὅπερ εἶπον, ἐπὶ τούτῳ ἀφίοιτε,
εἴποιμ' ἂν ὑμῖν ὅτι ἐγὼ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀσπά-
ζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ μᾶλλον τῷ θεῷ ἢ ὑμῖν,
καὶ ἕωσπερ ἂν ἐμπνέω καὶ οἷός τ' ὦ, οὐ μὴ παύσωμαι
φιλοσοφῶν καὶ ὑμῖν παρακελευόμενός τε καὶ ἐνδεικνύμενος
ὅτῳ ἂν ἀεὶ ἐντυγχάνω ὑμῶν, λέγων οἷάπερ εἴωθα, ὅτι ὦ
ἄριστ' ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ
εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν, χρημάτων μὲν οὐκ
αἰσχύνει ἐπιμελούμενος, ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ |
E δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀληθείας καὶ τῆς ψυχῆς,
ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελεῖ οὐδὲ φροντίζεις; καὶ
ἐάν τις ὑμῶν ἀμφισβητήσῃ καὶ φῇ ἐπιμελεῖσθαι, οὐκ εὐθὺς
ἀφήσω αὐτὸν οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν καὶ ἐξετάσω
καὶ ἐλέγξω, καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετήν, φάναι
30 δέ, ὀνειδιῶ, ὅτι τὰ ⟨μὲν⟩ πλείστου ἄξια περὶ | ἐλαχίστου
ποιεῖται, τὰ δὲ φαυλότερα περὶ πλείονος. ταῦτα καὶ νεωτέρῳ
καὶ πρεσβυτέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ καὶ
ἀστῷ, μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μου ἐγγυτέρω ἐστὲ γένει.
ταῦτα γὰρ κελεύει ὁ θεός, εὖ ἴστε, καὶ ἐγὼ οἴομαι οὐδέν
πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν
τῷ θεῷ ὑπηρεσίαν. οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρ-
χομαι ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε
σωμάτων ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδ' |
B οὕτω σφόδρ' ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται, λέγων,
ὅτι οὐκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα
καὶ τἄλλ' ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα καὶ ἰδίᾳ καὶ δημοσίᾳ.
εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτ' ἂν εἴη
βλαβερά· εἰ δέ τίς μέ φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν

4. *μηδὲ φιλ.* del. Hartm. | 5. *τούτῳ* vH.] *τούτοις.* | 6. *ὦ* cum B om. Sch. | 13. *ἐπιμελούμενος.* E forma antiquior (cf. *μέλω* et *μεταμέλομαι*), sed inature alteram iuxta hanc usurpatam esse docent tituli. Cf Meist.—Sch. p. 175. | 16. *ἀμφισβητῇ* B Sch. | 19. *μὲν* add. Hir.

λέγει. πρὸς ταῦτα, φαίην ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, ἢ πείθεσθ' Ἀνύτῳ ἢ μή, καὶ ἢ ἀφίετέ με ἢ μή, ὡς ἐμοῦ οὐκ ἂν ποιήσαντος ἄλλα, οὐδ' εἰ μέλλω | πολλάκις τεθνάναι. C

XVIII. *Μὴ θορυβεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν[, μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν]· καὶ γάρ, ὡς ἐγᾦμαι, ὀνήσεσθε ἀκούοντες. μέλλω γὰρ οὖν ἄττ' ὑμῖν ἐρεῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε, ἐάν μ' ἀποκτείνητε τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς· ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλητος οὔτ' Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιτο· οὐ γὰρ οἴομαι | θεμιτὸν* D *εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μέντ' ἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμώσειεν· ἀλλὰ ταῦθ' οὗτος μὲν ἴσως οἴεται καὶ ἄλλος τίς που μεγάλα κακά, ἐγὼ δ' οὐκ οἴομαι, ἀλλὰ πολὺ μᾶλλον ⟨τὸ⟩ ποιεῖν ἃ οὑτοσὶ νῦν ποιεῖ, ἄνδρ' ἀδίκως ἐπιχειρῶν ἀποκτεινύναι. νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὥς τις ἂν οἴοιτο, ἀλλ' ὑπὲρ ὑμῶν, μή τι ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν ἐμοῦ καταψηφισάμενοι. ἐὰν γάρ ἔμ' | ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε,* E *ἀτεχνῶς, εἰ καὶ γελοιότερον εἰπεῖν, προσκείμενον τῇ πόλει [ὑπὸ τοῦ θεοῦ], ὥσπερ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ καὶ δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος· οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθηκέναι τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων ἕν' ἕκαστον | οὐδὲν παύομαι τὴν ἡμέραν ὅλην πανταχοῦ* 31 *προσκαθίζων. τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες, ἀλλ' ἐὰν ἐμοὶ πίθησθε, φείσεσθέ μου· ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαντες ἄν με, πιθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείναιτε,*

---

1. *ἄνδρες* addidi ex E. | 2. *μὴ* TArm.] *μὴ ἀφίετε.* | *ποιήσαντες* Cob.] *-σαντος.* | 4. *ὦ* om. B. | 5. *μὴ — ἀκούειν* vix sunt genuina. | 8. *με] ἐμὲ* B. | 15. *οὑτοσὶ νῦν* E.] *οὗτος νυνὶ.* | 16. *ἐπιχειρῶν* Theod.] *ἐπιχειρεῖν.* | 22. *ὑπὸ τοῦ θεοῦ* TVb] *ὑπὸ τῶν θεῶν* B, del. Hir. Cf. 20. | 24. *προστεθεικέναι* codd. et vulgo, sed cf. Meist—Schw. p. 189, 6. | 28. *πίθησθε* et 30 *πιθόμενος* dedi pro *πειθ.*

*εἶτα τὸν λοιπὸν βίον καθεύδοντες διατελοῖτ' ἄν, εἰ μή τιν'
ἄλλον ὁ θεὸς ὑμῖν ἐπιπέμψειεν κηδόμενος [ὑμῶν]. ὅτι δ'
ἐγὼ τυγχάνω ὢν τοιοῦτος, οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει*
B *δεδόσθαι, ἐνθένδ' ἂν | κατανοήσαιτε· οὐ γὰρ ἀνθρωπίνῳ
ἔοικε τὸ ἐμὲ τῶν μὲν ἐμαυτοῦ πάντων ἠμεληκέναι καὶ ἀνέ-
χεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτ' ἤδη ἔτη, τὸ δ'
ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόνθ' ὥσπερ πατέρ'
ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντ' ἐπιμελεῖσθαι ἀρετῆς. καὶ εἰ
μέν τι ἀπὸ τούτων ἀπέλαυον καὶ μισθὸν λαμβάνων ταῦτα
παρεκελευόμην, εἶχον ἄν τινα λόγον· νῦν δ' ὁρᾶτε δὴ καὶ
αὐτοί, ὅτι οἱ κατήγοροι τἆλλα πάντ' ἀναισχύντως οὕτω
κατηγοροῦντες τοῦτό γ' οὐχ οἷοί τ' ἐγένοντ' ἀπαναισχυντῆσαι*
C | *παρασχόμενοι μάρτυρα, ὥς ἐγώ ποτέ τιν' ἢ ἐπραξάμην
μισθὸν ἢ ᾔτησα. ἱκανὸν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν
μάρτυρα, ὡς ἀληθῆ λέγω, τὴν πενίαν.*

XIX. *Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ
ἰδίᾳ μὲν ταῦτα ξυμβουλεύω περιιὼν καὶ πολυπραγμονῶν,
δημοσίᾳ δ' οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον
ξυμβουλεύειν τῇ πόλει. τούτου δ' αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ
πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι* |
D *καὶ δαιμόνιον γίγνεται [φωνή], ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπι-
κωμῳδῶν Μέλητος ἐγράψατο· ἐμοὶ δὲ τοῦτ' ἔστιν ἐκ παιδὸς
ἀρξάμενον φωνή τις γιγνομένη, ἣ ὅταν γένηται, ἀεὶ ἀπο-
τρέπει με τούτου ὃ ἂν μέλλω πράττειν, προτρέπει δ' οὔποτε·
τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. καὶ παγ-
κάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι· εὖ γὰρ ἴστε, ὦ ἄνδρες
Ἀθηναῖοι, εἰ ἐγὼ [πάλαι] ἐπεχείρησα πράττειν τὰ πολιτικὰ*
E *[πράγματα], πάλαι ἂν ἀπωλώλη καὶ οὔτ' ἂν ὑμᾶς | ὠφελήκη
οὐδὲν οὔτ' ἂν ἐμαυτόν. καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ·
οὐ γάρ ἐστιν ὅστις ἀνθρώπων σωθήσεται οὔθ' ὑμῖν οὔτ'
ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ διακωλύων*
32 *πόλλ' ἄδικα καὶ παράνομ' ἐν τῇ πόλει γίγνεσθαι, | ἀλλ'
ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου,*

---

2. *ὑμῶν* om. Arm., del. Ludwich. | 5. *ἁπάντων* B. | 9. *μέντοι τι* B. | *εἶχον* B] *εἶχεν* T. | 14. *τὸν* del. Hir., tuetur Sch. Dubito. | 24. *τούτου* T] *τοῦτο* B. Fort. *τοῦ*. | 28. *πράγματα* del. Hir.

καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν ἀλλὰ μὴ δημοσιεύειν.

XX. *Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων,*
οὐ λόγους, ἀλλ' ὃ ὑμεῖς τιμᾶτ', ἔργα. ἀκούσατε δή μου τὰ
ἐμοὶ ξυμβεβηκότα, ἵν' εἰδῆτε, ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι
παρὰ τὸ δίκαιον δείσας θάνατον, μὴ ὑπείκων δ' ἅμα καὶ
ἀπολοίμην. ἐρῶ δ' ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ.
ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν | οὐδεμίαν B
πώποτ' ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν
ἡ φυλὴ [Ἀντιοχὶς] πρυτανεύουσα, ὅθ' ὑμεῖς τοὺς δέκα
στρατηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας
ἐβούλεσθ' ἄθρους κρίνειν, παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ
χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. τότ' ἐγὼ μόνος τῶν πρυτάνεων
ἠναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς νόμους [καὶ ἐναντία
ἐψηφισάμην]· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ἀπάγειν
τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ
νόμου καὶ τοῦ | δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν C
ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φοβηθέντα
δεσμὸν ἢ θάνατον. καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης
τῆς πόλεως· ἐπειδὴ δ' ⟨ἡ⟩ ὀλιγαρχία ἐγένετο, οἱ τριάκοντ'
αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν εἰς τὴν θόλον προσέ-
ταξαν ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον, ἵν'
ἀποθάνοι· οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέ-
ταττον, βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν· τότε
μέντοι ἐγὼ οὐ | λόγῳ ἀλλ' ἔργῳ αὖ ἐνεδειξάμην, ὅτι ἐμοὶ D
θανάτου μὲν μέλει, εἰ μὴ ἀγροικότερον [ἦν] εἰπεῖν, οὐδ'
ὁτιοῦν, τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τού-
του δὲ τὸ πᾶν μέλει. ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ οὐκ ἐξέπληξεν
οὕτως ἰσχυρὰ οὖσα, ὥστ' ἄδικόν τι ἐργάσασθαι, ἀλλ' ἐπειδὴ
ἐκ τῆς θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες ᾤχοντ' εἰς Σαλα-

---

6. *ἅμα καὶ* T] *ἅμα καὶ ἅμα ἂν* B, *ἀλλὰ καὶ ἅμ' ἂν* Wbc, *ἅμα* Sch., alii aliter; errant qui addunt *ἄν*, nam requiritur nudus optativus; *καὶ* est *vel.* | 8. *ἄνδρες* om. B. | 11. *ναυμαχίας*, ad Arginusas. a. 406. | 12. *ἄθρους] ἀθρόους.* | 20 sqq. *ἡ* add. Arm. et Heind. | 23 sqq. *οἷα — αἰτιῶν* del. Hartm. Cf. Lysiae or. c. Eratosthenem. | 26. *ἦν* del. Heind., frustra tuetur Sch. Loci Euthyd. 263 C alia est ratio.

*μῖνα καὶ ἤγαγον Λέοντα, ἐγὼ δ' ᾠχόμην ἀπιὼν οἴκαδε.
καὶ ἴσως ἂν διὰ ταῦτ' ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διὰ ταχέων*
E *κατελύθη· καὶ τούτων | ὑμῶν ἔσονται πολλοὶ μάρτυρες.*

XXI. *Ἆρ' οὖν ἄν μ' οἴεσθε τοσάδ' ἔτη διαγενέσθαι, εἰ
ἔπραττον τὰ δημόσια, καὶ πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ
ἐβοήθουν τοῖς δικαίοις καί, ὥσπερ χρή, τοῦτο περὶ πλείστου
ἐποιούμην; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι. οὐδὲ γὰρ*
33 *ἂν ἄλλος ἀνθρώπων οὐδείς. | ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου
δημοσίᾳ τε, εἴ πού τι ἔπραξα, τοιοῦτος φανοῦμαι, καὶ ἰδίᾳ
αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ
δίκαιον οὔτ' ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς δὴ διαβάλλοντες
ἐμέ φασιν ἐμοὺς μαθητὰς εἶναι. ἐγὼ δὲ διδάσκαλος μὲν
οὐδενὸς πώποτ' ἐγενόμην· εἰ δέ τίς μου λέγοντος καὶ τὰ
ἐμαυτοῦ πράττοντος ἐπεθύμει ἀκούειν, εἴτε νεώτερος εἴτε
πρεσβύτερος, οὐδενὶ πώποτ' ἐφθόνησα, οὐδὲ χρήματα μὲν |*
B *λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δ' οὔ, ἀλλ' ὁμοίως
καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν, καὶ ἐὰν
τις βούληται ἀποκρινόμενος ἀκούειν ὧν ἂν λέγω. καὶ τούτων
ἐγὼ εἴτε τις χρηστὸς γίγνεται εἴτε μή, οὐκ ἂν δικαίως τὴν
αἰτίαν ὑπέχοιμι, ὧν μήθ' ὑπεσχόμην μηδενὶ μηδὲν πώποτε
μάθημα μήτ' ἐδίδαξα· εἰ δέ τίς φησι παρ' ἐμοῦ πώποτέ τι
μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ ὅ τι μὴ καὶ ἄλλοι πάντες, εὖ ἴσθ' ὅτι
οὐκ ἀληθῆ λέγει.*

XXII. *Ἀλλὰ διὰ τί δή ποτε μετ' ἐμοῦ χαίρουσί τινες*
C *πολὺν χρόνον | διατρίβοντες; ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι·
πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἶπον, ὅτι ἀκούοντες χαίρουσιν
ἐξεταζομένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ' οὔ·
ἔστι γὰρ οὐκ ἀηδές. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέ-
τακται ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ μαντείων καὶ ἐξ ἐνυπ-
νίων καὶ παντὶ τρόπῳ, ᾧπέρ τις πώποτε καὶ ἄλλη θεία
μοῖρ' ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν. ταῦτα, ὦ
ἄνδρες Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστιν καὶ εὐέλεγκτα. εἰ γὰρ δὴ*
D *ἔγωγε τῶν νέων τοὺς μὲν διαφθείρω, | τοὺς δὲ διέφθαρκα,*

---

3. *ὑμῶν* Herm.] *ὑμῖν.* | 11. *δὴ* TBurn.] *οἵ* B. An *δὴ οἵ*? | 14. *ἐπεθύμει* Cob.] *ἐπιθυμεῖ.* | 22. *ἄλλοι] ἄλλοι* B, *οἱ ἄλλοι* ceteri. | 30. *πώποτε* Hir.] *ποτε.* | 32. *ἄνδρες* om. B. Sch.

*χρῆν δήπου, εἰ μέν τινες αὐτῶν πρεσβύτεροι γενόμενοι
ἔγνωσαν, ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνε-
βούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ
τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν
ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας,
[εἴπερ ὑπ᾽ ἐμοῦ τι κακὸν ἐπεπόνθεσαν αὐτῶν οἱ οἰκεῖοι,]
νῦν μεμνῆσθαι [καὶ τιμωρεῖσθαι]. πάντως δὲ πάρεισιν αὐτῶν
πολλοὶ ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον μὲν Κρίτων | οὑτοσί,* E
*ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτοβούλου τοῦδε πατήρ,
ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τοῦδε πατήρ, ἔτι δ᾽
Ἀντιφῶν ὁ Κηφισιεὺς οὑτοσί, Ἐπιγένους πατήρ, ἄλλοι τοίνυν
οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασιν,
Νικόστρατος ὁ Θεοζοτίδου, ἀδελφὸς Θεοδότου — καὶ ὁ μὲν
Θεόδοτος τετελεύτηκεν, ὥστ᾽ οὐκ ἂν ἐκεῖνός γ᾽ αὐτοῦ κατα-
δεηθείη —, καὶ Παράλιος ὅδ᾽ ὁ Δημοδόκου, οὗ ἦν Θεάγης
ἀδελφός· ὅδε τ᾽ | Ἀδείμαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς* 34
*οὑτοσὶ Πλάτων, καὶ Αἰαντόδωρος, οὗ Ἀπολλόδωρος ὅδ᾽
ἀδελφός. καὶ ἄλλους πολλοὺς ἐγὼ ἔχω ὑμῖν εἰπεῖν, ὧν τιν᾽
ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρασχέσθαι Μέλητον
μάρτυρα· εἰ δὲ τότ᾽ ἐπελάθετο, νῦν παρασχέσθω, ἐγὼ
παραχωρῶ, καὶ λεγέτω, εἴ τι ἔχει τοιοῦτον. ἀλλὰ τούτου
πᾶν τοὐναντίον εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν
ἑτοίμους τῷ διαφθείροντι, τῷ κάκ᾽ ἐργαζομένῳ τοὺς οἰκείους
αὐτῶν, ὥς φασι Μέλητος καὶ | Ἄνυτος. αὐτοὶ μὲν γὰρ οἱ* B
*διεφθαρμένοι τάχ᾽ ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δ᾽ ἀδιά-
φθαρτοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες,
τίν᾽ ἄλλον ἔχουσι λόγον βοηθοῦντες ἐμοὶ ἀλλ᾽ ἢ τὸν ὀρθόν
τε καὶ δίκαιον, ὅτι ξυνίσασι Μελήτῳ μὲν ψευδομένῳ, ἐμοὶ
δ᾽ ἀληθεύοντι;*

XXIII. *Εἶεν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ᾽ ἂν ἀπο-
λογεῖσθαι, σχεδόν ἐστι ταῦτα καὶ ἄλλα [ἴσως] τοιαῦτα. τάχα
δ᾽ ἄν τις ὑμῶν ἀγανακτήσειεν | ἀναμνησθεὶς ἑαυτοῦ, εἰ ὁ* C

---

1. *εἰ μὲν* vH] *εἴτε* codd., *εἴπερ* Hir. An *εἴ γε*? | 6 sq *εἴπερ — οἰκεῖοι* delevi | 10. *δ᾽* add. TArm. | 13. *ὁ* om. B, sed cf. sqq. | *Θεοζοτίδου* (cf. CIA V 3, n. 904) nomen varie corruptum in libris praeter F. | 15. *Παράλιος* Kirchner ex CIA II 660] *Πάραλος*. | 16. *τε* Heind.] *δέ*. | 31. *σχεδόν τοι* (an *τι*?) E — *ἴσως* del. Hir.

μὲν καὶ ἐλάττω τουτουῒ τοῦ ἀγῶνος ἀγῶν' ἀγωνιζόμενος ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία θ' αὑτοῦ ἀναβιβασάμενος, ἵν' ὅτι μάλιστ' ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλούς, ἐγὼ δ' οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον. τάχ' οὖν τις ταῦτ' ἐννοήσας αὐθαδέστερον ἂν πρός με σχοίη, καὶ ὀργισθεὶς αὐτοῖς τούτοις θεῖτ' ἂν μετ' ὀργῆς τὴν ψῆφον. εἰ δή τις ὑμῶν οὕτως ἔχει, — |
D οὐκ ἀξιῶ μὲν γὰρ ἔγωγε — εἰ δ' οὖν, ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς τοῦτον λέγειν λέγων, ὅτι ἐμοί, ὦ ἄριστε, εἰσὶν μὲν πού τινες καὶ οἰκεῖοι· καὶ γὰρ τοῦτ' αὐτὸ τὸ τοῦ Ὁμήρου, οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης πέφυκα, [ἀλλ' ἐξ ἀνθρώπων,] ὥστε καὶ οἰκεῖοί μοί εἰσι καὶ ὑεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς, εἷς μὲν μειράκιον ἤδη, δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδέν' αὐτῶν δεῦρ' ἀναβιβασάμενος δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; οὐκ
E αὐθαδιζόμενος, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' | ὑμας ἀτιμάζων, ἀλλ' εἰ μὲν θαρραλέως ἐγὼ ἔχω πρὸς θάνατον ἢ μή, ἄλλος λόγος, πρὸς δ' οὖν δόξαν καὶ ἐμοὶ καὶ ὑμῖν καὶ ὅλῃ τῇ πόλει οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν καὶ τηλικόνδ' ὄντα καὶ τοῦτο τοὔνομ' ἔχοντα, εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος· ἀλλ' οὖν δεδογμένον 'γ' ἐστὶ τὸ Σωκράτη
35 διαφέρειν τινὶ τῶν | πολλῶν ἀνθρώπων. εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ εἴτ' ἀνδρείᾳ εἴτ' ἄλλῃ ᾑτινιοῦν ἀρετῇ τοιοῦτοι ἔσονται[, αἰσχρὸν ἂν εἴη]· οἵουσπερ ἐγὼ πολλάκις ἑόρακά τινας, ὅταν κρίνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια δ' ἐργαζομένους, ὡς δεινόν τι οἰομένους πείσεσθαι, εἰ ἀποθανοῦνται, ὥσπερ ἀθανάτων ἐσομένων, ἐὰν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε· οἳ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν, ὥστ' ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν,
B ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, | οὓς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις τιμαῖς προκρίνουσιν, οὗτοι γυναικῶν οὐδὲν διαφέρουσι. ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔθ' ἡμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁτιοῦν εἶναι, οὔτ',

12. ἀλλ' ἐξ ἀ. del. Cob. | 22. τὸ] τῶ B, τὸν T; τῳ, deleto τινὶ Burn. | 25. emblema del. Cob. | 26. ἑόρακα] ἑώρακα.

ἐὰν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν, ἀλλὰ τοῦτ' αὐτ' ἐνδείκνυσθαι, ὅτι πολὺ μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεινὰ ταῦτα δράματ' εἰσάγοντος καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος [ἢ τοῦ ἡσυχίαν ἄγοντος].

XXIV. *Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ δίκαιόν μοι δοκεῖ εἶναι δεῖσθαι [τοῦ | δικαστοῦ] οὐδὲ δεόμενον ἀπο-* C
φεύγειν, ἀλλὰ διδάσκειν καὶ πείθειν. οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ' ἐπὶ τῷ κρίνειν ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. οὔκουν χρὴ οὔθ' ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν οὔθ' ὑμᾶς ἐθίζεσθαι· οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. μὴ οὖν ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα [δεῖν] πρὸς ὑμᾶς πράττειν, ἃ ἡγοῦμαι μήτε καλὰ εἶναι μήτε δίκαια μήθ' ὅσια, | ἄλλως τε μέντοι D
νὴ Δία [πάντως] καὶ ἀσεβείας φεύγονθ' ὑπὸ Μελήτου τουτουΐ. σαφῶς γὰρ ἄν, εἰ πείθοιμ' ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι, καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ, ὡς θεοὺς οὐ νομίζω. ἀλλὰ πολλοῦ δέω οὕτως ἔχειν· νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τ' ἄριστ' εἶναι καὶ ὑμῖν.

XXV. | *Τὸ μὲν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, [ἐπὶ* E
τούτῳ τῷ γεγονότι,] ὅτι μου | κατεψηφίσασθε, ἄλλα τέ μοι 36
πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονεν τὸ γεγονὸς τοῦτο, ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότ' ἀριθμόν. οὐ γὰρ ᾠόμην ἔγωγ' οὕτω παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ· νῦν δέ, ὡς ἔοικεν, εἰ τριάκοντα μόναι μετέπεσον τῶν ψήφων, ἀποπεφεύγη ἄν.

---

2. *ἐλεινὰ] ἐλεεινά.* | 4. *τοῦ — ἄγοντος* del. Cob. | 6. *τοῦ δικαστοῦ* delevi L. Rh. p. 36. | 13. *δεῖν* cancellavi. An *δή?* | 14. *μήτε ἡγοῦμαι* codd., transposuit Sch. | 19. *δέω* Cob.] *δεῖ.* | 23. Sequentia dici finguntur post condemnationem et ante aestimationem litis. | 24. aut *ἐπὶ — γεγονότι* aut *ὅτι μου κατ.* delenda. Hoc fecit Hir., si recte, mox etiam *τὸ γεγονὸς* deleverim.

Μέλητον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ παντὶ δῆλον τοῦτό γε, ὅτι, εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, κἂν B *ὦφλε χιλίας | δραχμάς[, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων].*

XXVI. *Τιμᾶται δ' οὖν μοι ἀνὴρ θανάτου. εἶεν· ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσωμαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας; τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτεῖσαι, ὅτι παθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧνπερ οἱ πολλοί ⟨οὔ⟩, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥστ' εἰς* C *ταῦτ' | ἰόντα σῴζεσθαι, ἐνταῦθα μὲν οὐκ ᾖα, οἷ ἐλθὼν μήθ' ὑμῖν μήτ' ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον [ἰὼν] εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὥς ἐγώ φημι, ἐνταῦθ' ᾖα, ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπιμεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο, μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως, τῶν τ' ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι· τί οὖν* D *εἰμ' ἄξιος παθεῖν | τοιοῦτος ὤν; ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δεῖ γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθαι· καὶ ταῦτά [γε] ἀγαθὸν τοιοῦτον, ὅ τι ἂν πρέποι ἐμοί. τί οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει; οὐκ ἔσθ' ὅ τι [μᾶλλον], ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρ' ἐν πρυτανείῳ σιτεῖσθαι, πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπίασιν. ὁ μὲν γὰρ ὑμᾶς* E *ποιεῖ εὐδαίμονας δοκεῖν [εἶναι], ἐγὼ δ' εἶναι· καὶ ὁ | μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ*

---

4 sq. emblema del. Hir. *δραχμάς* praeterea Hartm. | 7. *ἀντιτιμήσωμαι* Hir.] *-σομαι.* | 8. *ἀποτίσαι* codd. Vid. Meist.—Schw. p. 36, 3. | 9. *παθὼν* Hir.] *μαθὼν.* | 10. *οὐ* add. Arm. Sch. | 16. *ἰών* del. Sch. | 17. *ἐνταῦθα ᾖα* Hir. | 24. *γε* (quod huic formulae non addi solet) del. Bau. | 26. *μᾶλλον* del. Mudge, *οὕτως* Adam , *καὶ οὕτως* Bau. | 30. prius *εἶναι* expunxi.

δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου | τιμῶμαι[, ἐν πρυτανείῳ 37
σιτήσεως].

XXVII. *Ἴσως οὖν ὑμῖν καὶ ταυτὶ λέγων παραπλησίως
δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως,
ἀπαυθαδιζόμενος· τὸ δ' οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι,
τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον. πέπεισμαι ἐγὼ ἑκὼν εἶναι
μηδέν' ἀδικεῖν ἀνθρώπων, ἀλλ' ὑμᾶς τοῦτ' οὐ πείθω· ὀλίγον
γὰρ χρόνον ἀλλήλοις διειλέγμεθα· ἐπεί, ὡς ἐγῷμαι, εἰ ἦν
ὑμῖν νόμος, ὥσπερ καὶ ἄλλοις ἀνθρώποις, περὶ θανάτου
μὴ μίαν | ἡμέραν μόνον κρίνειν, ἀλλὰ πολλάς, ἐπείσθητ' ἄν·* B
*νῦν δ' οὐ ῥᾴδιον ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπο-
λύεσθαι. πεπεισμένος δὴ ἐγὼ μηδέν' ἀδικεῖν πολλοῦ δέω
ἐμαυτόν γ' ἀδικήσειν καὶ κατ' ἐμαυτοῦ ἐρεῖν αὐτός, ὡς ἄξιός
εἰμί του κακοῦ καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ. τί
δείσας; ἦ μὴ πάθω τοῦτο, οὗ Μέλητός μοι τιμᾶται, ὅ φημ'
οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν ἐστιν; ἀντὶ τούτου
δὴ ἕλωμαί τι ὧν εὖ οἶδα κακῶν ὄντων, τούτου τιμησάμενος;
πότερον δεσμοῦ; καὶ τί | με δεῖ ζῆν ἐν δεσμωτηρίῳ, δου-* C
*λεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ [τοῖς ἕνδεκα]; ἀλλὰ χρη-
μάτων, καὶ δεδέσθαι, ἕως ἂν ἐκτείσω; ἀλλὰ ταὐτόν μοί
ἐστιν, ὅπερ νῦν δὴ ἔλεγον· οὐ γὰρ ἔστι μοι [χρήματα],
ὁπόθεν ἐκτείσω. ἀλλὰ δὴ φυγῆς τιμήσωμαι; ἴσως γὰρ ἄν
μοι τούτου τιμήσαιτε. πολλὴ μεντἂν με φιλοψυχία ἔχοι,
εἰ οὕτως ἀλόγιστός εἰμι, ὥστε μὴ δύνασθαι λογίζεσθαι, ὅτι
ὑμεῖς μὲν ὄντες πολῖταί μου οὐχ οἷοί τ' ἐγένεσθ' ἐνεγκεῖν
τὰς ἐμὰς διατριβὰς | [καὶ τοὺς λόγους], ἀλλ' ὑμῖν βαρύτεραι* D
*γεγόνασιν καὶ ἐπιφθονώτεραι, ὥστε ζητεῖτ' αὐτῶν νυνὶ ἀπαλ-
λαγῆναι. ἄλλοι δ' ἄρ' αὐτὰς οἴσουσι ῥᾳδίως; πολλοῦ γε δεῖ,
ὦ ἄνδρες Ἀθηναῖοι. καλὸς οὖν ἄν μοι ὁ βίος εἴη ἐξελθόντι
τηλικῷδ' ἀνθρώπῳ ἄλλην ἐξ ἄλλης πόλεως ἀμειβομένῳ καὶ
ἐξελαυνομένῳ ζῆν. εὖ γὰρ οἶδ' ὅτι, ὅποι ἂν ἔλθω, λέγοντος*

---

1. *τῆς ἐν* E, sed praestat delere *ἐν — σιτήσεως*. | 5. *ἄνδρες* cum B om. Sch. | 17. *ἕλωμαί (τι)* E, quo recepto dedi *οἶδα* pro *οἶδ' ὅτι* (*οἶδά τι* Bau.). | 21. *χρήματα* del. Hir. | 24. *εἰμι] εἴην* Cob. Tuetur Sch., coll. Prot. 340 E, *εἰ* in talibus = *εἴπερ ὄντως*. | 26. *καὶ — λόγους* del. Sch. | 29. *ἄνδρες* addidi ex E. | 30. *πόλεως] πόλιν* Cob. | 31. *ζῆν] γῆν πρὸ γῆς* Cob. Vulgata sane laborat.

*ἐμοῦ ἀκροάσονται οἱ νέοι ὥσπερ ἐνθάδε· κἂν μὲν τούτους
ἀπελαύνω, οὗτοί μ' αὐτοὶ ἐξελῶσι, πείθοντες τοὺς πρεσβυ-*
E *τέρους· ἐὰν δὲ* | *μὴ [ἀπελαύνω], οἱ τούτων πατέρες τε καὶ
οἰκεῖοι δι' αὐτοὺς τούτους.*

XXVIII. *Ἴσως οὖν ἄν τις εἴποι· „σιγῶν δὲ καὶ ἡσυχίαν
ἄγων, ὦ Σώκρατες, οὐχ οἷός τ' ἔσει ἡμῖν ἐξελθὼν ζῆν;"
τουτὶ δή ἐστι πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν. ἐάντε
γὰρ λέγω, ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἔστιν καὶ διὰ τοῦτ'
ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρωνευομένῳ·*
38 | *ἐάντ' αὖ λέγω, ὅτι καὶ τυγχάνει μέγιστον ἀγαθὸν ὂν ἀν-
θρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους
ποιεῖσθαι καὶ τῶν ἄλλων, περὶ ὧν ὑμεῖς ἐμοῦ ἠκούετε
διαλεγομένου καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος, ὁ δ'
ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ, ταῦτα δ' ἔτι ἧττον
πείσεσθέ μοι λέγοντι. τὰ δ' ἔχει μὲν οὕτως, ὡς ἐγώ φημι,
ὦ ἄνδρες, πείθειν δ' οὐ ῥᾴδιον. καὶ ἐγὼ ἅμ' οὐκ εἴθισμαι
ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. εἰ μὲν γὰρ ἦν μοι χρήματα,*
B *ἐτιμησάμην* | *ἂν χρημάτων ὅσ' ἔμελλον ἐκτείσειν· οὐδὲν γὰρ
ἂν ἐβλάβην· νῦν δ' οὐ γάρ ἐστιν, εἰ μὴ ἄρ' ὅσον ἂν ἐγὼ
δυναίμην ἐκτεῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆσαι. ἴσως δ'
ἂν δυναίμην ἐκτεῖσαι ὑμῖν μνᾶν ἀργυρίου[· τοσούτου οὖν
τιμῶμαι]. Πλάτων δ' ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων
καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα
μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι· τιμῶμαι οὖν τοσούτου,*
C *ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι* | *ἀξιόχρεῳ.*

XXIX. *Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι,
ὄνομ' ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδο-
ρεῖν, ὡς Σωκράτη ἀπεκτόνατε, ἄνδρα σοφόν· φήσουσι γὰρ
δή με σοφὸν εἶναι, εἰ καὶ μή εἰμι, οἱ βουλόμενοι ὑμῖν
ὀνειδίζειν. εἰ οὖν περιεμείνατ' ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτο-
μάτου ἂν ὑμῖν τοῦτ' ἐγένετο· ὁρᾶτε γὰρ δὴ τὴν ⟨ἐμὴν⟩*

---

2. *με]* *ἐμὲ* B. — *αὖ* pro *αὐτοὶ* coni. Sch. | 3. *ἀπελαύνω* del. Hir. | 12. *ἠκούετε* dedi cum E] *ἀκούετε*. | 16. *ῥᾴδια* T. | 21 sq. emblema del. Hartm. | 26 sqq. *epilogus*. | 31. inserui *ἐμήν*.

ἡλικίαν, ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δ' ἐγγύς.
λέγω δὲ τοῦτ' οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς | ἐμοῦ D
καταψηφισαμένους θάνατον. λέγω δὲ καὶ τόδε πρὸς τοὺς
αὐτοὺς τούτους. ἴσως μ' οἴεσθε, ὦ ἄνδρες, ἀπορίᾳ λόγων
ἑαλωκέναι τοιούτων, οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾤμην δεῖν ἅπαντα
ποιεῖν καὶ λέγειν, ὥστ' ἀποφυγεῖν [τὴν δίκην]. πολλοῦ γε δεῖ.
ἀλλ' ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ τόλμης καὶ
ἀναισχυντίας καὶ τοῦ μὴ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα,
οἷ' ἂν ὑμῖν ἥδιστ' ἦν ἀκούειν, θρηνοῦντός τέ μου καὶ
ὀδυρομένου καὶ ἄλλα ποιοῦντος καὶ | λέγοντος πολλὰ καὶ E
ἀνάξι' ἐμοῦ, ὡς ἐγώ φημι· οἷα δὴ καὶ εἴθισθ' ὑμεῖς τῶν
ἄλλων ἀκούειν. ἀλλ' οὔτε τότ' ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου
πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως
ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδ' ἀπολογη-
σάμενος τεθνάναι ἢ ἐκείνως ζῆν. οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν
πολέμῳ οὔτ' ἔμ' οὔτ' ἄλλον οὐδένα δεῖ τοῦτο | μηχανᾶσθαι, 39
ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ γὰρ ἐν ταῖς
μάχαις πολλάκις δῆλον γίγνεται, ὅτι τό γ' ἀποθανεῖν ἄν τις
ἐκφύγοι καὶ ὅπλ' ἀφεὶς καὶ ἐφ' ἱκετείαν τραπόμενος τῶν
διωκόντων· καὶ ἄλλαι μηχαναὶ πολλαί εἰσιν ἐν ἑκάστοις τοῖς
κινδύνοις, ὥστε διαφεύγειν θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν
καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ' ᾖ χαλεπόν, ὦ ἄνδρες, θάνατον
ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον πονηρίαν· θᾶττον γὰρ
θανάτου θεῖ. καὶ | νῦν ἐγὼ μὲν ἅτε βραδὺς ὢν καὶ πρεσβύτης B
ὑπὸ τοῦ βραδυτέρου ἑάλων, οἱ δ' ἐμοὶ κατήγοροι ἅτε δεινοὶ
καὶ ὀξεῖς ὄντες ὑπὸ τοῦ θάττονος[, τῆς κακίας]. καὶ νῦν ἐγὼ
μὲν ἄπειμι ὑφ' ὑμῶν θανάτου δίκην ὀφλών, οὗτοι δ' ὑπὸ
τῆς ἀληθείας ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. καὶ ἐγώ τε
τῷ τιμήματι ἐμμενῶ καὶ οὗτοι. ταῦτα μέν που ἴσως οὕτως
καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

XXX. Τὸ δὲ δὴ μετὰ τοῦτ' ἐπιθυμῶ ὑμῖν | χρησμῳδῆσαι, C
ὦ καταψηφισάμενοί μου· καὶ γάρ εἰμ' ἤδη ἐνταῦθα, ἐν ᾧ
μάλιστ' ἄνθρωποι χρησμῳδοῦσιν[, ὅταν μέλλωσιν ἀποθα-

---

2. ἐμοῦ] μου? | 6. τὴν δίκην del. Hir. | 8. μὴ TArm.] om. BSch. | 26. τῆς κακίας del. Hir. | 27. ὀφλὼν] ὄφλων. | 29. ἐμμενῶ Hir.] ἐμμένω. | 33. emblema del. Hir.

νεῖσθαι]. φημὶ γάρ, ὦ ἄνδρες, οἵ μ᾽ ἀπεκτόνατε, τιμωρίαν ὑμῖν ἥξειν εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον πολὺ χαλεπωτέραν νὴ Δί᾽ ἢ οἵαν ἔμ᾽ ἀπεκτόνατε· νῦν γὰρ τοῦτ᾽ εἴργασθε οἰόμενοι μὲν ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου, τὸ δ᾽ ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγώ φημι. πλείους ἔσονται D *ὑμᾶς οἱ ἐλέγξοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς | δ᾽ οὐκ ᾐσθάνεσθε· καὶ χαλεπώτεροι ἔσονται ὅσῳ νεώτεροί εἰσιν, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε. εἰ γὰρ οἴεσθ᾽ ἀποκτείνοντες ἀνθρώπους ἐπισχήσειν τοῦ ὀνειδίζειν τιν᾽ ὑμῖν ὅτι οὐ καλῶς ζῆτε, οὐκ ὀρθῶς διανοεῖσθε· οὐ γάρ ἐσθ᾽ αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυνατὴ οὔτε καλή, ἀλλ᾽ ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κωλύειν, ἀλλ᾽ ἑαυτὸν παρασκευάζειν, ὅπως ἔσται ὡς βέλτιστος. ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψη-* E *φισαμένοις μαντευσάμενος | ἀπαλλάττομαι.*

XXXI. *Τοῖς δ᾽ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην ὑπὲρ τοῦ γεγονότος τουτουὶ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν ἄγουσι καὶ οὔπω ἔρχομαι οἷ ἐλθόντα με δεῖ τεθνάναι. ἀλλά μοι, ὦ ἄνδρες, παραμείνατε τοσοῦτον χρόνον· οὐδὲν γὰρ κωλύει διαμυθολογῆσαι πρὸς ἀλλήλους, ἕως ἔξεστιν.* 40 *ὑμῖν γὰρ ὡς | φίλοις οὖσιν ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι ξυμβεβηκὸς τί ποτε νοεῖ. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί — ὑμᾶς γὰρ δικαστὰς καλῶν ὀρθῶς ἂν καλοίην — θαυμάσιόν τι γέγονεν. ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ [ἡ τοῦ δαιμονίου] ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν· νυνὶ δὲ ξυμβέβηκέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοί, ταυτὶ ἅ γε δὴ οἰηθείη ἄν τις [καὶ νομίζεται] ἔσχατα κακῶν εἶναι. ἐμοὶ* B *δ᾽ οὔτ᾽ ἐξιόντι ἕωθεν | οἴκοθεν ἠναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔθ᾽ ἡνίκ᾽ ἀνέβαινον ἐνταυθοῖ [ἐπὶ τὸ δικαστήριον], οὔτ᾽ ἐν*

---

1. *οἵ με* T] *οἳ ἐμὲ.* | *ἀποκτενεῖτε* T, sed cf. sqq. Saepe in talibus praeterito utuntur tragici, tragicum autem colorem habet hic locus. | 3. = *οἵαν εἰλήφατ᾽ ἔμ᾽ ἀποκτείνοντες.* | 4. *μὲν* Herm.] *με.* | an *ἀπηλλάξεσθαι?* | 6. *ἐλέγξοντες* Sch.] *ἐλέγχοντες.* | 9. *οὐ καλῶς] οὐκ ὀρθῶς* B et uulgo. | 12. *κωλύειν* J. C. Vollgraff] *κολούειν.* | 23. *εἰωθῦα.* Hic et ubique sequor titulorum atticorum huius aetatis orthographiam: *ῦα* pro *υῖα.* Cf. Meist. p. 59 sqq. | 27. *καὶ νομίζεται* del. Sch. | 29. *ἐπὶ τὸ δικαστήριον* del. Hir.

τῷ λόγῳ οὐδαμοῦ μέλλοντί τι ἐρεῖν· καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή μ' ἐπέσχε λέγοντα μεταξύ· νῦν δ' οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντίωταί μοι. τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ· κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς τοῦτ' ἀγαθὸν γεγονέναι, καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα | κακὸν εἶναι τὸ τεθνάναι. μέγα μοι τεκμήριον C *τούτου γέγονεν· οὐ γὰρ ἔσθ' ὅπως οὐκ ἠναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν.*

XXXII. *Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτ' εἶναι. δυοῖν γὰρ θάτερόν ἐστιν τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδ' αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκισις τῇ ψυχῇ [τοῦ τόπου τοῦ] ἐνθένδ' εἰς ἄλλον τόπον. καὶ εἴγε δὴ μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' | οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ,* D *θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γάρ δὴ οἶμαι, εἴ τιν' ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν, [ὥστε μηδ' ὄναρ ἰδεῖν,] καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα [ταύτῃ τῇ νυκτὶ] δέοι σκεψάμενον εἰπεῖν, πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας [ταύτης τῆς νυκτὸς] βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλ' αὐτὸν τὸν μέγαν βασιλέα | εὐαριθμήτους ἂν εὑρεῖν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας ⟨τε⟩* E *καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστιν, κέρδος ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ. εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδ' εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστιν τὰ λεγόμενα, ὡς ἄρ' ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τουτωνὶ | τῶν φασκόντων δικαστῶν* 41

---

14. *μετοίκισις* Cob.] *-κησις*. | emblema del. Hir. cum cod. C. Theod. | 15. *εἴ γε* Heind.] *εἴτε*. | 17. *δὴ* Sch.] *ἄν*. | 19 et 20 et 22 expunxi emblemata. | 23. *αὐτὸν* huc transposui, lectum post *εὑρεῖν*; om. Arm., del. Hir. | 24. *τε* ex Eust. add. Heind. | 27. *εἰ δ'*] *εἴτ'* Stob. Hir. | 31. *τουτωνὶ*] *τούτων* B.

εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵπερ [καὶ] λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντ' ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν; ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι, εἰ ταῦτ' ἔστιν ἀληθῆ· ἐπεὶ ἔμοιγε καὶ αὐτῷ B θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐτόθι, | ὁπότε ⟨τ'⟩ ἐντύχοιμι Παλαμήδει καὶ Αἴαντι τῷ Τελαμῶνος καὶ εἴ τις ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄδικον τέθνηκεν, ἀντιπαραβάλλοντι τἀμαυτοῦ πάθη πρὸς τἀκείνων, ὡς ἐγᾦμαι, οὐκ ἂν ἀηδὲς εἴη. καὶ δὴ τὸ μέγιστον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα ὥσπερ τοὺς ἐνταῦθα διάγειν, τίς αὐτῶν σοφός ἐστιν καὶ τίς οἴεται μέν ⟨εἶναι⟩, ἔστιν δ' οὔ. ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτ' ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιὰν C ἢ Ὀδυσσέα ἢ | Σίσυφον; καὶ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας, οἷς ἐκεῖ διαλέγεσθαι καὶ ξυνεῖναι καὶ ἐξετάζειν ἀμήχανον ἂν εἴη εὐδαιμονίας. πάντως οὐ δήπου τούτου γ' ἕνεχ' οἱ ἐκεῖ ἀποκτείνουσι· τά τε γὰρ ἄλλ' εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμεν' ἀληθῆ.

XXXIII. Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐέλπιδας εἶναι πρὸς τὸν θάνατον, καὶ ἕν τι τοῦτο διανοεῖσθαι D ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ | ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τελευτήσαντι, οὐδ' ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα· οὐδὲ τἀμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν ἐστι τοῦτο, ὅτι ἤδη [τεθνάναι καὶ] ἀπηλλάχθαι πραγμάτων βέλτιον ἦν μοι. [διὰ τοῦτο καὶ ἐμὲ οὐδαμοῦ ἀπέτρεψεν τὸ σημεῖον,] καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω. καίτοι οὐ ταύτῃ τῇ διανοίᾳ κατεψηφίζοντό μου καὶ κατηγόρουν,

---

1. ὡς add. Eust. Stob.] om. B. | delevi καί. | 7. ἐθέλω] θέλω B. | 8. τε add. Sch. | 14. εἶναι addidi. | 16. καί vH.] ἤ. Cf. Phaed. 70 E et 94 C et sic corrige Gorg. 483 D; Bau. hic inserit οὓς post μυρίους et in Gorgia ἃ post μυρία. | 18. fort. ἀμηχάνου. Cf. Mitchellii Ind. Plat s. v. | 21. post ἀληθῆ add. ἐστιν TV et ex mg. b. Del. Sch. | 28 sq. emblema del. Hir.

ἀλλ᾽ οἰόμενοι βλάπτειν· τοῦτ᾽ | αὐτοῖς ἄξιον μέμφεσθαι. E *τοσόνδε μέντοι αὐτῶν δέομαι· τοὺς ὑεῖς μου, ἐπειδὰν ἡβήσωσι, τιμωρήσασθε, ὦ ἄνδρες, ταὐτὰ ταῦτα λυποῦντες, ἅπερ ἐγὼ ὑμᾶς ἐλύπουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημάτων ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς, καὶ ἐὰν δοκῶσί τι εἶναι μηδὲν ὄντες, ὀνειδίζετ᾽ αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν, ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ, καὶ οἴονταί τι εἶναι ὄντες οὐδενὸς ἄξιοι. καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια | πεπονθὼς ἐγὼ ἔσομαι ὑφ᾽* 42 *ὑμῶν αὐτός τε καὶ οἱ ὑεῖς. ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν ἀποθανουμένῳ, ὑμῖν δὲ βιωσομένοις· ὁπότεροι δ᾽ ἡμῶν ἔρχονται ἐπ᾽ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν εἰ τῷ θεῷ.*

---

10. fort. *ὁποτέροις*, doleto *ἔρχονται*. | 11. *πλὴν* B, *πλὴν ἢ* ceteri. De *πλὴν εἰ* cf. Sch. Comm. Plat. p. 101.

ΚΡΙΤΩΝ.

St. I p. 43

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ
ΣΩΚΡΑΤΗΣ, ΚΡΙΤΩΝ.

A I. *ΣΩ. Τί τηνικάδ' ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρῴ ἔτι ἐστίν;*

ΚΡ. Πάνυ μὲν οὖν.

ΣΩ. Πηνίκα μάλιστα;

ΚΡ. Ὄρθρος βαθύς.

ΣΩ. Θαυμάζω, ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι.

ΚΡ. Ξυνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν, καί τι καὶ εὐεργέτηται ὑπ' ἐμοῦ.

ΣΩ. Ἄρτι δ' ἥκεις ἢ πάλαι;

ΚΡ. Ἐπιεικῶς πάλαι.

B *ΣΩ. Εἶτα πῶς | οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι;*

ΚΡ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τ' ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι. ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω [αἰσθανόμενος], ὡς ἡδέως καθεύδεις· καὶ ἐπίτηδές σ' οὐκ ἤγειρον, ἵν' ὡς ἥδιστα διάγῃς. καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστ' ἐν τῇ νυνὶ παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις.

ΣΩ. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν C *τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη | τελευτᾶν.*

ΚΡ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται, ἀλλ' οὐδὲν αὐτοὺς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.

---

15. *αἰσθ.* del. Hir. | 16. *διάγοις* Hir. | 17. *εὐδαιμόνισα* cf. Meist. p. 171, 14.

ΣΩ. Ἔστι ταῦτα. ἀλλὰ τί δὴ οὕτω πρῴ ἀφῖξαι;

ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσιν [καὶ χαλεπὴν καὶ βαρεῖαν], ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι.

ΣΩ. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ | ἀφικομένου τεθνάναι με; D

ΚΡ. Οὔ τοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖν μέν μοι ἥξει τήμερον ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων [τῶν ἀγγέλων] ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰς αὔριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

II. *ΣΩ.* Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ. εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ | τήμερον. 44

ΚΡ. Πόθεν τοῦτο τεκμαίρει;

ΣΩ. Ἐγώ σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ μ' ἀποθνήσκειν ἢ ᾗ ἂν ἔλθῃ τὸ πλοῖον.

ΚΡ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι.

ΣΩ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ὑστεραίας. τεκμαίρομαι δ' ἔκ τινος ἐνυπνίου, ὃ ἑόρακ' ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με.

ΚΡ. Ἦν δὲ δὴ τί τοὐνύπνιον;

ΣΩ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα καλὴ καὶ εὐειδής, λεύχ' ἱμάτι' ἔχουσα, καλέσαι με | καὶ εἰπεῖν· ὦ Σώκρατες, B

ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.

ΚΡ. Ἄτοπον τοὐνύπνιον, ὦ Σώκρατες.

ΣΩ. Ἐναργὲς μὲν οὖν, ὥς γ' ἐμοὶ δοκεῖ, ὦ Κρίτων.

III. *ΚΡ.* Λίαν γε, ὡς ἔοικεν. ἀλλ', ὦ δαιμόνιε [Σώκρατες], ἔτι καὶ νῦν ἐμοὶ πιθοῦ καὶ σώθητι· ὡς ἐμοί, ἐὰν σὺ

---

4. *καὶ — βαρ.* del. Hir., coll. Phaed. 59 E. | 7 sq. *οὗ — με* del. Hartm. | 8. *δὴ] ἤδη* Badh. De h. l. cf. Licht. p. 1 sqq. | 21. *ὑστεραίας* vH] *ἑτέρας.* | 22. *ἑόρακα] ἑώρακα.* | *ταύτης τ. ν.* delebam LRh. p. 38. | 29. *γ' ἐμοὶ* vH] *γε μοι* (*γέ μοι* B, *ἐμοὶ* T). | 30. *Σώκρατες* del. Cob.

*ἀποθάνῃς, οὐ μία ξυμφορὰ ἔσται, ἀλλὰ χωρὶς μὲν τοῦ
ἐστερήσεσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μή ποθ'
εὕρω, ἔτι [δὲ] καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς
C ἴσασιν, [ὡς] οἷός | τ' ὢν σε σῴζειν, εἰ ἤθελον ἀναλίσκειν
χρήματα, ἀμελῆσαι. καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα
[ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους]; οὐ
γὰρ πείσονται οἱ πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι
ἐνθένδ' ἡμῶν προθυμουμένων.*

*ΣΩ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε [Κρίτων], οὕτω τῆς τῶν
πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον ἄξιον
φροντίζειν, ἡγήσονται αὐθ' οὕτω πεπρᾶχθαι, ὥσπερ δὴ
ἐπράχθη.*

D *ΚΡ. Ἀλλ' ὁρᾷς δή, ὅτι ἀνάγκη, ὦ | Σώκρατες, καὶ τῆς
τῶν πολλῶν δόξης μέλειν. αὐτὰ δὲ δηλοῖ τὰ παρόντα νυνί,
ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν
ἐξεργάζεσθαι, ἀλλὰ τὰ μέγιστα σχεδόν, ἐάν τις ἐν αὐτοῖς
διαβεβλημένος ᾖ.*

*ΣΩ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τ' εἶναι οἱ πολλοὶ
τὰ μέγιστα κάκ' ἐξεργάζεσθαι, ἵν' οἷοί τ' ἦσαν καὶ τὰ μέγιστ'
ἀγαθά[, καὶ καλῶς ἂν εἶχεν]· νῦν δ' οὐδέτερ' οἷοί τε· οὔτε
γὰρ φρόνιμον οὔτ' ἄφρονα δυνατοὶ ποιῆσαι, ποιοῦσι δὲ τοῦθ'
ὅ τι ἂν τύχωσι.*

E IV. *ΚΡ. Ταῦτα μὲν δὴ | οὕτως ἐχέτω· τάδε δέ, ὦ
Σώκρατες, εἰπέ μοι. ἆρά γε μὴ ἐμοῦ προμηθεῖ καὶ τῶν
ἄλλων ἐπιτηδείων, μή, ἐάν σὺ ἐνθένδ' ἐξέλθῃς, οἱ συκοφάνται
ἡμῖν πράγματα παρέχωσιν ὡς σ' ἐνθένδ' ἐκκλέψασιν, καὶ
ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν ἢ συχνὰ
χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ τι
45 τοιοῦτον | φοβεῖ, ἔασον αὐτὸ χαίρειν· ἡμεῖς γάρ που δίκαιοί
ἐσμεν σώσαντές σε κινδυνεύειν τοῦτον τὸν κίνδυνον καί, ἐὰν
δέῃ, ἔτι τούτου μείζω. ἀλλ' ἐμοὶ πιθοῦ καὶ μὴ ἄλλως ποίει.*

---

2. *ἐστερήσεσθαι* Müller] *-ῆσθαι.* | 3. *εὕρω γρ.* E. vH] *εὑρήσω*, quod soloecum. — *δὲ* del. Sch. | 4. *ὡς* del. Cob. | 5. *χρήματα* del. Hartm. | 6. emblema del. Cob. | 9. nomen del. idem. | 11. *δὴ ἐπράχθη* Sch.] *ἂν πραχθῇ.* | 14. *δηλοῖ* Cornarius col. p. 7] *δῆλα.* | 19. *ἐξεργ.* TW.] *ἐργ.* | 20. sic W. Hir.] *ἀγαθὰ* (*τἀγ.* Cob.) *μέγιστα.* | emblema del. Cob. | 27. *καὶ* (*vel*) ante *πᾶσαν* del. Hir. | 31. *πιθοῦ* Hir.] *πείθου.*

ΣΩ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά.

ΚΡ. Μήτε τοίνυν ταῦτα φοβοῦ· καὶ γὰρ οὐδὲ πολὺ τἀρ-
γύριόν ἐστιν, ὃ ’θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν
ἐνθένδε. ἔπειτ’ οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας ὡς εὐτελεῖς,
καὶ οὐδὲν ἂν δέοι ἐπ’ αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δ’
ὑπάρχει μὲν | τἀμὰ χρήματα, ὡς ἐγᾦμαι, ἱκανά· ἔπειτα B
καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τἀμά,
ξένοι τοι ἐνθάδ’ ἕτοιμοι ἀναλίσκειν· εἷς δὲ καὶ κεκόμικεν ἐπ’
αὐτὸ τοῦτ’ ἀργύριον ἱκανόν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ
καὶ Κέβης καὶ ἄλλοι πολλοὶ πάνυ. ὥστε, ὅπερ λέγω, μήτε
ταῦτα φοβούμενος ἀποκάμῃς σαυτὸν σῶσαι, μήτε, ὃ ἔλεγες
ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις
ἐξελθὼν ὅ τι χρῷο σαυτῷ· πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοθι
ὅποι ἂν ἀφίκῃ | ἀγαπήσουσί σε· ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν C
ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται
καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν
κατὰ Θετταλίαν.

V. Ἔτι δέ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχει-
ρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι, καὶ τοιαῦτα
σπεύδειν περὶ σαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου
σπεύσαιέν τε καὶ ἔσπευσάν σε διαφθεῖραι βουλόμενοι. πρὸς
δὲ τούτοις καὶ τοὺς ὑεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδι-
δόναι, οὕς σοι ἐξὸν καὶ | ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰχήσει D
καταλιπών, καὶ τὸ σὸν μέρος, ὅ τι ἂν τύχωσι, τοῦτο πρά-
ξουσιν· τεύξονται δέ, ὡς τὸ εἰκός, τοιούτων οἷάπερ εἴωθεν
γίγνεσθαι ἐν ταῖς ὀρφανίαις [περὶ τοὺς ὀρφανούς]· ἢ γὰρ
οὐ χρὴ ποιεῖσθαι παῖδας ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα
καὶ παιδεύοντα· σὺ δέ μοι δοκεῖς τὰ ῥαθυμότατ’ αἱρεῖσθαι·
χρὴ δέ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦθ’
αἱρεῖσθαι, ⟨τὸν⟩ φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ
βίου ἐπιμελεῖσθαι· ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ | ἡμῶν E
τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα

---

2. μήτε] μὴ TW, sed cf. B extr. | 3. ’θέλουσι vH.] θέλουσι. | 8. τοι Sch.] οὗτοι. | 11. ἀποκάμῃς] ἀποκνῇς Jac. soloece pro ἀπόκνει vel ἀποκνήσῃς. | 20. σπεύδειν Steph.] σπεύδεις. | 26. emblema del. Burg. | 30. τὸν add. Hir.

τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι, καὶ ἡ εἴσοδος τῆς δίκης [εἰς τὸ δικαστήριον, ὡς εἰσῆλθεν] ἐξὸν μὴ εἰσελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν [τῆς δίκης], ὡς ἐγένετο, καὶ τὸ τελευταῖον δὴ τουτί, ὥσπερ κατάγελως τῆς πράξεως, 46 *κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ* | *διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵτινές σ' οὐχὶ ἐσώσαμεν οὐδὲ σὺ σαυτόν, οἷόν τ' ὂν [καὶ δυνατόν], εἴ τι καὶ σμικρὸν ἡμῶν ὄφελος ἦν. ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ καὶ αἴσχρ' ᾖ σοί τε καὶ ἡμῖν. ἀλλὰ βουλεύου, μᾶλλον δ' οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. μία δὲ βουλή· τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. εἰ δ' ἔτι περιμενοῦμεν, [ἀδύνατον καὶ] οὐκέτι οἷόν τε. ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πιθοῦ μοι καὶ μηδαμῶς ἄλλως ποίει.*

B VI. *ΣΩ. Ὦ* | *φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον εἴτε μή· ὡς ἐγὼ οὐ νῦν πρῶτον ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. τοὺς δὲ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν, ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ* C *τοὺς αὐτοὺς πρεσβεύω* | *[καὶ τιμῶ] οὕσπερ καὶ πρότερον· ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθ' ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἐὰν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα καὶ χρημάτων ἀφαιρέσεις. πῶς οὖν ἂν μετριώτατα σκοποίμεθ' αὐτά; εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγεθ' ἑκάστοτ' ἢ οὔ, ὅτι* D *ταῖς μὲν δεῖ [τῶν δοξῶν] προσέχειν τὸν* | *νοῦν, ταῖς δ' οὔ·*

---

2. *εἰς — εἰσῆλθεν* (*-θες* T) delevi, *εἰς δικ.* iam. Sch. Similiter interpolatus est Dem. Phorm. § 18. | 3. *τῆς δίκης* del. For. | 7. *καὶ δυν.* del. Hir. | *σμικρὸν* more Platonico dedi pro *μικρόν*. | 12. aut *ἀδύνατον* aut *οἷόν τε* delendum. | 13. *πιθοῦ* [Hir.] *πείθου*. | 22. glossema delevi. | 26. *δεσμοὺς κτέ.* non ad *πλείω* pertinent sed ad *τ. ν. παρόντων*. | 28. *τὸν περὶ* Eust. Aut haec spuria aut *τῶν δοξῶν* (30).

ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνήσκειν καλῶς ἐλέγετο, νῦν δὲ κατάδηλος ἄρ' ἐγένετο, ὅτι ἄλλως [ἕνεκα λόγου] ἐλέγετο, ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς; ἐπιθυμῶ δ' ἔγωγ' ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴ τί μοι ἀλλοιότερος φανεῖται, ἐπειδὴ ὧδ' ἔχω, ἢ αὐτός, καὶ ἐάσομεν χαίρειν ἢ πεισόμεθ' αὐτῷ. ἐλέγετο δέ πως, ὡς ἐγᾦμαι, ἑκάστοθ' ὧδ' ὑπὸ τῶν οἰομένων τὶ λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον, ὅτι τῶν δοξῶν, ἃς ἄνθρωποι δοξάζουσιν, δέοι τὰς μὲν | περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. τοῦτο E πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγεσθαι; σὺ γάρ, ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ μέλλειν | ἀποθνήσκειν 47 αὔριον, καὶ οὐκ ἂν σε παρακρούοι ἡ παροῦσα ξυμφορά· σκόπει δή· οὐχ ἱκανῶς δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μέν, τὰς δ' οὔ; οὐδὲ πάντων, ἀλλὰ τῶν μέν, τῶν δ' οὔ; τί φῄς; ταῦτ' οὐχὶ καλῶς λέγεται;

ΚΡ. Καλῶς.

ΣΩ. Οὐκουν τὰς μὲν χρηστὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή;

ΚΡ. Ναί.

ΣΩ. Χρησταὶ δ' οὐχ αἱ τῶν φρονίμων, πονηραὶ δ' αἱ τῶν ἀφρόνων;

ΚΡ. Πῶς δ' οὔ;

VII. *ΣΩ.* Φερε δή, πῶς αὖ τὰ τοιαῦτ' ἐλέγετο; | γυμνα- B ζόμενος ἀνὴρ καὶ τοῦτο πράττων πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ [καὶ δόξῃ] τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου, ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν;

ΚΡ. Ἑνὸς μόνου.

ΣΩ. Οὐκουν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν;

ΚΡ. Δῆλα δή.

ΣΩ. Ταύτῃ ἄρ' αὐτῷ πρακτέον καὶ γυμναστέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις.

---

13. *οὐχὶ καλῶς* pro *οὐχ ἱκανῶς* Hir. cf. 46 E. | 15. *οὐδὲ — δ' οὐ* Ebd] cum BCD om. Sch. Iure tuetur Licht. p. 9 sq.

ΚΡ. Ἔστι ταῦτα.

C ΣΩ. Εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ καὶ | ἀτιμάσας αὐτοῦ
τὴν δόξαν [καὶ τοὺς ἐπαίνους], τιμήσας δὲ τοὺς τῶν πολλῶν
λόγους καὶ μηδὲν ἐπαϊόντων, ἆρ' οὐδὲν κακὸν πείσεται;

ΚΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Τί δ' ἔστι τὸ κακὸν τοῦτο; καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος;

ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα· τοῦτο γὰρ διόλλυσι.

ΣΩ. Καλῶς λέγεις. οὔκουν καὶ τἆλλα, ὦ Κρίτων, οὕτως,
ἵνα μὴ πάντα διΐωμεν, καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ
ἀδίκων καὶ καλῶν καὶ αἰσχρῶν καὶ ἀγαθῶν καὶ κακῶν,
περὶ ὧν νῦν [ἡ βουλὴ] ἡμῖν ἐστιν, πότερον τῇ τῶν πολλῶν
D δόξῃ δεῖ | ἡμᾶς ἕπεσθαι καὶ φοβεῖσθαι αὐτὴν ἢ τῇ τοῦ ἑνός,
εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι
μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν,
διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ
βέλτιον ἐγίγνετο, τῷ δ' ἀδίκῳ ἀπώλλυτο. ἢ οὐδέν ἐστι τοῦτο;

ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

VIII. ΣΩ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν
βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον
διολέσωμεν πειθόμενοι τῇ τῶν μὴ ἐπαϊόντων δόξῃ, ἆρα
E βιωτὸν ἡμῖν ἐστιν | διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο
σῶμα· ἢ οὐχί;

ΚΡ. Ναί.

ΣΩ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστιν μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ μετ' ἐκείνου ἆρ' ἡμῖν βιωτὸν διεφθαρμένου,
ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ φαυ-
λότερον ἡγούμεθ' εἶναι τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ' ἐστὶ
48 τῶν | ἡμετέρων, περὶ ὃ ἥ τ' ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ τιμιώτερον;

ΚΡ. Πολύ γε.

---

8. διολλύει BW. | 11. sic Hir. Codd. καὶ αἰσχρῶν καὶ καλῶν. | 12. ἡ βουλὴ del. Burn., ἐστιν ἡ β. T. | 21. μὴ τῇ τῶν codd. Corr. Hir.

ΣΩ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν τοῦτο φροντιστέον, τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς καὶ αὐτὴ ἡ ἀλήθεια. ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγεῖ, εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν καὶ τῶν ἐναντίων. ἀλλὰ μὲν δή, φαίη γ' ἄν τις, οἷοί τ' εἰσιν ἡμᾶς οἱ πολλοὶ | ἀποκτεινύναι. [δῆλα δὴ καὶ ταῦτα.] B

ΚΡ. Φαίη γὰρ ἄν, ὦ Σώκρατες.

ΣΩ. Ἀληθῆ λέγεις. ἀλλ', ὦ θαυμάσιε, οὗτός θ' ὁ λόγος, ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ὅμοιος εἶναι καὶ πρότερον· καὶ τόδ' αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

ΚΡ. Ἀλλὰ μένει.

ΣΩ. Τὸ δ' εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστιν, μένει ἢ οὐ μένει;

ΚΡ. Μένει.

IX. ΣΩ. Οὐκοῦν ἐκ τῶν ὡμολογημένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμ' ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ | ἀφιέντων C Ἀθηναίων ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα, εἰ δὲ μή, ἐῶμεν. ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τ' ἀναλώσεως χρημάτων καὶ δόξης καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματ' ᾖ τῶν ῥᾳδίως ἀποκτεινύντων καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τ' ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν. ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἢ ὅπερ νυνδὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμ' | ἐνθένδ' ἐξάξουσι καὶ χάριτας, καὶ αὐτοὶ D ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες· κἂν φαινώμεθ' ἄδικ' αὐτ' ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι οὔτ' εἰ ἀποθνῄσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτ' ⟨εἰ⟩ ἄλλ' ὁτιοῦν πάσχειν πρὸ τοῦ ἀδικεῖν.

---

1. *τοῦτο* Hir.] *οὕτω.* | 7. *δῆλα — ταῦτα* delevi, etiam *φαίη — Σωκρ.* Müller, Critoni tribuens *ἀληθῆ λέγεις*, fort. recte. | 17. *ὁμολογουμένων* codd. Corr. Burg. | 24. *ὁ λόγος — αἱρεῖ*, *ratio — evincit.* | 31. *εἰ* add. For. | *πάσχειν* del. Hartm.

ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες. ὅρα δέ, τί δρῶμεν.

ΣΩ. Σκοπῶμεν, ὠγαθέ, κοινῇ, καὶ εἴ πῃ ἔχεις ἀντιλέγειν
E *ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ | μή, παῦ-*
σαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον,
ὡς χρὴ ἐνθένδ' ἀκόντων Ἀθηναίων ἔμ' ἀπιέναι· ὡς ἐγὼ
περὶ πολλοῦ ποιοῦμαι πείσας σε ταῦτα πράττειν, ἀλλὰ μὴ
ἄκοντος. ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς
λέγηται, καὶ πειρῶ ἀποκρίνεσθαι τὸ | ἐρωτώμενον, ᾗ ἂν
49 *μάλιστ' οἴῃ.*

ΚΡ. Ἀλλὰ πειράσομαι.

X. *ΣΩ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι,*
ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δ' οὔ; ἢ οὐδαμῶς τό γ'
ἀδικεῖν οὔτ' ἀγαθὸν οὔτε καλόν, ὡς πολλάκις ἡμῖν κἀν
τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; [ὅπερ καὶ ἄρτι ἐλέγετο·]
ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς
ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσίν, καὶ πάλαι, ὦ Κρίτων,
ἄρα τηλικοίδε [γέροντες] ἄνδρες πρὸς ἀλλήλους σπουδῇ |
B *διαλεγόμενοι ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέ-*
ροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότ' ἐλέγετο
ἡμῖν, εἴτε φασὶν οἱ πολλοὶ εἴτε μή, καὶ εἴτε δεῖ ἡμᾶς ἔτι
τῶνδε χαλεπώτερα πάσχειν εἴτε καὶ πρᾳότερα, ὅμως τό γ'
ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν
παντὶ τρόπῳ; φαμὲν ἢ οὔ;

ΚΡ. Φαμέν.

ΣΩ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ δῆτα.

ΣΩ. Οὐδ' ἀδικούμενον ἄρ' ἀνταδικεῖν, ὡς οἱ πολλοὶ
C *οἴονται[, ἐπειδή γ' οὐδαμῶς δεῖ | ἀδικεῖν].*

ΚΡ. Οὐ φαίνεται.

ΣΦ. Τί δὲ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ;

ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες.

ΣΩ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασιν, δίκαιον ἢ οὐ δίκαιον;

---

12. *ἀδικητέον εἶναι* = *ἀδικεῖν δεῖν*, hinc *ἑκόντας* pro *ἑκοῦσιν*. | 29. delevi emblema. | 32 et 34. *δεῖ* et posterius *δίκαιον* abesse poterant.

ΚΡ. *Οὐδαμῶς.*

ΣΩ. *Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.*

ΚΡ. *Ἀληθῆ λέγεις.*

ΣΩ. *Οὔτ᾽ ἄρ᾽ ἀνταδικεῖν δεῖ οὔτε κακῶς ⟨ἀντι⟩ποιεῖν οὐδέν᾽ ἀνθρώπων, οὐδ᾽ ἐὰν ὁτιοῦν πάσχῃ ὑπ᾽ αὐτῶν. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ* | *δόξαν ὁμολογῇς. οἶδα γάρ, ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ* D *καὶ δόξει. οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ᾽ ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ ξυνδοκεῖ σοι καὶ ἀρχώμεθ᾽ ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτ᾽ ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς· ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; ἐμοὶ* | *μὲν γὰρ καὶ πάλαι οὕτω καὶ νῦν ἔτι δοκεῖ, σοὶ δ᾽ εἴ* E *πῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. εἰ δ᾽ ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτ᾽ ἄκουε.*

ΚΡ. *Ἀλλ᾽ ἐμμένω τε καὶ ξυνδοκεῖ μοι· ἀλλὰ λέγε.*

ΣΩ. *Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ᾽ ἐρωτῶ· πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ δίκαι᾽ ὄντα ποιητέον ἢ ἐξαπατητέον;*

ΚΡ. *Ποιητέον.*

XI. *ΣΩ.* *Ἐκ τούτων δὴ ἄθρει. ἀπιόντες ἐνθένδ᾽ ἡμεῖς μὴ πείσαντες τὴν* | *πόλιν πότερον κακῶς τινας ποιοῦμεν,* 50 *καὶ ταῦθ᾽ οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν ἢ οὔ;*

ΚΡ. *Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ.*

ΣΩ. *Ἀλλ᾽ ὧδε σκόπει. εἰ μέλλουσιν ἡμῖν ἐνθένδ᾽ εἴτ᾽ ἀποδιδράσκειν, εἴθ᾽ ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως ἐπιστάντες ἔροιντο· εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ*

---

5. *⟨ἀντι⟩ποιεῖν* Hir. Cf. 49 D. | 6. *πάσχῃ τις* Eust. et Theod. | 28. *πρὸς ὃ*. Saepe Plato in hac formula om. *πρὸς*, quo omisso verbum significat *beantwoorden.* Cobet ubique praepositionem addendam putabat.

B *τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, διανοεῖ τούς τε νόμους | ἡμᾶς ἀπολέσαι καὶ ξύμπασαν τὴν πόλιν τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τ' ἔτι ἐκείνην τὴν πόλιν εἶναι καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ' ὑπ' ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται; τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας*
C *εἶναι. ἢ ἐροῦμεν πρὸς αὐτούς, ὅτι ἠδίκει | γὰρ ἡμᾶς ἡ πόλις καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινεν; ταῦτ' ἢ τί ἐροῦμεν;*

ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

XII. *ΣΩ. Τί οὖν, ἐὰν εἴπωσιν οἱ νόμοι· 'ὦ Σώκρατες, ἦ καὶ ταῦθ' ὡμολόγηθ' ἡμῖν τε καὶ σοί, ἢ ἦ μὴν ἐμμενεῖν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζῃ;' εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν, ὅτι 'ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. φέρε γάρ, τί ἐγκα-*
D *λῶν | ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σ' ἐγεννήσαμεν ἡμεῖς, καὶ δι' ἡμῶν ἔλαβεν τὴν μητέρα σου ὁ πατὴρ καὶ ἐφύτευσέν σε; φράσον οὖν, τούτοις ἡμῶν [τοῖς νόμοις] τοῖς περὶ τοὺς γάμους, μέμφει τι, ὡς οὐ καλῶς ἔχουσιν;' 'οὐ μέμφομαι,' φαίην ἄν. 'ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτοις τεταγμένοι [νόμοι], παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σ'*
E *ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν;' 'καλῶς,' | φαίην ἄν. 'εἶεν. ἐπειδὴ δ' ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μὲν ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σ' ἐπιχειρῶμεν ποιεῖν, καὶ σοὶ ταῦτ' ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρ'*

---

4. *ἐν ᾗ αἱ — ἰσχύωσιν* cum Ebd. ed. Herm., om. *ἂν* cum B; *ἰσχύουσιν* et *γίγνονται καὶ διαφθείρονται* Sch. cum BW. Ipse sequor Burn. | 9. *ἀδικεῖ* Heind. | 13. *ἦ μὴν* vH.] *ἤ*. Cf. L. Rh. p. 38 sq. | 19. *ἔλαβεν* vH.] *ἐλάμβανεν*. | 28. *πρῶτον μὲν*, non sequente *ἔπειτα (δὲ)*.

οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον καὶ πρὸς τὸν δεσπότην, εἴ σοι
ὢν ἐτύγχανεν, ὥστε, ἅπερ πάσχοις, ταῦτα καὶ ἀντιποιεῖν,
οὔτε κακῶς ἀκούοντ' ἀντιλέγειν οὔτε | τυπτόμενον ἀντιτύπτειν 51
οὔτ' ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδ' ἄρα καὶ τοὺς
νόμους ἐξ ⟨ἴσου⟩ ἔσται σοι, ὥστε, ἐάν σ' ἐπιχειρῶμεν ἡμεῖς
ἀπολλύναι δίκαιον ἡγούμενοι εἶναι, καὶ σύ γ' ἡμᾶς [τοὺς
νόμους] καὶ τὴν πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις
ἀνταπολλύναι, καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν, ὁ τῇ
ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελόμενος; ἢ οὕτως εἶ σοφός, ὥστε
λέληθέν σε, ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προ-
γόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον
καὶ ἁγιώτερον καὶ ἐν | μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ B
παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον
ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ
[ἢ πείθειν] ἢ ποιεῖν, ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι
προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάντε τύπτεσθαι ἐάντε
δεῖσθαι, ἐάντ' εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανού-
μενον, ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ
φευκτέον οὐδ' ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ
καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον,
ἃ ἂν κελεύῃ ἡ | πόλις καὶ ἡ πατρίς, ἢ πείθειν αὐτήν, ᾗ τὸ C
δίκαιον πέφυκε, βιάζεσθαι δ' οὐχ ὅσιον οὔτε μητέρ' οὔτε
πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα;' τί φήσομεν
πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους ἢ οὔ;

ΚΡ. Ἔμοιγε δοκεῖ.

XIII. *ΣΩ.* 'Σκόπει τοίνυν, ὦ Σώκρατες,' φαῖεν ἂν ἴσως
οἱ νόμοι, 'εἰ ἡμεῖς ταῦτ' ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαι' ἡμᾶς
ἐπιχειρεῖς δρᾶν ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε γεννήσαντες,
ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοί τ'
ἦμεν καλῶν σοὶ καὶ τοῖς ἄλλοις πᾶσιν πολίταις, ὅμως προα- D
γορεύομεν [τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλο-
μένῳ], ἐπειδὰν δοκιμασθῇ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα

---

1. *τὸν* om. V, punctis notatum in BT, del. Burn. | 5. sic. Hir.] *ἔσται* pro *ἔξεσται* Sch. | 6. *τοὺς νόμους* del. Hir. | 14. *θωπεύειν*, *blande palpari* (deprecari). Nisi forte latet *θεραπεύειν*. | 15. *ἢ πείθειν* del. Sch. | 19. *φευκτέον* vH.] *ὑπεικτέον*. Error natus ex praegressis, vs. 14. | 31 sq. emblema del. Jac.

καὶ ἡμᾶς [τοὺς νόμους], ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅποι ἂν βούληται. καὶ οὐδεὶς ἡμῶν [τῶν νόμων] ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάντε τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκομεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάντε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσ' ὅποι E *ἂν βούληται, ἔχοντα τὰ αὑτοῦ. ὃς δ' ἂν | ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν ἃ ἂν ἡμεῖς κελεύωμεν ποιήσειν ταῦτα, καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείσεσθαι οὔτε πείθεται οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν,* 52 *προτιθέντων ἡμῶν καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλ' ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ.*

XII. *Ταύταις δή φαμεν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς, καὶ οὐχ ἥκιστ' Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα.' εἰ οὖν ἐγὼ εἴποιμι· 'διὰ τί δή;' ἴσως ἄν μου δικαίως καθάπτοιντο λέγοντες, 'ὅτι ἐν τοῖς μάλιστ' Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν.' φαῖεν γὰρ ἂν ὅτι 'ὦ Σώκρατες, μεγάλ' ἡμῖν* B *| τούτων τεκμήρι' ἐστίν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, [εἰ μή σοι διαφερόντως ἤρεσκεν], καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτ' ἐκ τῆς πόλεως ἐξῆλθες οὔτ' ἄλλοσ' οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος, οὔτ' ἄλλην ἀποδημίαν ἐποιήσω πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, οὐδ' ἐπιθυμία σ' ἄλλης πόλεως οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι, ἀλλ' ἡμεῖς σοι ἱκανοὶ ἦμεν καὶ ἡ ἡμετέρα πόλις·* C *οὕτω | σφόδρ' ἡμᾶς ᾑροῦ, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύσεσθαι, τά τ' ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. ἔτι τοίνυν ἐν αὐτῇ τῇ δικῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τόθ' ἑκούσης ποιῆσαι. σὺ δὲ τότε μὲν*

---

1. *τοὺς νόμους* delevi et mox cum Burn. *τῶν νόμων*. | 14 sq. malim *θάτερον* et *οὐδέτερον*. | 16. *ὦ* om. B, *ὦ Σωκρ.* del. Sch. | 24. emblema del. Cob.

*ἐκαλλωπίζου ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι τεθνάναι σε, ἀλλ'
ᾑροῦ, ὡς ἔφησθα πρὸ τῆς φυγῆς θάνατον· νῦν δ' οὔτ'
ἐκείνους τοὺς λόγους αἰσχύνει, οὔθ' ἡμῶν [τῶν νόμων]
ἐντρέπει, ἐπιχειρῶν διαφθεῖραι, πράττεις | θ' ἅπερ ἂν δοῦλος* D
*φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς
ξυνθήκας τε καὶ [τὰς] ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου
πολιτεύσεσθαι. πρῶτον μὲν οὖν ἡμῖν τοῦτ' αὐτ' ἀπόκριναι,
εἰ ἀληθῆ λέγομεν φάσκοντές σ' ὡμολογηκέναι πολιτεύσεσθαι
καθ' ἡμᾶς ἔργῳ, [ἀλλ' οὐ λόγῳ,] ἢ οὐκ ἀληθῆ.' τί φῶμεν
πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν;*

ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες.

*ΣΩ. 'Ἄλλο τι οὖν,' ἂν φαῖεν, 'ἢ ξυνθήκας τὰς πρὸς
ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις, οὐχ ὑπ' | ἀνάγκης* E
*ὁμολογήσας οὐδ' ἀπατηθεὶς οὐδ' ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς
βουλεύσασθαι, ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἐξῆν σοι
ἀπιέναι, εἰ μὴ ἠρέσκομεν ἡμεῖς μηδὲ δίκαιαι ἐφαίνοντό σοι
αἱ ὁμολογίαι εἶναι. σὺ δ' οὔτε Λακεδαίμονα προῃροῦ οὔτε
Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτ' ἄλλην οὐδε-
μίαν τῶν Ἑλληνίδων πόλεων οὐδὲ τῶν | βαρβαρικῶν, ἀλλ'* 53
*ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ
οἱ ἄλλοι ἀνάπηροι· οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθη-
ναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς [οἱ νόμοι. δῆλον ὅτι.
τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων;]. νῦν δὲ δὴ οὐκ
ἐμμενεῖς τοῖς ὡμολογημένοις; ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώ-
κρατες· καὶ οὐ καταγέλαστός γ' ἔσει ἐκ τῆς πόλεως ἐξελθών.*

XV. *Σκόπει γὰρ δή, ταῦτα παραβὰς καὶ ἐξαμαρτών τι
τούτων τί ἀγαθὸν ἐργάσει σαυτὸν ἢ τοὺς ἐπιτηδείους τοὺς |
σαυτοῦ. ὅτι μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ* B
*αὐτοὶ φεύγειν καὶ στερηθῆναι τῆς πόλεως ἢ τὴν οὐσίαν
ἀπολέσαι, σχεδόν τι δῆλον· αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς
τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζ' ἢ Μέγαράδε —
εὐνομοῦνται γὰρ ἀμφότεραι — πολέμιος ἥξεις, ὦ Σώκρατες,
τῇ τούτων πολιτείᾳ, καὶ ὅσοιπερ κήδονται τῶν αὐτῶν πόλεων,*

---

3. *τῶν νόμων* del. Burg. | 6. *τὰς* om. Eust., induxi. Cf. D extr. et 54 C. | 7 et 8. *πολιτεύ⟨σ⟩εσθαι* Hir. | 9. *ἀλλ' — λόγῳ* del. Hoen. | 22 sq. *οἱ νόμοι — νόμων* del. Hir. | 26. *ἐξαμαρτὼν* T] *ἐξαμαρτάνων*.

ὑποβλέψονταί σε διαφθορέα ἡγούμενοι τῶν νόμων, καὶ βε-
βαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν
C δίκην | δικάσαι· ὅστις γὰρ νόμων διαφθορεύς ἐστιν, σφόδρα
που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς
εἶναι. πότερον οὖν φεύξει τάς τ' εὐνομουμένας πόλεις καὶ
τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρ'
ἄξιόν σοι ζῆν ἔσται; ἢ πλησιάσεις τούτοις καὶ ἀναισχυντή-
σεις διαλεγόμενος — τίνας λόγους, ὦ Σώκρατες; ἢ οὕσπερ
ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς
ἀνθρώποις καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ οὐκ οἴει ἄσχη-
D μον ἀναφανεῖσθαι τὸ τοῦ | Σωκράτους πρᾶγμα; οἴεσθαί γε
χρή. ἀλλ' ἐκ μὲν τούτων τῶν τόπων ἀπαρεῖς, ἥξεις δ' εἰς
Θετταλίαν παρὰ τοὺς ξένους τοὺς Κρίτωνος· ἐκεῖ γὰρ δὴ
πλείστη ἀταξία καὶ ἀκολασία, καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν,
ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα
περιθέμενος [ἢ διφθέραν λαβὼν ἢ ἄλλ' οἷα δὴ εἰώθασιν
ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες] καὶ τὸ σχῆμα τὸ σαυτοῦ
μεταλλάξας· ὅτι δὲ γέρων ἀνὴρ σμικροῦ χρόνου τῷ βίῳ
E λοιποῦ ὄντος, ὡς τὸ εἰκός, | ἐτόλμησας οὕτως αἰσχρῶς ἐπι-
θυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβάς, οὐδεὶς ὃς ἐρεῖ;
ἴσως, ἐὰν μή τινα λυπῇς· εἰ δὲ μή, ἀκούσει, ὦ Σώκρατες,
πολλὰ καὶ ἀνάξια σαυτοῦ. ὑπερχόμενος δὴ βιώσει πάντας
ἀνθρώπους καὶ δουλεύων — τί ποιῶν ἢ εὐωχούμενος [ἐν
Θετταλίᾳ], ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν;
λόγοι δ' ἐκεῖνοι οἱ περὶ δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς
54 ποῦ ἡμῖν | ἔσονται; ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν,
ἵν' αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δέ; εἰς Θετταλίαν
αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας,
ἵνα καὶ τοῦτ' ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρε-
φόμενοι σοῦ ζῶντος βέλτιον θρέψονται καὶ παιδεύσονται,
μὴ ξυνόντος σοῦ αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ [ἐπιμελή-
σονται αὐτῶν] πότερον, ἐὰν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπι-
μελήσονται ⟨αὐτῶν⟩, ἐὰν δ' εἰς Ἅιδου ἀποδημήσῃς, οὐχὶ

---

11. ἀναφανεῖσθαι Hir.] ἂν (om. TEust.) φανεῖσθαι. | 16. emblema del. Hir. | 23. καὶ δουλεύων, *atque adeo serviens*. Del. Ast. Cf. Licht p. 28 sq. | 31. deleto ἐπιμ. transposui αὐτῶν post ἐάν.

[ἐπιμελήσονται]; εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστιν τῶν | σοι B *φασκόντων ἐπιτηδείων εἶναι, οἴεσθαί γε χρή.*

XVI. *Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι μήτε ⟨τοὺς⟩ παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτ' ἄλλο μηδὲν [πρὸ] τοῦ δικαίου, ἵν' εἰς Ἅιδου ἐλθὼν ἔχῃς πάντα ταῦτ' ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν· οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι οὐδὲ δικαιότερον οὐδ' ὁσιώτερον, οὐδ' ἄλλῳ τῶν σῶν οὐδενί, οὔτ' ἐκεῖσ' ἀφικομένῳ ἄμεινον ἔσται. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ' ἡμῶν [τῶν | νόμων] ἀλλ' ὑπ'* C *ἀνθρώπων· ἐὰν δ' ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς καὶ κάκ' ἐργασάμενος τούτους οὓς ἥκιστ' ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ [οἱ ἐν Ἅιδου νόμοι] οὐκ εὐμενῶς σ' ὑποδέξονται, εἰδότες, ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι τὸ σὸν μέρος. ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει μᾶλλον | ἢ ἡμεῖς.* D

XVII. *Ταῦτα, ὦ φίλ' ἑταῖρε [Κρίτων], εὖ ἴσθ' ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ κορυβαντιῶντες τῶν αὐλῶν [δοκοῦσιν ἀκούειν], καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ [τούτων τῶν λόγων] βομβεῖ καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν· ἀλλ' ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐὰν λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι εἴ τι οἴει πλέον ποιήσειν, λέγε.*

ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν.

ΣΩ. Ἔα τοίνυν, ὦ Κρίτων, | καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται. E

---

1. *ἐπιμελήσονται* del. Hir. | 4. *τοὺς* add. Hir. | 5. *πρὸ* del. Cob. | 10. *τῶν νόμων* del. Hir | 11. *αἰσχρῶς] γλίσχρως* TVEust. Burn. | 16. *οἱ — νόμοι* del. Hir. | 20 sq. emblema del. Burg. | 22. emblema del. Hartm.

Φ Α Ι Δ Ω Ν

[ἢ περὶ ψυχῆς].

St. I p. 57 ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ
ΕΧΕΚΡΑΤΗΣ, ΦΑΙΔΩΝ, ΑΠΟΛΛΟΔΩΡΟΣ,
ΣΩΚΡΑΤΗΣ, ΚΕΒΗΣ, ΣΙΜΜΙΑΣ, ΚΡΙΤΩΝ,
Ο ΤΩΝ ΕΝΔΕΚΑ ΥΠΗΡΕΤΗΣ.

A I. *ΕΧ. Αὐτός, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του ἤκουσας;*

ΦΑΙΔ. Αὐτός, ὦ Ἐχέκρατες.

ΕΧ. Τί οὖν δή ἐστιν ἅττ' εἶπεν ἀνὴρ πρὸ τοῦ θανάτου; καὶ πῶς ἐτελεύτα; ἡδέως γὰρ ἂν [ἐγὼ] ἀκούσαιμι. καὶ γὰρ οὔτε [τῶν πολιτῶν] Φλειασίων οὐδεὶς πάνυ τι ἐπιχωριάζει τὰ νῦν Ἀθήναζε, οὔτε τις ξένος ἀφῖκται χρόνου συχνοῦ
B *ἐκεῖθεν, ὅστις ἂν ἡμῖν σαφές τι | ἀγγεῖλαι οἷός τ' ἦν περὶ τούτων, πλήν γε δὴ ὅτι φάρμακον πιὼν ἀποθάνοι· τῶν δ' ἄλλων οὐδὲν εἶχον φράζειν.*

58 *ΦΑΙΔ. Οὐδὲ τὰ περὶ τῆς δίκης | ἄρ' ἐπύθεσθ' ὃν τρόπον ἐγένετο;*

ΕΧ. Ναί, ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις, καὶ ἐθαυμάζομέν γε, ὅτι πάλαι γενομένης αὐτῆς πολλῷ ὕστερον φαίνεται ἀποθανών. τί οὖν ἦν τοῦτο, ὦ Φαίδων;

ΦΑΙΔ. Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, ξυνέβη· ἔτυχεν γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσιν.

---

6. *ἐγὼ* delevi cum TDE. | 7. *τῶν πολιτῶν* del. Bamb., *Φλιασίων* Schaef.: de orthographia cf. Meist. p. 36, 3 | 11. *εἶχον* Baum.] *εἶχεν.* | 15. *πολλῷ*, sc. XXX diebus sec. Xen. Mem. IV 8, 2.

ΕΧ. Τοῦτο δὲ δὴ τί ἐστιν;

ΦΑΙΔ. Τοῦτ' ἔστι τὸ πλοῖον, ὥς φασιν Ἀθηναῖοι, ἐν ᾧ
Θησεύς ποτ' εἰς Κρήτην τοὺς δὶς ἕπτ' ἐκείνους ᾤχετ' | ἄγων B
καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλλωνι ηὔξαντο,
ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίαν ἀπάξειν
εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ' ἐνιαυτὸν
τῷ θεῷ πέμπουσιν. ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας,
νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν
καὶ δημοσίᾳ μηδέν' ἀποκτεινύναι, πρὶν ἂν εἰς Δῆλόν τ' ἀφί-
κηται τὸ πλοῖον καὶ πάλιν δεῦρο· τοῦτο δ' ἐνίοτ' ἐν πολλῷ
χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς.
ἀρχὴ | δ' ἐστὶ τῆς θεωρίας, ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος C
στέψῃ τὴν πρύμναν τοῦ πλοίου· τοῦτο δ' ἔτυχεν, ὥσπερ
λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. διὰ ταῦτα καὶ πολὺς
χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ
τῆς δίκης τε καὶ τοῦ θανάτου.

II. *ΕΧ.* Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαίδων;
τίν' ἦν τὰ λεχθέντα καὶ πραχθέντα, καὶ τίνες οἱ παραγενό-
μενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες
παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα φίλων;

ΦΑΙΔ. | Οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες, καὶ πολλοί γε. D

ΕΧ. Ταῦτα δὴ πάντα προθυμήθητι ὡς σαφέσταθ' ἡμῖν
ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχολία τυγχάνει οὖσα.

ΦΑΙΔ. Ἀλλὰ σχολάζω γε καὶ πειράσομαι ὑμῖν διηγή-
σασθαι· καὶ γὰρ τὸ μεμνῆσθαι Σωκράτους καὶ αὐτὸν λέγοντα
καὶ ἄλλου ἀκούοντ' ἔμοιγ' ἀεὶ πάντων ἥδιστον.

ΕΧ. Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκουσομένους γε
τοιούτους ἑτέρους ἔχεις· ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκριβέστατα
διεξελθεῖν πάντα.

ΦΑΙΔ. Καὶ μὴν ἔγωγε θαυμάσι' | ἔπαθον παραγενόμενος. E
οὔτε γὰρ ὡς θανάτῳ παρόντα μ' ἀνδρὸς ἐπιτηδείου ἔλεος
εἰσῄει· εὐδαίμων γάρ μοι ἀνὴρ ἐφαίνετο, ὦ Ἐχέκρατες, καὶ
τοῦ τρόπου καὶ τῶν λόγων, ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα,

---

4. *εὔξαντο* codd. Sch. De orthographia cf. Meist p. 171, 11. | *αὐτούς]* *αὐτό*, sc. *τὸ πλοῖον*? | 18. *τίν'* vH] *τίνα* bd, *τί* B(?) CDE. | 32. *τῶν λόγων*, superscr. *ου — ου* T, *τοῦ λόγου*, superscr. *ων — ων* B.

ὥστε μοι ἐκεῖνον παρίστασθαι μηδ' εἰς Ἅιδου ἰόντ' ἄνευ
θείας μοίρας ἰέναι, ἀλλὰ καὶ ἐκεῖσ' ἀφικόμενον εὖ πράξειν,
59 εἴπερ τις πώποτε καὶ | ἄλλος. διὰ δὴ ταῦτ' οὐδὲν πάνυ μοι
ἐλεινὸν εἰσῄει, ὡς εἰκὸς ἂν δόξειεν εἶναι παρόντι πένθει·
οὔτ' αὖ ἡδονὴ ὡς ἐν φιλοσοφίᾳ ἡμῶν ὄντων, ὥσπερ εἰώ-
θειμεν· καὶ γὰρ οἱ λόγοι τοιοῦτοί τινες ἦσαν· ἀλλ' ἀτεχνῶς
ἄτοπόν τί μοι πάθος παρῆν καί τις ἀήθης κρᾶσις ἀπό τε
τῆς ἡδονῆς συγκεκραμένη ὁμοῦ καὶ ἀπὸ τῆς λύπης, ἐνθυ-
μουμένῳ ὅτι αὐτίκ' ἐκεῖνος ἔμελλε τελευτᾶν. καὶ πάντες οἱ
παρόντες σχεδόν τι οὕτω διεκείμεθα, τότε μὲν γελῶντες,
ἐνίοτε δὲ δακρύοντες, εἷς δ' ἡμῶν καὶ διαφερόντως, Ἀπολ-
B λόδωρος· οἶσθα γάρ που τὸν ἄνδρα | καὶ τὸν τρόπον αὐτοῦ.

ΕΧ. Πῶς γὰρ οὔ;

ΦΑΙΔ. Ἐκεῖνός τε τοίνυν παντάπασιν οὕτως εἶχεν, καὶ αὐτὸς ἔγωγ' ἐτεταράγμην καὶ οἱ ἄλλοι.

ΕΧ. Ἔτυχον δέ, ὦ Φαίδων, τίνες παραγενόμενοι;

ΦΑΙΔ. Οὗτός τε δὴ [ὁ Ἀπολλόδωρος] τῶν ἐπιχωρίων παρῆν καὶ Κριτόβουλος καὶ ὁ πατὴρ αὐτοῦ, καὶ ἔτι Ἑρμογένης καὶ Ἐπιγένης καὶ Αἰσχίνης καὶ Ἀντισθένης· παρῆν δὲ καὶ Κτήσιππος ὁ Παιανιεὺς καὶ Μενέξενος καὶ ἄλλοι τινὲς [τῶν ἐπιχωρίων]· Πλάτων δέ, οἶμαι, ἠσθένει.

C ΕΧ. Ξένοι δέ τινες | παρῆσαν;

ΦΑΙΔ. Ναί, Σιμμίας τέ γ' ὁ Θηβαῖος καὶ Κέβης καὶ Φαιδωνίδης καὶ Μεγαρόθεν Εὐκλείδης τε καὶ Τερψίων.

ΕΧ. Τί δέ; Ἀρίστιππος καὶ Κλεόμβροτος ⟨οὐ⟩ παρεγένοντο;

ΦΑΙΔ. Οὐ δῆτα· ἐν Αἰγίνῃ γὰρ ἐλέγοντ' εἶναι.

ΕΧ. Ἄλλος δέ τις παρῆν;

ΦΑΙΔ. Σχεδόν τι οἶμαι τούτους παραγενέσθαι.

ΕΧ. Τί οὖν δή; τίνες, φῄς, ἦσαν οἱ λόγοι;

III. ΦΑΙΔ. Ἐγώ σοι ἐξ ἀρχῆς πάντα πειράσομαι διη-
D γήσεσθαι. ἀεὶ γὰρ δὴ καὶ τὰς πρόσθεν | ἡμέρας εἰώθειμεν
φοιτᾶν καὶ ἐγὼ καὶ οἱ ἄλλοι παρὰ τὸν Σωκράτη, συλλεγό-

---

4. *πένθει* pendet a *παρόντι*. | 8. *ἀπὸ* om. T. | 10. *τότε* vH.] *τοτὲ* T, *ὁτὲ* B. | 17. expunxi nomen. | 19. *παρῆν* Heind.] *ἦν*. | 21. emblema delevi L. Rh. p. 39. | *Πλάτων — ἠσθένει* del. Hartm. Dubito.

*μενοι ἕωθεν εἰς τὸ δικαστήριον, ἐν ᾧ [καὶ] ἡ δίκη ἐγένετο·
πλησίον γὰρ ἦν τοῦ δεσμωτηρίου. περιεμένομεν οὖν ἑκάστοτε,
ἕως ἀνοιχθείη τὸ δεσμωτήριον, διατρίβοντες μετ' ἀλλήλων·
ἀνεῴγετο γὰρ οὐ πρῴ· ἐπειδὴ δ' ἀνοιχθείη, εἰσῇμεν παρὰ
τὸν Σωκράτη καὶ τὰ πολλὰ διημερεύομεν μετ' αὐτοῦ. καὶ δὴ
καὶ τότε πρωϊαίτερον συνελέγημεν. τῇ γὰρ προτεραίᾳ [ἡμέρᾳ]
ἐπειδὴ ἐξήλθομεν ἐκ τοῦ δεσμωτηρίου | ἑσπέρας, ἐπυθόμεθα,* E
*ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη. παρηγγείλαμεν οὖν
ἀλλήλοις ἥκειν ὡς πρωϊαίτατα εἰς τὸ εἰωθός. καὶ ἥκομεν
καὶ ἡμῖν ἐξελθὼν ὁ θυρωρός, ὅσπερ εἰώθειν ὑπακούειν,
εἶπεν περιμένειν [καὶ μὴ πρότερον παριέναι], ἕως ἂν αὐτὸς
κελεύσῃ. 'λύουσι γάρ,' ἔφη, 'οἱ ἕνδεκα Σωκράτη [καὶ παραγ-
γέλλουσιν], ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτήσῃ.' οὐ πολὺν δ'
οὖν χρόνον ἐπισχὼν ἧκεν καὶ ἐκέλευεν ἡμᾶς εἰσιέναι. εἰσιόν-
τες οὖν | κατελαμβάνομεν τὸν μὲν Σωκράτη ἄρτι λελυμένον,* 60
*τὴν δὲ Ξανθίππην — γιγνώσκεις γάρ — ἔχουσάν τε τὸ
παιδίον αὐτοῦ καὶ παρακαθημένην. ὡς οὖν εἶδεν ἡμᾶς ἡ
Ξανθίππη, ἀνευφήμησέ τε καὶ τοιαῦτ' ἄττ' εἶπεν, οἷα δὴ
εἰώθασιν αἱ γυναῖκες, ὅτι 'ὦ Σώκρατες, ὕστατον δή σε
προσεροῦσι νῦν οἱ ἐπιτήδειοι καὶ σὺ τούτους.' καὶ ὁ Σωκρά-
της βλέψας εἰς τὸν Κρίτωνα· 'ὦ Κρίτων,' ἔφη, 'ἀπαγέτω
τις αὐτὴν οἴκαδε.' καὶ ἐκείνην μὲν ἀπῆγόν τινες τῶν τοῦ
Κρίτωνος βοῶσάν τε καὶ | κοπτομένην· ὁ δὲ Σωκράτης* B
*ἀνακαθεζόμενος εἰς τὴν κλίνην συνέκαμψέ τε τὸ σκέλος καὶ
ἔτριψε τῇ χειρί, καὶ τρίβων ἅμα· 'ὡς ἄτοπον,' ἔφη, 'ὦ
ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο, ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ·
ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ
λυπηρόν, τῷ ἅμα μὲν αὐτὼ μὴ ἐθέλειν παραγίγνεσθαι τῷ
ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ θάτερον καὶ λαμβάνῃ, σχεδόν
τι ἀναγκάζεσθαι ⟨ἀεὶ⟩ λαμβάνειν καὶ θάτερον, ὥσπερ ἐκ
μιᾶς κορυφῆς συνημμένω δύ' ὄντε. καὶ μοι δοκεῖ,' | ἔφη,* C
'εἰ ἐνενόησεν αὔτ' Αἴσωπος, μῦθον ἂν συνθεῖναι, ὡς ὁ θεὸς

---

1. induxi *καὶ*, sed fort. spuria sunt *ἐν* — *ἐγένετο*. | 10. *εἰώθειν] εἰώθει* codd. et vulgo | 11. *ἐπιμένειν* E, prob. Herm. | emblema del. Hir. | 24. *ἀνακαθεζόμενος* vH.] *-ιζόμενος*. | 25. *ἔτριψε* TCob.] *ἐξέτριψε* B et vulgo. | 30. *ἀεὶ* add. Stob. | 30. *θάτερον* ⟨*ὕστερον*⟩, Rich.

βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἐδύνατο,
συνῆψεν εἰς ταὐτὸν αὐτοῖς τὰς κορυφάς, καὶ διὰ ταῦθ' ᾧ
ἂν θάτερον παραγένηται ἐπακολουθεῖ ὕστερον καὶ θάτερον.
ὥσπερ οὖν καὶ αὐτῷ μοι ἔοικεν· ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν
ἐν τῷ σκέλει τἀλγεινόν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν
τὸ ἡδύ.'

IV. *Ὁ οὖν Κέβης ὑπολαβών· 'νὴ τὸν Δία, ὦ Σώκρατες,'*
ἔφη, 'εὖ γ' ἐποίησας ἀναμνήσας με. περὶ γάρ τοι τῶν |
D *ποιημάτων ὧν πεποίηκας ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους*
καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον καὶ ἄλλοι τινές μ' ἤδη
ἤροντο, ἀτὰρ καὶ Εὔηνος πρῴην, ὅ τι ποτὲ διανοηθείς,
ἐπειδὴ δεῦρ' ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν πώποτε
ποιήσας. εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμ' Εὐήνῳ ἀποκρί-
νασθαι, ὅταν μ' αὖθις ἐρωτᾷ — εὖ οἶδα γάρ, ὅτι ἐρήσεται —
εἰπέ, τί χρὴ λέγειν.' 'λέγε τοίνυν,' ἔφη, 'αὐτῷ, ὦ Κέβης,
τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν
E *αὐτοῦ ἀντίτεχνος εἶναι ἐποίησα ταῦτα — ἤδη* | *γάρ, ὡς οὐ*
ῥᾴδιον εἴη — ἀλλ' ἐνυπνίων τινῶν ἀποπειρώμενος, τί λέγοι,
[καὶ ἀφοσιούμενος, εἰ πολλάκις ταύτην τὴν μουσικήν μοι
ἐπιτάττοι ποιεῖν] ἦν γὰρ δὴ ἄττα τοιάδε· πολλάκις μοι φοιτῶν
ταὐτὸν ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ' ἐν ἄλλῃ ὄψει
φαινόμενον, ταὐτὰ δὲ λέγον· ὦ Σώκρατες, ἔφη, μουσικὴν
ποίει καὶ ἐργάζου. καὶ ἐγὼ ἔν γε τῷ πρόσθεν χρόνῳ, ὅπερ
ἔπραττον, τοῦθ' ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε |
61 *καὶ ἐπικελεύειν, ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι, κἀμοὶ*
οὕτω τοὐνύπνιον, ὅπερ ἔπραττον, τοῦτ' ἐπικελεύειν[, μουσι-
κὴν ποιεῖν], ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς,
ἐμοῦ δὲ τοῦτο πράττοντος· νῦν δ' ἐπειδὴ ἥ τε δίκη ἐγένετο
καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ μ' ἀποθνήσκειν, ἔδοξε χρῆναι,
εἰ ἄρα πολλάκις μοι προστάττοι τοὐνύπνιον ταύτην τὴν
δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ, ἀλλὰ ποιεῖν.
ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι πρὶν ἀφοσιώσασθαι

---

10. *Ἀπόλλω*. Cob. requirebat *Ἀπόλλωνα*, sed cf. Meist. p. 131, 1. | 18. *λέγοι* T] *λέγειν* B, *λέγει* al. et sic Sch. | 19. *καὶ ἀφ.* del. Hartm. (Cf. infra 61 A extr.), *εἰ — ποιεῖν* Bamb. | 26 sq. expunxi *μουσ. ποιεῖν*.

[ποιήσαντα | ποιήματα καὶ πειθόμενον τῷ ἐνυπνίῳ]. οὕτω B δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, οὗ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεόν, ἐννοήσας, ὅτι τὸν ποιητὴν δέοι, εἴπερ μέλλοι ποιητὴς εἶναι, ποιεῖν μύθους, ἀλλ᾽ οὐ λόγους, καὶ αὐτὸς οὐκ ἦ μυθολογικός, διὰ ταῦτα δή οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους [τοὺς Αἰσώπου], τούτους ἐποίησα[οἷς πρώτοις ἐνέτυχον].

V. Ταῦτ᾽ οὖν, ὦ Κέβης, Εὐήνῳ φράζε, καὶ ἐρρῶσθαι καὶ, ἐὰν σωφρονῇ, ἐμὲ διώκειν ὡς τάχιστα. ἄπειμι δέ, ὡς | ἔοικε, τήμερον· κελεύουσι γὰρ Ἀθηναῖοι.' καὶ ὁ Σιμμίας· C 'οἷον παρακελεύει,' ἔφη, 'τοῦτο, ὦ Σώκρατες, Εὐήνῳ; πολλὰ γὰρ ἤδη ἐντετύχηκα τῷ ἀνδρί· σχεδὸν οὖν, ἐξ ὧν ἐγὼ ᾔσθημαι, οὐδ᾽ ὁπωστιοῦν σοι ἑκὼν εἶναι πείσεται.' 'τί δαί;' ἦ δ᾽ ὅς, 'οὐ φιλόσοφος Εὔηνος;' 'ἔμοιγε δοκεῖ,' ἔφη ὁ Σιμμίας. 'ἐθελήσει τοίνυν καὶ Εὔηνος καὶ πᾶς, ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι ἴσως βιάσεται αὑτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι.' καὶ ἅμα λέγων ταῦτα καθῆκε τὰ σκέλη ἐπὶ | τὴν γῆν, καὶ καθεζόμενος οὕτως ἤδη D τὰ λοιπὰ διελέγετο. ἤρετ᾽ οὖν αὐτὸν ὁ Κέβης· 'πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν ⟨μὲν⟩ εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ᾽ ἂν τῷ ἀποθνῄσκοντι τὸν φιλόσοφον ἕπεσθαι;' 'τί δέ, ὦ Κέβης; οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων Φιλολάῳ συγγεγονότες;' 'οὐδέν γε σαφῶς, ὦ Σώκρατες.' 'ἀλλὰ μὴν καὶ ἐγὼ ἐξ ἀκοῆς περὶ αὐτῶν λέγω· ἃ μὲν οὖν τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέγειν. καὶ γὰρ ἴσως καὶ μάλιστα πρέπει μέλλοντα | ἐκεῖσ᾽ ἀποδημεῖν διασκο- E πεῖν τε καὶ μυθολογεῖν περὶ τῆς ἀποδημίας [τῆς ἐκεῖ] ποίαν τιν᾽ αὐτὴν οἰόμεθ᾽ εἶναι· τί γὰρ ἄν τις καὶ ποιοίη ἄλλ᾽ ἐν τῷ μέχρι ἡλίου δυσμῶν χρόνῳ;'

VI. 'Κατὰ τί δὴ οὖν ποτ᾽ οὔ φασι θεμιτὸν εἶναι αὐτὸν ἑαυτὸν ἀποκτεινύναι, ὦ Σώκρατες; ἤδη γὰρ ἔγωγε, ὅπερ νυνδὴ σὺ ἤρου, καὶ Φιλολάου ἤκουσα, ὅτε παρ᾽ ἡμῖν διῃτᾶτο, ἤδη δὲ καὶ ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν·

---

1. emblema del. Hartm. | 6. τοὺς Αἰσ. del. Hartm. | τούτους B] τούτων TBurn. Malui expungere οἷς — ἐνέτυχον abundantia post οὓς — εἶχον. | 20. addidi μὲν. | 24. an σαφός, ut mox p. 74, 1? | 28. τῆς ἐκεῖ del. Sch.

62 σαφὲς δὲ περὶ αὐτῶν οὐδενὸς πώποτ' οὐδὲν ἀκήκοα.' | 'ἀλλὰ προθυμεῖσθαι χρή,' ἔφη· 'τάχα γὰρ ἂν καὶ ἀκούσαις. ἴσως μέντοι θαυμαστόν σοι φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπάντων ἁπλοῦν ἐστιν καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥσπερ καὶ τἆλλα, ἔστιν ὅτε καὶ οἷς βέλτιον ⟨ὂν⟩ τεθνάναι ἢ ζῆν· οἷς δὲ βέλτιον τεθνάναι, θαυμαστὸν ἴσως σοι φαίνεται, εἰ τούτοις [τοῖς ἀνθρώποις] μὴ ὅσιον αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν ἀλλ' ἄλλον δεῖ περιμένειν εὐεργέτην.' καὶ ὁ Κέβης ἠρέμ' ἐπιγελάσας· 'ἴττω Δεύς,' ἔφη τῇ αὑτοῦ φωνῇ εἰπών.
B 'καὶ γὰρ ἂν δόξειεν,' ἔφη ὁ | Σωκράτης,' οὕτω γ' εἶναι ἄλογον· οὐ μέντοι ἀλλ' ἴσως γ' ἔχει τινὰ λόγον. ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διιδεῖν· οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ, ὦ Κέβης, εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελουμένους καὶ ἡμᾶς [τοὺς ἀνθρώπους] ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι. ἢ σοὶ οὐ δοκεῖ οὕτως;' 'ἔμοιγε,' φησὶν ὁ Κέβης. 'οὐκοῦν,' ἦ δ' ὅς,
C 'καὶ | σὺ ἂν τῶν σαυτοῦ κτημάτων εἴ τι αὐτὸ ἑαυτὸ ἀποκτεινύοι, μὴ σημήναντός σου ὅτι βούλει αὐτὸ τεθνάναι, χαλεπαίνοις ἂν αὐτῷ, καὶ εἴ τιν' ἔχοις τιμωρίαν, τιμωροῖ' ἄν;' 'πάνυ γ',' ἔφη. 'ἴσως τοίνυν ταύτῃ οὐκ ἄλογον, μὴ πρότερον αὑτὸν ἀποκτεινύναι δεῖν, πρὶν ⟨ἂν⟩ ἀνάγκην τινὰ θεὸς ἐπιπέμψῃ, ὥσπερ καὶ τὴν νῦν ἡμῖν παροῦσαν.'

VII. 'Ἀλλ' εἰκός,' ἔφη ὁ Κέβης, 'τοῦτό γε φαίνεται. ὃ μέντοι νυνδὴ ἔλεγες, τὸ τοὺς φιλοσόφους ῥᾳδίως ἂν ἐθέ-
D λειν ἀποθνῄσκειν, ἔοικεν τοῦτο, ὦ Σώκρατες, | ἀτόπῳ, εἴπερ ὃ νυνδὴ ἐλέγομεν εὐλόγως ἔχει, τὸ θεόν τ' εἶναι τὸν ἐπιμελούμενον ἡμῶν καὶ ἡμᾶς ἐκείνου κτήματ' εἶναι. τὸ γὰρ μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης τῆς θεραπείας ἀπιόντας, ἐν ᾗ ἐπιστατοῦσιν αὐτῶν οἵπερ ἄριστοί εἰσιν τῶν ὄντων ἐπιστάται, [θεοί,] οὐκ ἔχει λόγον. οὐ γάρ που αὐτός

---

2. ἀκούσαις. Hic et alibi Plato usus videtur terminationibus prosae Atticae propriis εias, ειεν, ειαν. | 5. ὂν add. Heind. | 9. Δεὺς Boeotice dedi pro Ζεύς. | 17. τοὺς ἀνθρ. delevi. | 19. κτημάτων om. T. | 32. delevi θεοί cum Cob. Non tuetur 63 B init.

γ' αὑτοῦ οἴεται ἄμεινον ἐπιμελήσεσθαι ἐλεύθερος γενόμενος·
ἀλλ' ἀνόητος μὲν ἄνθρωπος τάχ' ἂν οἰηθείη ταῦτα, φευκτέον
εἶναι ἀπὸ τοῦ δεσπότου καὶ οὐκ ἂν | λογίζοιτο, ὅτι οὐ δεῖ E
ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν, ἀλλ' ὅτι μάλιστα παραμένειν[,
διὸ ἀλογίστως ἂν φεύγοι]· ὁ δὲ νοῦν ἔχων ἐπιθυμοίη που
ἂν ἀεὶ εἶναι παρὰ τῷ αὑτοῦ βελτίονι. καίτοι οὕτως, ὦ Σώκρατες, τοὐναντίον εἶναι εἰκὸς ἢ ὃ νυνδὴ ἐλέγετο· τοὺς μὲν
γὰρ φρονίμους ἀγανακτεῖν ἀποθνήσκοντας πρέπει, τοὺς δ'
ἄφρονας χαίρειν.' ἀκούσας οὖν ὁ Σωκράτης ἡσθῆναί τέ μοι
ἔδοξε τῇ τοῦ | Κέβητος πραγματείᾳ, καὶ ἐπιβλέψας εἰς ἡμᾶς· 63
'ἀεί τοι,' ἔφη, [ὁ] Κέβης λόγους τινὰς ἀνερευνᾷ, καὶ οὐ
πάνυ εὐθέως ἐθέλει πείθεσθαι, ὅ τι ἄν τις εἴπῃ.' καὶ ὁ
Σιμμίας· 'ἀλλὰ μήν,' ἔφη, 'ὦ Σώκρατες, νῦν γέ μοι δοκεῖ
τὶ καὶ αὐτῷ λέγειν Κέβης· τί γὰρ ἂν βουλόμενοι ἄνδρες
σοφοὶ ὡς ἀληθῶς δεσπότας ἀμείνους αὑτῶν φεύγοιεν καὶ
ῥᾳδίως ἀπαλλάττοιντ' αὐτῶν; καί μοι δοκεῖ Κέβης εἰς σὲ
τείνειν τὸν λόγον, ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων καὶ ἄρχοντας ἀγαθούς, ὡς αὐτὸς | ὁμολογεῖς, θεούς.' B
'δίκαια,' ἔφη, 'λέγετε. οἶμαι γὰρ ὑμᾶς λέγειν, ὅτι χρή με
πρὸς ταῦτ' ἀπολογήσασθαι ὥσπερ ἐν δικαστηρίῳ.' 'πάνυ μὲν
οὖν,' ἔφη ὁ Σιμμίας.

VIII. 'Φέρε δή,' ἦ δ' ὅς, 'πειραθῶ πιθανώτερον πρὸς ὑμᾶς ἀπολογήσασθαι ἢ πρὸς τοὺς δικαστάς. ἐγὼ γάρ,' ἔφη, 'ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε κἀγαθούς, ἔπειτα [καὶ] παρ' ἀνθρώπους [τετελευτηκότας] ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν οὐκ ἀγανακτῶν τῷ θανάτῳ· νῦν δ', εὖ ἴσθ' ὅτι | παρ' ἄνδρας τ' ἐλπίζω ἀφίξεσθαι ἀγαθούς — καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διισχυρισαίμην — τὸ μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴσθ' ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην ἂν καὶ τοῦτο. ὥστε διὰ ταῦτ' οὐχ ὅπως ἀγανακτῶ, ἀλλ' εὔελπίς εἰμ' εἶναί τι τοῖς τετελευτηκόσι καί, ὥσπερ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς

---

2. ταῦτα] πάντως Hartm., emblema del. Sch. | 5. seclusa del. Hir. | 11. ὁ expunxi cum T. | 20. πρὸς ταῦτα om. T, forsan recte. | 25. καὶ expunxi cum Tpr. et Stob. | τετελ. del. Hartm. | 32. ὅπως Cob.] ὁμοίως.

ἢ τοῖς κακοῖς.' 'τί οὖν,' ἔφη ὁ Σιμμίας, 'ὦ Σώκρατες;
αὐτὸς ἔχων τὴν διάνοιαν ταύτην ἐν νῷ ἔχεις ἀπιέναι, ἢ κἂν
D *ἡμῖν | μεταδοίης; κοινὸν γὰρ δὴ ἔμοιγε δοκεῖ καὶ ἡμῖν εἶναι*
ἀγαθὸν τοῦτο, καὶ ἅμα σοι ἀπολογία ἔσται, ἐὰν ἅπερ λέγεις
ἡμᾶς πείσῃς.' 'ἀλλὰ πειράσομαι,' ἔφη. 'πρῶτον δὲ Κρίτωνα
τόνδε σκεψώμεθα, τί ἐστιν ὃ βούλεσθαί μοι δοκεῖ πάλαι
εἰπεῖν.' 'τί, ὦ Σώκρατες,' ἔφη ὁ Κρίτων, 'ἄλλο γ' ἢ πάλαι
μοι λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρμακον, ὅτι χρή σοι
φράζειν ὡς ἐλάχιστα διαλέγεσθαι; φησὶ γὰρ θερμαίνεσθαι
μᾶλλον διαλεγομένους, δεῖν δ' οὐδὲν τοιοῦτον προσφέρειν
E *τῷ φαρμάκῳ· εἰ δὲ μή, | ἐνίοτ' ἀναγκάζεσθαι καὶ δὶς καὶ*
τρὶς πίνειν τούς τι τοιοῦτον ποιοῦντας.' καὶ ὁ Σωκράτης·
'ἔα,' ἔφη, 'χαίρειν αὐτόν· ἀλλὰ μόνον τοσοῦτον παρασκευα-
ζέτω ὡς καὶ δὶς δώσων, ἐὰν δὲ δέῃ, καὶ τρίς.' 'ἀλλὰ σχεδὸν
μέν τι ᾔδη,' ἔφη ὁ Κρίτων· 'ἀλλά μοι πάλαι πράγματα
παρέχει.' 'ἔα αὐτόν,' ἔφη. 'ἀλλ' ὑμῖν δὴ τοῖς δικασταῖς βού-
λομαι ἤδη τὸν λόγον ἀποδοῦναι, ὥς μοι φαίνεται εἰκότως
ἀνὴρ τῷ ὄντι ἐν φιλοσοφίᾳ διατρίψας τὸν βίον θαρρεῖν μέλ-
64 *λων | ἀποθανεῖσθαι καὶ εὔελπις εἶναι ἐκεῖ μέγιστ' οἴσεσθαι*
ἀγαθά, ἐπειδὰν τελευτήσῃ· πῶς ἂν οὖν δὴ τοῦθ' οὕτως ἔχοι,
ὦ Σιμμία τε καὶ Κέβης, ἐγὼ πειράσομαι φράσαι.

IX. *Κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι*
φιλοσοφίας λεληθέναι τοὺς ἄλλους, ὅτι οὐδὲν ἄλλ' αὐτοὶ ἐπι-
τηδεύουσιν ἢ ἀποθνῄσκειν τε καὶ τεθνάναι. εἰ οὖν τοῦτ'
ἀληθές, ἄτοπον δήπου ἂν εἴη προθυμεῖσθαι μὲν ἐν παντὶ
τῷ βίῳ μηδὲν ἄλλ' ἢ τοῦτο, ἥκοντος δὲ δὴ αὐτοῦ ἀγανακ-
τεῖν, ὃ πάλαι προὐθυμοῦντό τε καὶ ἐπετήδευον.' καὶ ὁ
B *Σιμμίας γελάσας· 'νὴ τὸν Δία,' ἔφη, 'ὦ | Σώκρατες, οὐ*
πάνυ γέ με νῦν γελασείοντα ἐποίησας γελάσαι. οἶμαι γὰρ ἂν
δὴ τοὺς πολλοὺς αὐτὸ τοῦτ' ἀκούσαντας δοκεῖν εὖ πάνυ
εἰρῆσθαι εἰς τοὺς φιλοσοφοῦντας καὶ ξυμφάναι ἂν τοὺς μὲν
παρ' ἡμῖν ἀνθρώπους καὶ πάνυ, ὅτι τῷ ὄντι οἱ φιλοσο-
φοῦντες θανατῶσι καὶ σφᾶς γ' οὐ λελήθασιν, ὅτι ἄξιοί εἰσιν
τοῦτο πάσχειν.' 'καὶ ἀληθῆ γ' ἂν λέγοιεν, ὦ Σιμμία, πλήν

---

9. *φράζειν]* *φροντίζειν* BC. | 13. *τοσοῦτον* Hir.] *τὸ ἑαυτοῦ*, del. Sch. | 16. *τοῖς δικασταῖς*. Cf. p. 63 B et p. 69 E.

*γε τοῦ σφᾶς μὴ λεληθέναι. λέληθεν γὰρ αὐτούς, ᾗ τε θανα-
τῶσι καὶ ᾗ ἄξιοί εἰσιν θανάτου [καὶ οἵου θανάτου] οἱ ὡς
ἀληθῶς φιλόσοφοι. εἴπωμεν γάρ,' | ἔφη, 'πρὸς ἡμᾶς αὐτούς,* C
*χαίρειν εἰπόντες ἐκείνοις· ἡγούμεθά τι τὸν θάνατον εἶναι;'
'πάνυ γε,' ἔφη ὑπολαβὼν ὁ Σιμμίας. 'ἆρα μὴ ἄλλο τι ἢ τὴν
τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο
τὸ τεθνάναι, χωρὶς μὲν [ἀπὸ] τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ
καθ' αὑτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν [ἀπὸ]
τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὑτὴν εἶναι; ἆρα μὴ
ἄλλο τι [ὁ θάνατος] ᾖ τοῦτο;' 'οὔκ, ἀλλὰ τοῦτο,' ἔφη.
'σκέψαι δή, ὠγαθέ, ἐὰν ἄρα καὶ σοὶ ξυνδοκῇ ἅπερ ἐμοί.
ἐκ γὰρ τούτων | μᾶλλον οἶμαι ἡμᾶς εἴσεσθαι περὶ ὧν σκο-* D
*ποῦμεν. φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι ἐσπουδακέναι
περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοιάσδε, οἷον σίτων τε καὶ
ποτῶν;' 'ἥκιστα γε, ὦ Σώκρατες,' ἔφη ὁ Σιμμίας. 'τί δέ;
τὰς τῶν ἀφροδισίων;' 'οὐδαμῶς.' 'τί δέ; τὰς ἄλλας τὰς περὶ
τὸ σῶμα θεραπείας δοκεῖ σοι ἐντίμους ἡγεῖσθαι ὁ τοιοῦτος;
οἷον ἱματίων διαφερόντων κτήσεις καὶ ὑποδημάτων καὶ τοὺς
ἄλλους καλλωπισμοὺς τοὺς περὶ τὸ σῶμα πότερον τιμᾶν
δοκεῖ σοι ἢ ἀτιμάζειν, καθ' ὅσον μὴ | πολλὴ ἀνάγκη μετέχειν* E
*αὐτῶν;' 'ἀτιμάζειν ἔμοιγε δοκεῖ,' ἔφη, [ὅ γε ὡς ἀληθῶς
φιλόσοφος].' 'οὐκοῦν ὅλως δοκεῖ σοι,' ἔφη, 'ἡ τοῦ τοιούτου
πραγματεία οὐ περὶ τὸ σῶμα εἶναι, ἀλλὰ καθ' ὅσον δύναται
ἀφεστάναι αὐτοῦ, πρὸς δὲ τὴν ψυχὴν τετράφθαι;' 'ἔμοιγε.'
'ἆρ' οὖν πρῶτον μὲν ἐν τοῖς τοιούτοις δῆλός ἐστιν ὁ φιλόσο-
φος ἀπολύων ὅτι μάλιστα | τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος* 65
*κοινωνίας διαφερόντως τῶν ἄλλων ἀνθρώπων;' 'φαίνεται.'
'καὶ δοκεῖ γε δήπου, ὦ Σιμμία, τοῖς πολλοῖς ἀνθρώποις,
ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν, οὐκ ἄξιον
εἶναι ζῆν, ἀλλ' ἐγγύς τι τείνειν τοῦ τεθνάναι ὁ μηδὲν φροντί-
ζων τῶν ἡδονῶν, αἳ διὰ τοῦ σώματός εἰσιν.' 'πάνυ μὲν οὖν
ἀληθῆ λέγεις.'*

X. *'Τί δὲ δὴ περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν;*

---

7 sq. posterius *ἀπὸ* om. T et Iambl., utrobique expunxi. | 10. *ᾖ . . . θάνατος ᾖ* B, *ἢ ὁ θ. ᾖ* T, seclusit Burn. | 14. *σιτίων* T et Burn. | 15. *γε* cum B om. Sch. | *τί δαί;* Hir.

πότερον ἐμπόδιον τὸ σῶμ' ἢ οὔ, ἐάν τις αὐτ' ἐν τῇ ζητήσει
B κοινωνὸν συμπαραλαμβάνῃ; οἷον τὸ τοιόνδε | λέγω· ἆρ' ἔχει
ἀλήθειάν τιν' ὄψις τε καὶ ἀκοὴ τοῖς ἀνθρώποις, ἢ ⟨μάτην⟩ τά γε
τοιαῦτα καὶ οἱ ποιηταὶ ἡμῖν ἀεὶ θρυλοῦσιν, ὅτι οὔτ' ἀκούομεν
ἀκριβὲς οὐδὲν οὔθ' ὁρῶμεν; καίτοι εἰ αὗται τῶν περὶ τὸ
σῶμ' αἰσθήσεων μὴ ἀκριβεῖς εἰσιν μηδὲ σαφεῖς, σχολῇ αἵ
γ' ἄλλαι· πᾶσαι γάρ που τούτων φαυλότεραί εἰσιν· ἢ σοι οὐ
δοκοῦσιν;' 'πάνυ μὲν οὖν,' ἔφη. 'πότ' οὖν,' ἦ δ' ὅς, 'ἡ ψυχὴ
τῆς ἀληθείας ἅπτεται; ὅταν μὲν γὰρ μετὰ τοῦ σώματος ἐπι-
χειρῇ τι σκοπεῖν, δῆλον ὅτι τότ' ἐξαπατᾶται ὑπ' αὐτοῦ.' |
C 'ἀληθῆ λέγεις.' 'ἆρ' οὖν οὐκ ἐν τῷ λογίζεσθαι, εἴπερ που
ἄλλοθι, κατάδηλον αὐτῇ γίγνεταί τι τῶν ὄντων;' 'ναί.' 'λογί-
ζεται δέ γέ που τότε κάλλιστα, ὅταν αὐτὴν τούτων μηδὲν
παραλυπῇ, μήτ' ἀκοὴ μήτ' ὄψις μήτ' ἀλγηδὼν μήτε τις
ἡδονή, ἀλλ' ὅτι μάλιστ' αὐτὴ καθ' αὑτὴν γίγνηται ἐῶσα
χαίρειν τὸ σῶμα, καὶ καθ' ὅσον δύναται μὴ κοινωνοῦσα
αὐτῷ μηδ' ἁπτομένη ὀρέγηται τοῦ ὄντος.' 'ἔστι ταῦτα.'
D 'οὐκοῦν κἀνταῦθ' ἡ τοῦ φιλοσόφου ψυχὴ μάλιστ' | ἀτιμάζει
τὸ σῶμα καὶ φεύγει ἀπ' αὐτοῦ, ζητεῖ δ' αὐτὴ καθ' αὑτὴν
γίγνεσθαι;' 'φαίνεται.' 'τί δὲ δὴ τὰ τοιάδε, ὦ Σιμμία; φαμέν
τι εἶναι δίκαιον αὐτὸ ἢ οὐδέν;' 'φαμὲν μέντοι νὴ Δία.' 'καὶ
αὖ καλόν γέ τι κἀγαθόν;' 'πῶς δ' οὔ;' 'ἤδη οὖν πώποτέ
τι τῶν τοιούτων τοῖς ὀφθαλμοῖς εἶδες;' 'οὐδαμῶς,' ἦ δ' ὅς.
'ἀλλ' ἄλλῃ τινὶ αἰσθήσει τῶν διὰ τοῦ σώματος ἐφήψω αὐτῶν;
λέγω δὲ περὶ πάντων, οἷον μεγέθους πέρι, ὑγιείας, ἰσχύος,
E καὶ τῶν ἄλλων ἑνὶ λόγῳ ἁπάντων τῆς οὐσίας, ὃ | τυγχάνει
ἕκαστον ὄν· ἆρα διὰ τοῦ σώματος αὐτῶν τἀληθέστατον
θεωρεῖται, ἢ ὧδ' ἔχει· ὃς ἂν μάλισθ' ἡμῶν καὶ ἀκριβέστατα
παρασκευάσηται αὐθ' ἕκαστον διανοηθῆναι περὶ οὗ σκοπεῖ,
οὗτος ἂν ἐγγύτατ' ἴοι τοῦ γνῶναι ἕκαστον;' 'πάνυ μὲν οὖν.'
'ἆρ' οὖν ἐκεῖνος ἂν τοῦτο ποιήσειε καθαρώτατα, ὅστις ὅτι
μάλιστ' αὐτῇ τῇ διανοίᾳ ἴοι ἐφ' ἕκαστον, μήτε τὴν ὄψιν
παρατιθέμενος ἐν τῷ διανοεῖσθαι μήτε τιν' ἄλλην αἴσθησιν
66 ἐφέλκων μηδεμίαν | μετὰ τοῦ λογισμοῦ, ἀλλ' αὐτῇ καθ'
αὑτὴν εἰλικρινεῖ τῇ διανοίᾳ χρώμενος αὐτὸ καθ' αὑτὸ εἰλι-

3. addidi μάτην. | 22. αὖ e Ficino add. Heindorf.

κρινὲς ἕκαστον ἐπιχειροίη θηρεύειν τῶν ὄντων, ἀπαλλαγεὶς
ὅτι μάλιστ' ὀφθαλμῶν τε καὶ ὤτων καὶ ὡς ἔπος εἰπεῖν
ξύμπαντος τοῦ σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος
τὴν ψυχὴν κτήσασθαι ἀλήθειάν τε καὶ φρόνησιν, ὅταν κοι-
νωνῇ; ἆρ' οὐχ οὗτός ἐστιν, ὦ Σιμμία, εἴπερ τις καὶ ἄλλος,
ὁ τευξόμενος τοῦ ὄντος;' 'ὑπερφυῶς,' ἔφη ὁ Σιμμίας, 'ὡς
ἀληθῆ λέγεις, ὦ Σώκρατες.'

XI. 'Οὐκοῦν ἀνάγκη,' | ἔφη, 'ἐκ πάντων τούτων παρί- B
στασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις, ὥστε
καὶ πρὸς ἀλλήλους τοιαῦτ' ἄττα λέγειν, ὅτι κινδυνεύει τοι
ὥσπερ ἀτραπός τις ⟨ὁ θάνατος⟩ ἐκφέρειν ἡμᾶς ὅτι, ἕως
ἂν τὸ σῶμα ἔχωμεν [μετὰ τοῦ λόγου ἐν τῇ σκέψει], καὶ
συμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τοιούτου κακοῦ, οὐ
μή ποτε κτησώμεθ' ἱκανῶς οὗ ἐπιθυμοῦμεν· φαμὲν δὲ τοῦτ'
εἶναι τἀληθές. μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ
σῶμα διὰ τὴν ἀναγκαίαν τροφήν· ἔτι δ', ἐάν | τινες νόσοι C
προσπέσωσιν, ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν.
ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντο-
δαπῶν καὶ φλυαρίας ἐμπίμπλησιν ἡμᾶς πολλῆς, ὥστε τὸ
λεγόμενον ὡς ἀληθῶς [τῷ ὄντι] ὑπ' αὐτοῦ οὐδὲ φρονῆσαι
ἡμῖν ἐγγίγνεται οὐδέποτ' οὐδέν. καὶ γὰρ πολέμους καὶ στάσεις
καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου
ἐπιθυμίαι. διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ
πόλεμοι γίγνονται, τὰ δὲ χρήματ' ἀναγκαζόμεθα κτᾶσθαι
διὰ | τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ D
τούτου ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ πάντα ταῦτα.
τὸ δ' ἔσχατον πάντων, ὅτι, ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται
ἀπ' αὐτοῦ καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς
ζητήσεσιν αὖ πανταχοῦ παραπῖπτον θόρυβον παρέχει καὶ
ταραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ' αὐτοῦ καθορᾶν
τἀληθές, ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται, ὅτι, εἰ μέλλομέν ποτε
καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ καὶ αὐτῇ τῇ ψυχῇ

---

5. *καὶ* om. T et Iambl. Burn. | 11. *τις* om. T et Iambl. Burn. | *ὁ θάνατος* add. Tournier. | 12. *μετὰ — σκέψει* post *ἡμῶν* transp. Schleierm., del. Christ. | 19. malim *ἀναπίμπλησιν* cum Hir.] *ἐμπίπλησιν* codd. (Sch.). | 20. delevi glossema.

E θεατέον | αὐτὰ τὰ πράγματα· καὶ τότε, ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμέν τε καί φαμεν ἐρασταὶ εἶναι, [φρονήσεως,] ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ λόγος σημαίνει, ζῶσιν δ' οὔ. εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ ἔστιν κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσασιν· τότε γὰρ αὐτὴ καθ' αὑτὴν ἡ ψυχὴ ἔσται |
67 χωρὶς τοῦ σώματος, πρότερον δ' οὔ. καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕτως, ὡς ἔοικεν, ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶμεν, ὅτι μὴ πᾶσ' ἀνάγκη, μηδ' ἀναπιμπλώμεθα τῆς τούτου φύσεως, [ἀλλὰ καθαρεύωμεν ἀπ' αὐτοῦ,] ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς· καὶ οὕτω μὲν καθαροὶ ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης, ὡς τὸ εἰκός, μετὰ τοιούτων τ' ἐσόμεθα καὶ γνωσόμεθα δι' ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινές [τοῦτο δ'
B ἐστὶν ἴσως | τὸ ἀληθές], μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. τοιαῦτ' οἶμαι, ὦ Σιμμία, ἀναγκαῖον εἶναι πρὸς ἀλλήλους λέγειν τε καὶ δοξάζειν πάντας τοὺς ὀρθῶς φιλομαθεῖς. ἢ οὐ δοκεῖ σοι οὕτως;' 'παντός γε μᾶλλον, ὦ Σώκρατες.'

XII. 'Οὐκοῦν,' ἔφη ὁ Σωκράτης, 'εἰ ταῦτ' ἀληθῆ, ὦ ἑταῖρε, πολλὴ ἐλπὶς ἀφικομένῳ οἷ ἐγὼ πορεύομαι, ἐκεῖ ἱκανῶς, εἴπερ που ἄλλοθι, κτήσασθαι τοῦτο, οὗ ἕνεχ' ἡ πολλὴ πραγματεία ἡμῖν ἐν τῷ παρελθόντι βίῳ γέγονεν, ὥσθ' ἥ γ'
C ἀποδημία ἡ νῦν μοι | προστεταγμένη μετ' ἀγαθῆς ἐλπίδος γίγνεται καὶ ἄλλῳ ἀνδρί, ὃς ἡγεῖταί οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὥσπερ κεκαθαρμένην.' 'πάνυ μὲν οὖν,' ἔφη ὁ Σιμμίας. 'κάθαρσις δ' εἶναι ἆρ' οὐ τοῦτο συμβαίνει, ὅπερ πάλαι [ἐν τῷ λόγῳ] λέγεται, τὸ χωρίζειν ὅτι μάλιστ' ἀπὸ τοῦ σώματος τὴν ψυχὴν καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν πανταχόθεν ἐκ τοῦ σώματος συναγείρεσθαί τε καὶ ἀθροίζεσθαι, καὶ οἰκεῖν κατὰ τὸ δυνατὸν καὶ ἐν τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα
D [μόνην]⟨αὐτὴν⟩ καθ' | αὑτήν, ἐκλυομένην ὥσπερ ἐκ δεσμῶν [ἐκ] τοῦ σώματος;' 'πάνυ μὲν οὖν,' ἔφη. 'οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος;' 'παντά-

---

2. *φρόνησις* Iambl., del. Hartm. | 11. emblema del. id. — *αὐτὸς* om. B. | 14. emblema del. Sch. | 27. *ἐν* — *λόγῳ* delevi. | 31. *μόνην* del. Cob. Addidi *αὐτήν*. | *ἐκ* cum Iambl. del. Cob. | 33. *ψυχῆς* om. B.

πασί γε,' ἦ δ' ὅς. 'λύειν δέ γ' αὐτήν, ὥς φαμεν, προθυμοῦνται ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, καὶ τὸ μελέτημ' αὐτὸ τοῦτ' ἐστιν τῶν φιλοσόφων, [λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος,] ἢ οὔ;' 'φαίνεται.' 'οὐκοῦν, ὅπερ ἐν ἀρχῇ ἔλεγον, γελοῖον ἂν εἴη ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω | ὄντα τοῦ τεθνάναι οὕτω E ζῆν, κἄπειθ' ἥκοντος αὐτῷ τούτου ἀγανακτεῖν; '[οὐ] γελοῖον· πῶς δ' οὔ;' 'τῷ ὄντι ἄρα,' ἔφη, 'ὦ Σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι, καὶ τὸ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν. ἐκ τῶνδε δὲ σκόπει. εἰ γὰρ διαβέβληνται μὲν πανταχῇ τῷ σώματι, αὐτὴν δὲ καθ' αὑτὴν ἐπιθυμοῦσι τὴν ψυχὴν ἔχειν, [τούτου δὲ γιγνομένου εἰ φοβοῖντο καὶ ἀγανακτοῖεν,] οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ μὴ ἄσμενοι ἐκεῖσ' ἴοιεν, οἷ ἀφικομένοις ἐλπίς ἐστιν οὗ | διὰ βίου 68 ἤρων τυχεῖν· [ἤρων δὲ φρονήσεως·] ᾧ τε διεβέβληντο, τούτου ἀπηλλάχθαι συνόντος αὐτοῖς; ἢ ἀνθρωπίνων μὲν παιδικῶν καὶ γυναικῶν καὶ ὑέων ἀποθανόντων πολλοὶ δὴ ἑκόντες ἠθέλησαν εἰς Ἅιδου ἐλθεῖν, ὑπὸ ταύτης ἀγόμενοι τῆς ἐλπίδος, τῆς τοῦ ὄψεσθαί τ' ἐκεῖ ὧν ἐπεθύμουν καὶ συνέσεσθαι· φρονήσεως δ' ἄρα τις τῷ ὄντι ἐρῶν, καὶ λαβὼν σφόδρα τὴν αὐτὴν ταύτην ἐλπίδα, μηδαμοῦ ἄλλοθ' ἐντεύξεσθαι αὐτῇ ἀξίως λόγου ἢ ἐν Ἅιδου, ἀγανακτήσει τ' | ἀποθνήσκων καὶ B οὐχ ἄσμενος εἶσιν αὐτόσε; οἴεσθαί γε χρή, ἐὰν τῷ ὄντι γ' ᾖ, ὦ ἑταῖρε, φιλόσοφος· σφόδρα γὰρ αὐτῷ ταῦτα δόξει, μηδαμοῦ ἄλλοθι καθαρῶς ἐντεύξεσθαι φρονήσει [ἀλλ' ἢ ἐκεῖ]· εἰ δὲ τοῦθ' οὕτως ἔχει, ὅπερ ἄρτι ἔλεγον, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ φοβοῖτο τὸν θάνατον ὁ τοιοῦτος;' 'πολλὴ μέντοι νὴ Δία,' ἦ δ' ὅς.

XIII. 'Οὐκοῦν ἱκανόν σοι τεκμήριον,' ἔφη, 'τοῦτ' ἀνδρός, ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντ' ἀποθανεῖσθαι, ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος; ὁ αὐτὸς δέ | που οὗτος C

---

4. *τῆς ψυχῆς* BD; delevi emblema. | 7. *οὐ γελοῖον;*, del. Cob. Sch. Agnoscit Ars., ubi VII literarum est spatium. Responso, deleta negatione et pro signo interrogandi posito semicolo, addidi cum Burn. | 12. emblema del. Hir. | 15. delevi scholium. | 17. *υἱέων] παίδων ἕνεκα* Ars. | *δὴ* om. idem. | 25. *ἀλλ' ἢ ἐκεῖ* cum Ars. (qui habet ... *θαρῶς φρονήσει ἐντυχεῖν*) delevi. | 29. *ἀνδρὸς* et *μέλλοντα ἀποθανεῖσθαι* om. Ars.

*τυγχάνει ὢν καὶ φιλοχρήματος καὶ φιλότιμος, ἤτοι θἄτερα
τούτων ἢ ἀμφότερα.' 'πάνυ,' ἔφη, 'ἔχει οὕτως, ὡς λέγεις.'
'ἆρ' οὖν,' ἔφη, 'ὦ Σιμμία, οὐ καὶ ἡ ὀνομαζομένη ἀνδρεία
τοῖς οὕτω διακειμένοις ἥκιστα προσήκει;' 'πάντως δήπου,'
ἔφη. 'οὐκοῦν καὶ ἡ σωφροσύνη, ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι
σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆσθαι, ἀλλ'
ὀλιγώρως ἔχειν καὶ κοσμίως, ἆρ' οὐ τούτοις μόνοις προσήκει
τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσίν τε καὶ ἐν φιλοσοφίᾳ*
D | *ζῶσιν;' 'ἀνάγκη,' ἔφη. 'εἰ γὰρ ἐθέλεις,' ἦ δ' ὅς, 'ἐννοῆσαι
τήν γε τῶν ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι
εἶναι ἄτοπος.' 'πῶς δή, ὦ Σώκρατες;' 'οἶσθα,' ἦ δ' ὅς,
'ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγάλων
κακῶν;' 'καὶ μάλ',' ἔφη. 'οὐκοῦν φόβῳ μειζόνων κακῶν
ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον, ὅταν ὑπομέ-
νωσιν;' 'ἔστι ταῦτα.' 'τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι
πάντες πλὴν οἱ φιλόσοφοι. καίτοι ἄλογόν γε δέει τινὰ καὶ*
E *δειλίᾳ ἀνδρεῖον εἶναι.' 'πάνυ | μὲν οὖν.' 'τί δ' οἱ κόσμιοι
αὐτῶν; οὐ ταὐτὸν τοῦτο πεπόνθασιν· ἀκολασίᾳ τινὶ σώφρονές
εἰσιν; καίτοι φαμέν γ' ἀδύνατον εἶναι, ἀλλ' ὅμως αὐτοῖς
συμβαίνει τούτῳ ὅμοιον τὸ πάθος τὸ περὶ ταύτην τὴν εὐήθη
σωφροσύνην· φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι
καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται ὑπ' ἄλλων κρα-*
69 *τούμενοι. [καίτοι καλοῦσί γ' ἀκολασίαν τὸ ὑπὸ | τῶν ἡδονῶν
ἄρχεσθαι· ἀλλ' ὅμως συμβαίνει αὐτοῖς κρατουμένοις ὑφ'
ἡδονῶν κρατεῖν ἄλλων ἡδονῶν.] τοῦτο δ' ὅμοιόν ἐστιν ᾧ
νυνδὴ ἐλέγετο, τῷ τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσω-
φρονίσθαι.' 'ἔοικε γάρ.' 'ὦ μακάριε [Σιμμία], μὴ γὰρ οὐχ
αὕτη ᾖ ἡ ὀρθὴ [πρὸς ἀρετὴν] ἀλλαγή, ἡδονὰς πρὸς ἡδονὰς
καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι,
[καὶ] μείζω πρὸς ἐλάττω, ὥσπερ νομίσματα, ἀλλ' ᾖ ἐκεῖνο
μόνον τὸ νόμισμα ὀρθόν,. ἀνθ' οὗ δεῖ πάντα ταῦτα καταλ-*

---

1. *θἄτερα] θἄτερον?* | 4. *ἥκιστα* Taurnier] *μάλιστα.* | 15. ***καὶ δέει] καὶ δειλίᾳ*** Wagn., abesse malim. | 18. *[σωφρον]οῦσιν* non male Ars. | 20. *εὐήθη] ἀνδραποδώδη* Ars., fort. ex 69 B. | 22. *ἄλλων] ἐκείνων* Ars. | 23—25. Emblema del. Hartm. | 24. *τῶν* om. Ars. qui hab. *συμβαίνει δ' οὖν* pro *ἀλλ' ὅμως συμβαίνει.* | 27. cancellavi nomen. | 28. *πρὸς ἀρετὴν* del. Ast. | 30. *καὶ* om. Iambl. Stob. Delevi.

λάττεσθαι, | φρόνησις, [καὶ τούτου μὲν πάντα] καὶ μετὰ B *τούτου [ὠνούμενά τε καὶ πιπρασκόμενα] τῷ ὄντι [ᾖ] καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ [μετὰ φρονήσεως], καὶ προσγιγνομένων καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντ' ἀλλήλων μὴ σκιαγραφία τις ᾖ ἡ τοιαύτη ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς [οὐδ' ἀληθὲς] ἔχῃ, τὸ δ' ἀληθὲς [τῷ ὄντι] ᾖ κάθαρσίς τις τῶν τοιούτων πάντων καὶ ἡ σωφροσύνη καὶ | ἡ δικαιοσύνη καὶ ἀνδρεία καὶ αὐτὴ ἡ* C *φρόνησις [μὴ καθαρμός τις ᾖ]. καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι, ὅτι, ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσ' ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶν γὰρ δή, ὥς φασιν οἱ περὶ τάς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε παῦροι· οὗτοι δ' εἰσὶν | κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες* D *ὀρθῶς. ὧν δὴ καὶ ἐγὼ κατά γε τὸ δυνατὸν οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προὐθυμήθην γενέσθαι· εἰ δ' ὀρθῶς προὐθυμήθην καί τι ἠνυσάμην, ἐκεῖσ' ἐλθόντες τὸ σαφὲς εἰσόμεθα, ἐὰν θεὸς ἐθέλῃ, ὀλίγον ὕστερον, ὡς ἐμοὶ δοκεῖ. ταῦτ' οὖν ἐγώ,' ἔφη, 'ὦ Σιμμία τε καὶ Κέβης, ἀπολογοῦμαι, ὡς εἰκότως ὑμᾶς τ' ἀπολείπων καὶ τοὺς ἐνθάδε δεσπότας οὐ χαλεπῶς φέρω οὐδ' ἀγανακτῶ, ἡγούμενος κἀκεῖ | οὐδὲν ἧττον ἢ ἐνθάδε δεσπόταις τ' ἀγαθοῖς ἐντεύξεσθαι* E *καὶ ἑταίροις[· τοῖς δὲ πολλοῖς ἀπιστίαν παρέχει]. εἴ τι οὖν ὑμῖν πιθανωτερός εἰμ' ἐν τῇ ἀπολογίᾳ ἢ τοῖς Ἀθηναίων δικασταῖς, εὖ ἂν ἔχοι.'*

XIV. *Εἰπόντος δὴ τοῦ Σωκράτους ταῦθ' ὑπολαβὼν ὁ*

---

1 sq. duo emblemata del. Burn. | 4. *μετὰ φρονήσεως* delevi. | 6. *καὶ* om. B fort. legendum cum Cob. *καταλλαττόμενα*. | 9 sq. suspecta delevi. Cf. supra p. 81, 20. | 11. delevi *μὴ — ᾖ*. | 12. *τινες* om. B. Iambl. Stob. Sch. | 17. versus erat: *πολλοὶ μὲν ναρθηκοφόροι παῦροι δέ τε βάκχοι*, *velen zijn geroepen*, *weinigen uitverkoren*. | 21. *ἠνυσάμην* vH.] *ἠνυσάμην* Sch. cum Heind., *ἠνύσαμεν* BT. | 22. *ἐθέλῃ*. Sic etiam in hac formula Plato, ubi alii breviore forma utuntur.

Κέβης ἔφη· 'ὦ Σώκρατες, τὰ μὲν ἄλλ' ἔμοιγε δοκεῖ καλῶς
70 *λέγεσθαι· τὰ δὲ περὶ τῆς | ψυχῆς πολλὴν ἀπιστίαν παρέχει τοῖς ἀνθρώποις, μή, ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος, οὐδαμοῦ ἔτι ᾖ, ἀλλ' [ἐκείνῃ τῇ ἡμέρᾳ διαφθείρηταί τε καὶ ἀπολλύηται, ᾗ ἂν ἄνθρωπος ἀποθνήσκῃ·] εὐθὺς [ἀπαλλαττομένη τοῦ σώματος καὶ] ἐκβαίνουσα ὥσπερ πνεῦμα ἢ καπνὸς διασκεδασθεῖσα οἴχηται διαπτομένη [καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ]. ἐπεί, εἴπερ εἴη που αὐτὴ καθ' αὑτὴν συνηθροισμένη καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν ὧν σὺ νυνδὴ διῆλθες,*
B *πολλὴ ἂν ἐλπὶς εἴη καὶ καλή, ὦ | Σώκρατες, ὡς ἀληθῆ ἐστιν ἃ σὺ λέγεις· ἀλλὰ τοῦτο δὴ ἴσως οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως, ὡς ἔστι θ' ἡ ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνησιν.' 'ἀληθῆ,' ἔφη, 'λέγεις,' ὁ Σωκράτης, 'ὦ Κέβης· ἀλλὰ τί δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθολογῶμεν, εἴτ' εἰκὸς οὕτως ἔχειν εἴτε μή;' 'ἐγὼ γοῦν,' ἔφη ὁ Κέβης, 'ἡδέως ἂν ἀκούσαιμι, ἥντινα δόξαν ἔχεις περὶ αὐτῶν.' 'οὐκ οὖν γ' ἂν οἶμαι,' ἦ δ' ὅς [ὁ Σωκράτης], 'εἰπεῖν τινα νῦν ἀκούσαντα, οὐδ'*
C *εἰ | κωμῳδοποιὸς εἴη, ὡς ἀδολεσχῶ καὶ οὐ περὶ προσηκόντων τοὺς λόγους ποιοῦμαι. εἰ οὖν δοκεῖ, χρὴ διασκοπεῖσθαι.*

XV. *Σκεψώμεθα δ' αὐτὸ τῇδέ πῃ, εἴτ' ἄρ' ἐν Ἅιδου εἰσὶν αἱ ψυχαὶ τελευτησάντων τῶν ἀνθρώπων εἴτε καὶ οὔ. παλαιὸς μὲν οὖν ἔστι τις λόγος, οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδ' ἀφικόμεναι ἐκεῖ, καὶ πάλιν γε δεῦρ' ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων· καὶ εἰ τοῦθ' οὕτως ἔχει, [πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας,] ἄλλο*
D *τι ἢ εἶεν ἂν αἱ | ψυχαὶ ἡμῶν ἐκεῖ; οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο μὴ οὖσαι, καὶ τοῦθ' ἱκανὸν τεκμήριον τοῦ ταῦτ' εἶναι[, εἰ τῷ ὄντι φανερὸν γίγνοιτο, ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων]· εἰ δὲ μὴ ἔστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου.' 'πάνυ μὲν οὖν,' ἔφη ὁ*

---

4. emblema partim cum Hir. del. Hartm., (7) *οἴχηται — ᾖ* Sch. | 12. *ἡ* cum T del. Burn. | 16. *ἐγὼ γοῦν* (*saltem*) Stob.] *ἔγωγε οὖν* B, *ἐγωγοῦν* T. | 17. *οὐκ οὖν] οὔκουν* vulgo. | 18. expunxi nomen. | 19. *κωμῳδιοποιός* hellenistice B. Sch. Alluditur ad Nub. 1485. | 23. *λόγος*, sc. Pythagoraeorum, Orphicorum, Empedoclis. Cf. Herod. II 123. | 26. emblema del. Hartm. | 29 sq. *εἰ — τεθνεώτων* expunxi.

Κέβης. ‘μὴ τοίνυν κατ᾽ ἀνθρώπων,’ ἦ δ᾽ ὅς, ‘σκόπει μόνον
τοῦτο, εἰ βούλει ῥᾷον μαθεῖν, ἀλλὰ καὶ κατὰ ζῴων πάντων
καὶ φυτῶν, καὶ ξυλλήβδην ὅσαπερ ἔχει γένεσιν, περὶ πάντων
ἴδωμεν, ἆρ᾽ οὑτωσὶ γίγνεται πάντα, οὐκ | ἄλλοθεν ἢ ἐκ τῶν
ἐναντίων τἀναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ E
καλὸν τῷ αἰσχρῷ ἐναντίον που καὶ δίκαιον ἀδίκῳ, καὶ ἄλλα
δὴ μυρία οὕτως ἔχει. τοῦτ᾽ οὖν σκεψώμεθα, ἆρ᾽ ἀναγκαῖον,
ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι ἢ
ἐκ τοῦ αὐτῷ ἐναντίου. οἷον ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη
που ἐξ ἐλάττονος ὄντος πρότερον ἔπειτα μεῖζον γίγνεσθαι;’
‘ναί.’ ‘οὐκοῦν κἂν ἔλαττον γίγνηται, ἐκ μείζονος ὄντος πρό-
τερον | ὕστερον ἔλαττον γενήσεται;’ ‘ἔστιν οὕτω,’ ἔφη. ‘καὶ 71
μὴν ἐξ ἰσχυροτέρου γε τἀσθενέστερον καὶ ἐκ βραδυτέρου τὸ
θᾶττον;’ ‘πάνυ γε.’ ‘τί δ᾽; ἐάν τι χεῖρον γίγνηται, οὐκ ἐξ
ἀμείνονος, καὶ ἐὰν δικαιότερον, ἐξ ἀδικωτέρου;’ ‘πῶς γὰρ
οὔ;’ ‘ἱκανῶς οὖν,’ ἔφη, ‘ἔχομεν τοῦτο, ὅτι πάνθ᾽ οὕτω
γίγνεται[, ἐξ ἐναντίων τὰ ἐναντία πράγματα];’ ‘πάνυ γε.’ ‘τί
δ᾽ αὖ; ἔστι τι καὶ τοιόνδ᾽ ἐν αὐτοῖς, οἷον μεταξὺ ἀμφοτέρων
πάντων τῶν ἐναντίων δυοῖν ὄντοιν δύο γενέσεις, ἀπὸ μὲν
θατέρου ἐπὶ | θάτερον, ἀπὸ δ᾽ αὖ θατέρου πάλιν ἐπὶ θάτερον· B
μείζονος μὲν πράγματος καὶ ἐλάττονος μεταξὺ αὔξησις καὶ
φθίσις, καὶ καλοῦμεν αὐτὼ τὸ μὲν αὐξάνεσθαι, τὸ δὲ φθί-
νειν;’ ‘ναί,’ ἔφη. ‘οὐκοῦν καὶ διακρίνεσθαι καὶ συγκρίνεσθαι,
καὶ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ πάνθ᾽ οὕτω, κἂν εἰ μὴ
χρώμεθα τοῖς ὀνόμασιν ἐνιαχοῦ, ἀλλ᾽ ἔργῳ γοῦν πανταχοῦ
οὕτως ἔχειν ἀναγκαῖον, γίγνεσθαί τε αὔτ᾽ ἐξ ἀλλήλων γένεσίν
τ᾽ εἶναι [ἐξ ἑκατέρου] εἰς ἄλληλα;’ ‘πάνυ μὲν οὖν,’ ἦ δ᾽ ὅς.

XVI. ‘Τί οὖν;’ ἔφη. ‘τῷ | ζῆν ἐστί τι ἐναντίον, ὥσπερ C
τῷ ἐγρηγορέναι τὸ καθεύδειν;’ ‘πάνυ μὲν οὖν,’ ἔφη. ‘τί;’
‘τὸ τεθνάναι,’ ἔφη. ‘οὐκοῦν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα,
εἴπερ ἐναντί᾽ ἐστιν, καὶ αἱ γενέσεις εἰσὶν αὐτοῖν μεταξὺ δύο
δυοῖν ὄντοιν;’ ‘πῶς γὰρ οὔ;’ ‘τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν
ὧν νυνδὴ ἔλεγον ἐγώ σοι,’ ἔφη, ‘ἐρῶ,’ ὁ Σωκράτης, ‘καὶ
αὐτὴν καὶ τὰς γενέσεις· σὺ δέ μοι τὴν ἑτέραν. λέγω δὲ τὸ

---

1. *μόνον* Baum. | 13. *γε* cum B om. Sch. | 17. expunxi interpretamentum. | 22. *αὐτὼ* Burn.] *οὕτω* codd., *τούτων* Hartm.

μὲν καθεύδειν, τὸ δ' ἐγρηγορέναι, καὶ ἐκ τοῦ καθεύδειν τὸ D ἐγρηγορέναι γίγνεσθαι καὶ ἐκ τοῦ ἐγρηγορέναι τὸ | καθεύδειν, καὶ τὰς γενέσεις αὐτοῖν τὴν μὲν καταδαρθάνειν εἶναι, τὴν δ' ἀνεγείρεσθαι. ἱκανῶς σοι,' ἔφη, 'ἢ οὔ;' 'πάνυ μὲν οὖν.' 'λέγε δή μοι καὶ σύ,' ἔφη, 'οὕτω περὶ ζωῆς καὶ θανάτου. οὐκ ἐναντίον μὲν φῂς τῷ ζῆν τὸ τεθνάναι εἶναι;' 'ἔγωγε.' 'γίγνεσθαι δ' ἐξ ἀλλήλων;' 'ναί.' 'ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον;' 'τὸ τεθνηκός,' ἔφη. 'τί δέ,' ἦ δ' ὅς, 'ἐκ τοῦ τεθνεῶτος;' 'ἀναγκαῖον,' ἔφη, 'ὁμολογεῖν ὅτι τὸ ζῶν.' 'ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε καὶ οἱ ζῶντες E γίγνονται;' | 'φαίνεται,' ἔφη. 'εἰσὶν ἄρα,' ἔφη, 'αἱ ψυχαὶ ἡμῶν ἐν Ἅιδου.' 'ἔοικεν.' 'οὔκουν καὶ τοῖν γενεσέοιν τοῖν περὶ ταῦθ' ἥ γ' ἑτέρα σαφὴς οὖσα τυγχάνει; τὸ γὰρ ἀποθνῄσκειν σαφὲς δήπου, ἢ οὔ;' 'πάνυ μὲν οὖν,' ἔφη. 'πῶς οὖν,' ἦ δ' ὅς, 'ποιήσομεν; οὐκ ἀνταποδώσομεν τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνῄσκειν ἐναντίαν τινὰ γένεσιν;' 'πάντως που,' ἔφη. 'τίνα ταύτην;' 'τὸ ἀναβιώσκεσθαι.' 'οὔκουν,' ἦ δ' ὅς, 'εἴπερ ἔστι τὸ ἀναβιώσκεσθαι, ἐκ τῶν τεθνεώτων ἂν εἴη 72 γένεσις εἰς τοὺς | ζῶντας αὕτη[, τὸ ἀναβιώσκεσθαι];' 'πάνυ γε.' 'ὁμολογεῖται ἄρ' ἡμῖν καὶ ταύτῃ τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων γεγονέναι οὐδὲν ἧττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων· τούτου δ' ὄντος ἱκανόν που [ἐδόκει] τεκμήριον εἶναι ὅτι ἀναγκαῖον τὰς τῶν τεθνεώτον ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι.' 'δοκεῖ μοι,' ἔφη, 'ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν.'

XVII. ''Ἰδὲ τοίνυν [οὕτως],' ἔφη, 'ὦ Κέβης, ὅτι οὐδ' ἀδίκως ὡμολογήκαμεν, ὡς ἐμοὶ δοκεῖ. εἰ γὰρ μὴ ἀεὶ ἀνταB ποδιδοίη θάτερα τοῖς | ἑτέροις γιγνόμενα ὡσπερεὶ κύκλῳ περιιόντα, ἀλλ' εὐθεῖά τις εἴη ἡ γένεσις ἐκ θατέρου μόνον εἰς τὸ καταντικρὺ καὶ μὴ ἀνακάμπτοι πάλιν ἐπὶ θάτερον [μηδὲ καμπὴν ποιοῖτο], οἶσθ' ὅτι πάντα τελευτῶντα ταὐτὸ σχῆμ' ἂν σχοίη καὶ ταὐτὸ πάθος ἂν πάθοι καὶ παύσαιτο γιγνόμενα;' 'πῶς λέγεις;' ἔφη. 'οὐδὲν χαλεπόν,' ἦ δ' ὅς,

8. τεθνηκός] τεθνεώς? | 20. τὸ ἀναβιώσκεσθαι del. Hartm. | 27. οὕτως cum T delevi. | 32. expunxi emblema.

*'ἐννοῆσαι ὃ λέγω· ἀλλ' οἷον εἰ τὸ καταδαρθάνειν μὲν εἴη, τὸ
δ' ἀνεγείρεσθαι μὴ ἀνταποδιδοίη γιγνόμενον ἐκ τοῦ καθεύ-
δοντος, οἶσθ' ὅτι τελευτῶντα πάντ' ἂν λῆρον | τὸν Ἐνδυμίωνα* C
*ἀποδείξειεν [καὶ οὐδαμοῦ ἂν φαίνοιτο] διὰ τὸ καὶ τἆλλα πάντα
ταὐτὸν ἐκείνῳ πεπονθέναι[, καθεύδειν]. κἂν εἰ συγκρίνοιτο
μὲν πάντα, διακρίνοιτο δὲ μή, ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου
γεγονὸς εἴη, ὁ μ ο ῦ π ά ν τ α χ ρ ή μ α τ α. ὡσαύτως δὲ καί,
ὦ φίλε Κέβης, εἰ ἀποθνήσκοι μὲν πάντα, ὅσα τοῦ ζῆν
μεταλάβοι, ἐπειδὴ δ' ἀποθάνοι, μένοι ἐν τούτῳ τῷ σχήματι
[τὰ τεθνεῶτα] καὶ μὴ πάλιν ἀναβιώσκοιτο, ἆρ' οὐ πολλὴ
ἀνάγκη τελευτῶντα πάντα τεθνάναι καὶ μηδὲν ζῆν; εἰ γὰρ
ἐκ | μὲν τῶν ἄλλων τὰ ζῶντα γίγνοιτο, τὰ δὲ ζῶντ' ⟨ἀπο⟩-* D
*θνήσκοι, τίς μηχανὴ μὴ οὐχὶ πάντα καταναλωθῆναι [εἰς τὸ
τεθνάναι];' 'οὐδὲ μία μοι δοκεῖ,' ἔφη ὁ Κέβης, 'ὦ Σώκρατες,
ἀλλά μοι δοκεῖς παντάπασιν ἀληθῆ λέγειν.' 'ἔστιν γάρ,' ἔφη,
'ὦ Κέβης, ὡς ἐμοὶ δοκεῖ, παντὸς μᾶλλον οὕτω, καὶ ἡμεῖς
αὐτὰ ταῦτ' οὐκ ἐξαπατώμενοι ὁμολογοῦμεν, ἀλλ' ἔστι τῷ
ὄντι καὶ τὸ ἀναβιώσκεσθαι καὶ ἐκ τῶν τεθνεώτων τοὺς ζῶν-
τας γίγνεσθαι καὶ τὰς τῶν τεθνεώτων ψυχὰς εἶναι [καὶ ταῖς
μέν γε ἀγαθαῖς | ἄμεινον εἶναι, ταῖς δὲ κακαῖς κάκιον].'* E

XVIII. *'Καὶ μήν,' ἔφη ὁ Κέβης ὑπολαβών, 'καὶ κατ'
ἐκεῖνόν γε τὸν λόγον, ὦ Σώκρατες, εἰ ἀληθής ἐστιν, ὃν σὺ
εἴωθας θαμὰ λέγειν, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ
ἀνάμνησις τυγχάνει οὖσα, καὶ κατὰ τοῦτον ἀνάγκη που ἡμᾶς
ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀναμιμνῃσκόμεθα.
τοῦτο δ' ἀδύνατον, εἰ μὴ ἦν που ἡμῖν ἡ ψυχὴ πρὶν ἐν τῷδε
| τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι· ὥστε καὶ ταύτῃ ἀθάνατον* 73
*ἡ ψυχή τι ἔοικεν εἶναι.' 'ἀλλά, ὦ Κέβης,' ἔφη ὁ Σιμμίας
ὑπολαβών, 'ποῖαι τούτων αἱ ἀποδείξεις; ὑπόμνησόν με· οὐ
γὰρ σφόδρ' ἐν τῷ παρόντι μέμνημαι.' 'ἑνὶ μὲν λόγῳ,' ἔφη ὁ
Κέβης, 'καλλίστῳ, ὅτι ἐρωτώμενοι ἄνθρωποι, ἐάν τις καλῶς
ἐρωτᾷ, αὐτοὶ λέγουσιν πάνθ' ᾗ ἔχει· καίτοι εἰ μὴ ἐτύγχανεν*

---

2. *γιγνόμενον — καθεύδοντος* abesse malim. Cf. p. 88, 2. | 4. delevi emblema. | 5. *καθεύδειν* del. Dobr. | 10. *τὰ τεθνεῶτα* del. Hartm. | 12. *⟨ἀπο⟩-θνήσκοι* Hir. | 13 sq. *οὐχὶ* EbdT(?)] *που* BD, *οὐ* Sch. | *εἰς τὸ τεθνάναι* vix genuina. | 15. principio *ὁμοῦ ἦν πάντα χρήματα, εἶτα ν ο ῦ ς ἐλθὼν αὐτὰ διεκόσμησεν.* | 22. *σὺ* sc. ipse Plato, non Socrates.

αὐτοῖς ἐπιστήμη ἐνοῦσα καὶ ὀρθὸς λόγος, οὐκ ἂν οἷοί τ'
B *ἦσαν τοῦτο ποιῆσαι, ἐπεί τοι, ἐάν τις ἐπὶ τὰ διαγράμματ' | ἄγῃ ἢ ἄλλο τι τῶν τοιούτων, ἐνταῦθα σαφέστατα κατηγορεῖ, ὅτι τοῦθ' οὕτως ἔχει.' 'εἰ δὲ μὴ ταύτῃ γε,' ἔφη, 'πείθει, ὦ Σιμμία,' ὁ Σωκράτης, 'σκέψαι, ἐὰν τῇδέ πῄ σοι σκοπουμένῳ συνδόξῃ. ἀπιστεῖς γὰρ δή, πῶς ἡ καλουμένη μάθησις ἀνάμνησίς ἐστιν;' 'ἀπιστῶ μέν [σοι] ἔγωγε,' ἦ δ' ὃς [ὁ Σιμμίας], 'οὔ, αὐτὸ δὲ τοῦτο,' ἔφη, 'δέομαι παθεῖν περὶ οὗ ὁ λόγος[, ἀναμνησθῆναι]. καὶ σχεδόν γ' ἐξ ὧν Κέβης ἐπεχείρησε λέγειν ἤδη μέμνημαι καὶ πείθομαι· οὐδὲν μεντἂν*
C *ἧττον ἀκούοιμι νῦν, πῇ σὺ ἐπεχείρησας λέγειν.' | 'τῇδ' ἔγωγε,' ἦ δ' ὅς. 'ὁμολογοῦμεν γὰρ δήπου, εἴ τίς τι ἀναμνησθήσεται, δεῖν αὐτὸν τοῦτο πρότερόν ποτ' ἐπίστασθαι.' 'πάνυ γ',' ἔφη. 'ἆρ' οὖν καὶ τόδ' ὁμολογοῦμεν, ὅταν ἐπιστήμη παραγίγνηται τρόπῳ τοιούτῳ, ἀνάμνησιν εἶναι; λέγω δέ τινα τρόπον τόνδε· ἐάν τίς τι ἕτερον ἢ ἰδὼν ἢ ἀκούσας ἤ τιν' ἄλλην αἴσθησιν λαβὼν μὴ μόνον ἐκεῖνο γνῷ, ἀλλὰ καὶ ἕτερον ἐννοήσῃ, οὗ μὴ ἡ αὐτὴ ἐπιστήμη, ἀλλ' ἄλλη, ἆρ' οὐχὶ τοῦτον δικαίως*
D *λέγομεν ὅτι ἀνεμνήσθη, οὗ τὴν ἔννοιαν | ἔλαβεν;' 'πῶς λέγεις;' 'οἷον τὰ τοιάδε· ἄλλη που ἐπιστήμη ἀνθρώπου καὶ λύρας.' 'πῶς γὰρ οὔ;' 'οὐκουν οἶσθ' ὅτι οἱ ἐρασταί, ὅταν ἴδωσιν λύραν ἢ ἱμάτιον ἢ ἄλλο τι οἷς τὰ παιδίκ' αὐτῶν εἴωθε χρῆσθαι, πάσχουσι τοῦτο· ἔγνωσάν τε τὴν λύραν κἂν τῇ διανοίᾳ ἔλαβον τὸ εἶδος τοῦ παιδός, οὗ ἦν ἡ λύρα; τοῦτο δ' ἐστιν ἀνάμνησις; ὥσπερ καὶ Σιμμίαν τις ἰδὼν πολλάκις Κέβητος ἀνεμνήσθη, καὶ ἄλλα που μυρία τοιαῦτ' ἂν εἴη.' 'μυρία μέντοι νὴ Δία,' ἔφη ὁ Σιμμίας. 'οὐκουν,' ἦ δ' ὅς,*
E *'τὸ τοιοῦτον | ἀνάμνησίς τίς ἐστι; μάλιστα μέντοι, ὅταν τις τοῦτο πάθῃ περὶ ἐκεῖνα, ἃ ὑπὸ χρόνου καὶ τοῦ μὴ ἐπισκοπεῖν ἤδη ἐπελέληστο;' 'πάνυ μὲν οὖν,' ἔφη. 'τί δέ;' ἦ δ' ὅς· 'ἔστιν ἵππον γεγραμμένον ἰδόντα καὶ λύραν γεγραμμένην ἀνθρώπου*

---

2. *ποιῆσαι* Hir.] *ποιήσειν* B, *ποιεῖν* T, *τοῦτο π.* del. Hartm. | *ἐπεί τοι* Heind.] *ἔπειτα.* | *διαγράμματα*, *figurae mathematicae*. Cf. de re Men. 82 B sqq. | 7. delevi nomen. | 9. *ἀναμν.* del. Hartm. | 18. *τούτων* Heind.] *τοῦτο.* | *λέγομεν] ἐλέγομεν* B. | 22. *εἰώθει* Baum.; nihil opus. | 29. *μὴ ἐπισκοπεῖν] μηκέτι σκοπεῖν?*

ἀναμνησθῆναι, καὶ Σιμμίαν ἰδόντα γεγραμμένον Κέβητος ἀναμνησθῆναι;' 'πάνυ γε.' 'οὔκουν καὶ Σιμμίαν ἰδόντα γεγραμμένον αὐτοῦ Σιμμίου ἀναμνησθῆναι;' 'ἔστι | μέντοι,' ἔφη. 74

XIX. 'Ἆρ' οὖν οὐ κατὰ πάντα ταῦτα συμβαίνει τὴν ἀνάμνησιν εἶναι μὲν ἀφ' ὁμοίων, εἶναι δὲ καὶ ἀπ' ἀνομοίων;' 'συμβαίνει.' 'ἀλλ' ὅταν γ' ἀπὸ τῶν ὁμοίων ἀναμιμνήσκηταί τίς τι, ἆρ' οὐκ ἀναγκαῖον τόδε προσπάσχειν, ἐννοεῖν, εἴτε τι ἐλλείπει τοῦτο κατὰ τὴν ὁμοιότητα εἴτε μὴ ἐκείνου οὗ ἀνεμνήσθη;' 'ἀνάγκη,' ἔφη. 'σκόπει δή,' ἦ δ' ὅς, 'εἰ ταῦθ' οὕτως ἔχει. φαμέν πού τι εἶναι ἴσον, οὐ ξύλον λέγω ξύλῳ οὐδὲ λίθον λίθῳ οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ παρὰ ταῦτα πάνθ' ἕτερόν τι, αὐτὸ τὸ ἴσον, φῶμέν τι εἶναι ἢ μηδέν;' 'φῶμεν μέντοι νὴ Δί',' ἔφη ὁ Σιμμίας, 'θαυμαστῶς B γε.' 'ἦ καὶ ἐπιστάμεθ' αὔθ' ὃ ἔστιν;' 'πάνυ γε,' ἦ δ' ὅς. 'πόθεν λαβόντες αὐτοῦ τὴν ἐπιστήμην; ἆρ' οὐκ ἐξ ὧν νυνδὴ ἐλέγομεν, ἢ ξύλ' ἢ λίθους ἢ ἄλλ' ἄττ' ἰδόντες ἴσα, ἐκ τούτων ἐκεῖν' ἐνενοήσαμεν, ἕτερον ὂν τούτων; ἢ οὐχ ἕτερόν σοι φαίνεται; σκόπει δὲ καὶ τῇδε. ἆρ' οὐ λίθοι μὲν ἴσοι καὶ ξύλ' ἐνίοτε ταὐτ' ὄντα τῷ μὲν ἴσα φαίνεται, τῷ δ' οὔ;' 'πάνυ μὲν οὖν.' 'τί δέ; αὐτὰ τὰ ἴσα ἔστιν ὅτ' ἄνισά σοι ἐφάνη, ἢ ἡ | ἰσότης ἀνισότης;' 'οὐδεπώποτέ γε, ὦ Σώκρατες.' C 'οὐ ταὐτὸν ἆρ' ἐστίν,' ἦ δ' ὅς, 'ταῦτά τε τὰ ἴσα καὶ αὐτὸ τὸ ἴσον.' 'οὐδαμῶς μοι φαίνεται, ὦ Σώκρατες.' 'ἀλλὰ μὴν ἐκ τούτων γ',' ἔφη, 'τῶν ἴσων, ἑτέρων ὄντων ἐκείνου τοῦ ἴσου, ὅμως αὐτοῦ τὴν ἐπιστήμην ἐννενόηκάς τε καὶ εἴληφας;' 'ἀληθέστατα,' ἔφη, 'λέγεις.' ['οὔκουν ἢ ὁμοίου ὄντος τούτοις ἢ ἀνομοίου;' 'πάνυ γε.' 'διαφέρει δέ γε,' ἦ δ' ὅς, 'οὐδέν, ὡς, ἐὰν ἄλλ' ἰδὼν ἀπὸ ταύτης τῆς ὄψεως ἄλλ' ἐννοήσῃς, εἴθ' ὅμοιον εἴτ' | ἀνόμοιον, ἀναγκαῖον,' ἔφη, 'αὐτ' ἀνάμνησιν D γεγονέναι.' 'πάνυ μὲν οὖν.'] 'τί δέ;' ἦ δ' ὅς· 'ἦ πασχομέν τι τοιοῦτον περὶ τὰ ἐν τοῖς ξύλοις τε καὶ οἷς νυνδὴ ἐλέγομεν τοῖς ἴσοις; ἆρα φαίνεται ἡμῖν οὕτως ἴσ' εἶναι ὥσπερ αὔθ' ὃ ἔστιν ἴσον, ἢ ἐνδεῖ τι ἐκείνοις[τῷ τοιοῦτον εἶναι οἷον τὸ ἴσον] ἢ οὐδέν;' 'καὶ πολύ γε,' ἔφη, 'ἐνδεῖ.' 'οὔκουν ὁμολογοῦμεν,

---

26 sqq. seclusa del. Susemihl al. Cf. Archer—Hint. | 27. codd. οὐδὲν· ἕως ἄν. Corr. Heind. | 33. ἐκείνοις Liebhold] ἐκείνῳ. | τῷ — ἴσον del. Burn.

ὅταν τίς τι ἰδὼν ἐννοήσῃ, ὅτι βούλεται μὲν τοῦτο, ὃ νῦν
ἐγὼ ὁρῶ, εἶναι οἷον ἄλλο τι τῶν ὄντων, ἐνδεῖ δὲ καὶ οὐ
E δύναται τοιοῦτον | εἶναι [ἴσον] οἷον ἐκεῖνο, ἀλλ' ἔστιν φαυ-
λότερον, ἀναγκαῖόν που τὸν τοῦτ' ἐννοοῦντα τυχεῖν προειδότα
ἐκεῖν' ᾧ φησιν αὐτὸ προσεικέναι μέν, ἐνδεεστέρως δ' ἔχειν;'
'ἀνάγκη.' 'τί οὖν; τοιοῦτον πεπόνθαμεν καὶ ἡμεῖς, ἢ οὔ,
περί τε τὰ ἴσα καὶ αὐτὸ τὸ ἴσον;' 'παντάπασί γε.' 'ἀναγκαῖον
ἄρ' ἡμᾶς προειδέναι τὸ ἴσον πρὸ ἐκείνου τοῦ χρόνου, ὅτε |
75 τὸ πρῶτον ἰδόντες τὰ ἴσα ἐνενοήσαμεν, ὅτι ὀρέγεται μὲν πάντα
ταῦτ' εἶναι οἷον τὸ ἴσον, ἔχει δ' ἐνδεεστέρως.' 'ἔστι ταῦτα.'
'ἀλλὰ μὴν καὶ τόδ' ὁμολογοῦμεν, μὴ ἄλλοθεν αὐτὸ ἐννενοη-
κέναι μηδὲ δυνατὸν εἶναι ἐννοῆσαι, ἀλλ' ἢ ἐκ τοῦ ἰδεῖν ἢ
ἅψασθαι ἢ ἔκ τινος ἄλλης τῶν αἰσθήσεων· ταὐτὸν δὲ πάντα
ταῦτα λέγω.' 'ταὐτὸν γάρ ἐστιν, ὦ Σώκρατες, πρός γ' ὃ
βούλεται δηλῶσαι ὁ λόγος.' 'ἀλλὰ μὲν δὴ ἔκ γε τῶν αἰσθή-
σεων δεῖ ἐννοῆσαι, ὅτι πάντα τἀν ταῖς αἰσθήσεσιν ⟨ἴσα⟩ ἐκείνου
B τ' | ὀρέγεται τοῦ ὃ ἔστιν ἴσον, καὶ αὐτοῦ ἐνδεέστερ' ἐστίν·
ἢ πῶς λέγομεν;' 'οὕτως.' 'πρὸ τοῦ ἄρ' ἄρξασθαι ἡμᾶς ὁρᾶν
καὶ ἀκούειν καὶ τἆλλ' αἰσθάνεσθαι τυχεῖν ἔδει που εἰληφότας
ἐπιστήμην αὐτοῦ τοῦ ἴσου, ὅ τι ἔστιν, εἰ ἐμέλλομεν τὰ ἐκ
τῶν αἰσθήσεων ἴσα ἐκεῖσ' ἀνοίσειν, ὅτι προθυμεῖται μὲν πάντα
τοιαῦτ' εἶναι οἷον ἐκεῖνο, ἔστιν δ' αὐτοῦ φαυλότερα.' 'ἀνάγκη
ἐκ τῶν προειρημένων, ὦ Σώκρατες.' 'οὐκοῦν γενόμενοι εὐθὺς
ἑωρῶμέν τε καὶ ἠκούομεν καὶ τὰς ἄλλας αἰσθήσεις εἴχομεν;'
C 'πάνυ γε.' | 'ἔδει δέ γε, φαμέν, πρὸ τούτων τὴν τοῦ ἴσου
ἐπιστήμην εἰληφέναι;' 'ναί.' 'πρὶν γενέσθαι ἄρα, ὡς ἔοικεν,
ἀνάγκη ἡμῖν αὐτὴν εἰληφέναι.' 'ἔοικεν.'

XX. 'Οὐκοῦν εἰ μὲν λαβόντες αὐτὴν πρὸ τοῦ γενέσθαι
ἔχοντες ἐγενόμεθα, ἠπιστάμεθα καὶ πρὶν γενέσθαι καὶ εὐθὺς
γενόμενοι οὐ μόνον τὸ ἴσον καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον
ἀλλὰ καὶ ξύμπαντα τὰ τοιαῦτα; οὐ γὰρ περὶ τοῦ ἴσου νῦν ὁ
λόγος ἡμῖν μᾶλλόν τι ἢ καὶ περὶ αὐτοῦ τοῦ καλοῦ καὶ αὐτοῦ
τοῦ ἀγαθοῦ καὶ δικαίου καὶ ὁσίου καί, ὅπερ λέγω, περὶ |
D ἁπάντων, οἷς ἐπισφραγιζόμεθα τὸ αὐτὸ ὃ ἔστι, καὶ ἐν ταῖς

---

5. *προσεικέναι* Cob.] *προσεοικέναι*. | 16. *ἴσα* add. Madvig. | 34. *τὸ αὐτὸ* Burn.] *τοῦτο*.

*ἐρωτήσεσιν ἐρωτῶντες καὶ ἐν ταῖς ἀποκρίσεσιν ἀποκρινόμενοι.
ὥστ' ἀναγκαῖον ἡμῖν τούτων πάντων τὰς ἐπιστήμας πρὸ τοῦ
γενέσθαι εἰληφέναι.' 'ἔστι ταῦτα.' 'καὶ εἰ μέν γε λαβόντες
ἑκάστοτε μὴ ἐπιλελήσμεθα, εἰδότας ἀεὶ γίγνεσθαι καὶ διὰ
βίου εἰδέναι· τὸ γὰρ εἰδέναι τοῦτ' ἔστιν, λαβόντα του ἐπιστή-
μην ἔχειν καὶ μὴ ἀπολωλεκέναι· ἢ οὐ τοῦτο λήθην λέγομεν,
ὦ Σιμμία, ἐπιστήμης ἀποβολήν;' 'πάντως δήπου,' | ἔφη,* E
*'ὦ Σώκρατες.' 'εἰ δέ γε, οἶμαι, λαβόντες πρὶν γενέσθαι
γιγνόμενοι ἀπωλέσαμεν, ὕστερον δὲ ταῖς αἰσθήσεσι χρώμενοι
περὶ αὔτ' ἐκείνας ἀναλαμβάνομεν τὰς ἐπιστήμας, ἅς ποτε
καὶ πρὶν ⟨γενέσθαι⟩ εἴχομεν, ἆρ' οὐχ ὃ καλοῦμεν μανθάνειν
οἰκείαν ἐπιστήμην ἀναλαμβάνειν ἂν εἴη; τοῦτο δέ που ἀναμι-
μνήσκεσθαι λέγοντες ὀρθῶς ἂν λέγοιμεν;' 'πάνυ γε.' 'δυνατὸν
γὰρ δὴ τοῦτό γ' ἐφάνη, | αἰσθόμενόν τι ἢ ἰδόντ' ἢ ἀκούσαντ'* 76
*ἤ τιν' ἄλλην αἴσθησιν λαβόνθ' ἕτερόν τι ἀπὸ τούτου ἐννοῆσαι,
ὃ ἐπελέληστο, ᾧ τοῦτ' ἐπλησίαζεν ἀνόμοιον ὂν ἢ [ᾧ] ὅμοιον·
ὥστε, ὅπερ λέγω, δυοῖν θάτερον, ἤτοι ἐπιστάμενοί γ' αὐτὰ
γεγόναμεν καὶ ἐπιστάμεθα διὰ βίου πάντες, ἢ ὕστερον, οὕς
φαμεν μανθάνειν, οὐδὲν ἀλλ' ἢ ἀναμιμνήσκονται οὗτοι, καὶ
ἡ μάθησις ἀνάμνησις ἂν εἴη.' 'καὶ μάλα δὴ οὕτως ἔχει, ὦ
Σώκρατες.'*

XXI. *'Πότερον οὖν αἱρεῖ, ὦ Σιμμία, ἐπισταμένους ἡμᾶς
γεγονέναι, ἢ ἀναμιμνήσκεσθαι | ὕστερον ὧν πρότερον ἐπιστή-* B
*μην εἰληφότες ἦμεν;' 'οὐκ ἔχω, ὦ Σώκρατες, ἐν τῷ παρόντι
ἑλέσθαι.' 'τί δέ; τόδε ἔχεις ἑλέσθαι, καὶ πῇ σοι δοκεῖ περὶ
αὐτοῦ; ἀνὴρ ἐπιστάμενος περὶ ὧν ἐπίσταται ἔχοι ἂν δοῦναι
λόγον ἢ οὔ;' 'πολλὴ ἀνάγκη,' ἔφη, 'ὦ Σώκρατες.' 'ἦ καὶ
δοκοῦσί σοι πάντες ἔχειν διδόναι λόγον περὶ τούτων ὧν
νυνδὴ ἐλέγομεν;' 'βουλοίμην μεντἄν,' ἔφη ὁ Σιμμίας· 'ἀλλὰ
πολὺ μᾶλλον φοβοῦμαι, μὴ αὔριον τηνικάδ' οὐκέτι ᾖ ἀνθρώ-
πων οὐδεὶς ἀξίως οἷός τε τοῦτο ποιῆσαι.' 'οὐκ | ἄρα δοκοῦσί* C
*σοι ἐπίστασθαί γε,' ἔφη, 'ὦ Σιμμία, πάντες αὐτά;' 'οὐδαμῶς.'
'ἀναμιμνήσκονται ἄρ' ἅ ποτ' ἔμαθον;' 'ἀνάγκη.' 'πότε λαβοῦ-
σαι αἱ ψυχαὶ ἡμῶν τὴν ἐπιστήμην αὐτῶν; οὐ γὰρ δὴ ἀφ'*

---

11. *γενέσθαι* add. Hir. | 17. *θάτερον* (*ον* in ras.) T, recepi.] *τὰ ἕτερα*.

οὗ γε [ἄνθρωποι] γεγόναμεν.' 'οὐ δῆτα.' 'πρότερον ἄρα.' 'ναί.' 'ἦσαν ἄρα, ὦ Σιμμία, αἱ ψυχαὶ καὶ πρότερον, πρὶν εἶναι ἐν ἀνθρώπου εἴδει, χωρὶς σωμάτων, καὶ φρόνησιν εἶχον.' 'εἰ μὴ ἄρ' ἅμα γιγνόμενοι λαμβάνομεν, ὦ Σώκρατες, ταύτας τὰς ἐπιστήμας· οὗτος γὰρ λείπεται ἔτι ὁ χρόνος.' | D 'εἶεν, ὦ ἑταῖρε· ἀπόλλυμεν δ' αὐτὰς ἐν ποίῳ ἄλλῳ χρόνῳ; οὐ γὰρ δὴ ἔχοντές γ' αὐτὰς γιγνόμεθα, ὡς ἄρτι ὡμολογήσαμεν· ἢ ἐν ταὐτῷ ἀπόλλυμεν, ἐν ᾧπερ καὶ λαμβάνομεν; ἢ ἔχεις ἄλλον τιν' εἰπεῖν χρόνον;' 'οὐδαμῶς, ὦ Σώκρατες, ἀλλ' ἔλαθον ἐμαυτὸν οὐδὲν εἰπών.'

XXII. *'Ἆρ' οὖν οὕτως ἔχει,' ἔφη, 'ἡμῖν, ὦ Σιμμία; εἰ μὲν ἔστιν ἃ θρυλοῦμεν ἀεί, καλόν τέ τι καὶ ἀγαθὸν καὶ πᾶσα ἡ τοιαύτη οὐσία, καὶ ἐπὶ ταύτην τὰκ τῶν αἰσθήσεων* E *πάντ' ἀναφέρομεν, ὑπάρχουσαν | πρότερον ἀνευρίσκοντες ἡμετέραν οὖσαν, καὶ ταῦτ' ἐκείνῃ ἀπεικάζομεν, ἀναγκαῖον, οὕτως ὥσπερ καὶ ταῦτ' ἔστιν, οὕτως καὶ τὴν ἡμετέραν ψυχὴν εἶναι καὶ πρὶν γεγονέναι ἡμᾶς· εἰ δὲ μὴ ἔστι ταῦτα, ἄλλως ἂν ὁ λόγος οὗτος εἰρημένος εἴη; ἆρ' οὕτως ἔχει, καὶ ἴση ἀνάγκη ταῦτά τ' εἶναι καὶ τὰς ἡμετέρας ψυχὰς πρὶν καὶ ἡμᾶς γεγονέναι, καὶ εἰ μὴ ταῦτα, οὐδὲ τάδε;' 'ὑπερφυῶς, ὦ Σώκρατες,' ἔφη ὁ Σιμμίας, '⟨ὡς⟩ δοκεῖ μοι ἡ αὐτὴ ἀνάγκη εἶναι, καὶ εἰς καλόν γε καταφεύγει ὁ λόγος [εἰς τὸ* 77 *ὁμοίως εἶναι τήν τε | ψυχὴν ἡμῶν πρὶν γενέσθαι ἡμᾶς καὶ τὴν οὐσίαν, ἣν σὺ νῦν λέγεις]. οὐ γὰρ ἔχω ἔγωγ' οὐδὲν οὕτω μοι ἐναργὲς ὂν ὡς τοῦτο, τὸ πάντα τὰ τοιαῦτ' εἶναι ὡς οἷόν τε μάλιστα, καλόν τε καὶ ἀγαθὸν καὶ τἆλλα πάντα, ἃ σὺ νυνδὴ ἔλεγες· καὶ ἐμοὶ δοκεῖ ἱκανῶς ἀποδέδεικται.' 'τί δὲ δὴ Κέβητι;' ἔφη ὁ Σωκράτης· 'δεῖ γὰρ καὶ Κέβητα πείθειν.' 'ἱκανῶς,' ἔφη ὁ Σιμμίας, 'ὡς ἔγωγ' οἶμαι· καίτοι καρτερώτατος ἀνθρώπων ἐστὶν πρὸς τὸ ἀπιστεῖν τοῖς λόγοις· ἀλλ' οἶμαι οὐκ ἐνδεῶς τοῦτο πεπεῖσθαι αὐτόν, ὅτι πρὶν |* B *γενέσθαι ἡμᾶς ἦν ἡμῶν ἡ ψυχή.*

XXIII. *Εἰ μέντοι, καὶ ἐπειδὰν ἀποθάνωμεν, ἔτι ἔσται,*

---

1. expunxi *ἄνθρωποι.* | 4. *ἅμα* cum B om. Sch. | 8. *ταὐτῷ* vH] *τούτῳ.* | 21. addidi *ὡς* more Platonico. | 22—24. emblema del. Hartm. | 27. *δοκεῖ] δοκεῖν?*

οὐδ' αὐτῷ μοι δοκεῖ,' ἔφη, 'ὦ Σώκρατες, ἀποδεδεῖχθαι,
ἀλλ' ἔτι ἐνέστηκεν, ὃ νυνδὴ Κέβης ἔλεγε, τὸ τῶν πολλῶν,
ὅπως μὴ ἅμ' ἀποθνήσκοντος τοῦ ἀνθρώπου διασκεδαννῦται
ἡ ψυχὴ καὶ αὐτῇ τοῦ εἶναι τοῦτο τέλος ᾖ. τί γὰρ κωλύει
γίγνεσθαι μὲν αὐτὴν καὶ ξυνίστασθαι ἁμόθεν ποθὲν καὶ εἶναι
πρὶν καὶ εἰς ἀνθρώπειον σῶμα ἀφικέσθαι, ἐπειδὰν δ' ἀφί-
κηται καὶ ἀπαλλάττηται τούτου, τότε καὶ αὐτὴν τελευτᾶν καὶ
διαφθείρεσθαι;' 'εὖ λέγεις,' | ἔφη, 'ὦ Σιμμία,' ὁ Κέβης. C
'φαίνεται γὰρ ὥσπερ ἥμισυ ἀποδεδεῖχθαι οὗ δεῖ, ὅτι πρὶν
γενέσθαι ἡμᾶς ἦν ἡμῶν ἡ ψυχή· δεῖ δὲ προσαποδεῖξαι, ὅτι,
καὶ ἐπειδὰν ἀποθάνωμεν, οὐδὲν ἧττον ἔσται ἢ πρὶν γενέσθαι,
εἰ μέλλει τέλος ἡ ἀπόδειξις ἕξειν.' 'ἀποδέδεικται μέν,' ἔφη,
'ὦ Σιμμία τε καὶ Κέβης,' ὁ Σωκράτης, 'καὶ νῦν, εἰ 'θέλετε
συνθεῖναι τοῦτόν τε τὸν λόγον εἰς ταὐτὸν καὶ ὃν πρὸ τούτου
ὡμολογήσαμεν, τὸ γίγνεσθαι πᾶν τὸ ζῶν ἐκ τοῦ τεθνεῶτος.
εἰ γὰρ ἔστι μὲν ἡ ψυχὴ καὶ πρότερον, ἀνάγκη δ' | αὐτῇ εἰς D
τὸ ζῆν ἰούσῃ τε καὶ γιγνομένῃ μηδαμόθεν ἄλλοθεν ἢ ἐκ
θανάτου καὶ τοῦ τεθνάναι γίγνεσθαι, πῶς οὐκ ἀνάγκη αὐτήν,
καὶ ἐπειδὰν ἀποθάνῃ, εἶναι, ἐπειδή γε δεῖ αὖθις αὐτὴν
γίγνεσθαι; ἀποδέδεικται μὲν οὖν ὅπερ λέγετε καὶ νῦν.

XXIV. Ὅμως δέ μοι δοκεῖς σύ τε καὶ Σιμμίας ἡδέως
ἂν καὶ τοῦτον διαπραγματεύσασθαι τὸν λόγον ἔτι μᾶλλον
καὶ δεδιέναι τὸ τῶν παίδων, μὴ ὡς ἀληθῶς ὁ ἄνεμος αὐτὴν
ἐκβαίνουσαν ἐκ τοῦ σώματος διαφυσᾷ καὶ διασκεδαννύῃ,
ἄλλως τε | καὶ ὅταν τύχῃ τις μὴ ἐν νηνεμίᾳ, ἀλλ' ἐν μεγάλῳ E
τινὶ πνεύματι ἀποθνήσκων.' καὶ ὁ Κέβης ἐπιγελάσας· 'ὡς
δεδιότων,' ἔφη, 'ὦ Σώκρατες, πειρῶ ἀναπείθειν· μᾶλλον δὲ
μὴ ὡς ἡμῶν δεδιότων, ἀλλ' ἴσως ἔνι τις καὶ ἐν ἡμῖν παῖς,
ὅστις τὰ τοιαῦτα φοβεῖται· τοῦτον οὖν πειρώμεθα πείθειν
μὴ δεδιέναι τὸν θάνατον ὥσπερ τὰ μορμολύκεια.' 'ἀλλὰ χρή,'
ἔφη ὁ Σωκράτης, 'ἐπᾴδειν αὐτῷ ἑκάστης ἡμέρας, ἕως ἂν
ἐξεπᾴσητε.' 'πόθεν οὖν,' ἔφη, 'ὦ Σώκρατες, | τῶν τοιούτων 78
ἀγαθὸν ἐπῳδὸν ληψόμεθα, ἐπειδὴ σύ,' ἔφη, 'ἡμᾶς ἀπολείπεις;'

---

3. ἀποσκεδαννῦται = -νύηται Matthiae] ἀποσκεδάννυται. | 12. ἕξειν] ἔχειν B. | 13. 'θέλετε dedi pro θέλετε. | 24. διασκεδαννύῃ Hir.] -νυσιν.

'πολλὴ μὲν ἡ Ἑλλάς,' ἔφη, 'ὦ Κέβης, ἐν ᾗ ἔνεισί που ἀγαθοὶ
ἄνδρες, πολλὰ δὲ καὶ τὰ τῶν βαρβάρων γένη, οὓς πάντας
χρὴ διερευνᾶσθαι ζητοῦντας τοιοῦτον ἐπῳδόν, μήτε χρημάτων
φειδομένους μήτε πόνων, ὡς οὐκ ἔστιν εἰς ὅ τι ἂν ἀναγκαιό-
τερον ἀναλίσκοιτε [χρήματα]. ζητεῖν δὲ χρὴ καὶ αὐτοὺς μετ'
ἀλλήλων· ἴσως γὰρ ἂν οὐδὲ ῥᾳδίως εὕροιτε μᾶλλον ὑμῶν
δυναμένους τοῦτο ποιεῖν.' 'ἀλλὰ ταῦτα μὲν δή,' ἔφη, 'ὑπάρξει,'
B *ὁ Κέβης· 'ὅθεν δ' ἀπελίπομεν, | ἐπανέλθωμεν, εἴ σοι ἡδομένῳ*
ἐστίν.' 'ἀλλὰ μὴν ἡδομένῳ γε· πῶς γὰρ οὐ μέλλει;' 'καλῶς,'
ἔφη, 'λέγεις.'

XXV. *'Οὐκοῦν τοιόνδε τι,' ἦ δ' ὅς [ὁ Σωκράτης], 'δεῖ*
ἡμᾶς ἀνερέσθαι ἑαυτούς, τῷ ποίῳ τινὶ ἄρα προσήκει τοῦτο
τὸ πάθος πάσχειν, τὸ διασκεδάννυσθαι, καὶ ὑπὲρ τοῦ ποίου
τινὸς δεδιέναι μὴ πάθῃ αὐτό, καὶ τῷ ποίῳ τινὶ ⟨οὔ⟩· καὶ
μετὰ τοῦτ' αὖ ἐπισκέψασθαι, πότερον ἡ ψυχή ἐστιν, καὶ
ἐκ τούτων θαρρεῖν ἢ δεδιέναι ὑπὲρ τῆς ἡμετέρας ψυχῆς;'
'ἀληθῆ,' ἔφη, 'λέγεις.' 'ἆρ' οὖν τῷ μὲν συντεθέντι τε καὶ |
C *συνθέτῳ ὄντι φύσει προσήκει τοῦτο πάσχειν, διαιρεθῆναι*
ταύτῃ ᾗπερ συνετέθη· εἰ δέ τι τυγχάνει ὂν ἀξύνθετον, τούτῳ
μόνῳ προσήκει μὴ πάσχειν ταῦτα, εἴπερ τῳ ἄλλῳ;' 'δοκεῖ
μοι,' ἔφη, 'οὕτως ἔχειν,' ὁ Κέβης. 'οὐκοῦν ἅπερ ἀεὶ κατὰ
ταὐτὰ [καὶ] ὡσαύτως ἔχει, ταῦτα μάλιστ' εἰκὸς εἶναι τἀξύν-
θετα, ἃ δ' ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ταὐτά, ταῦτα
δὲ τὰ σύνθετα;' 'ἔμοιγε δοκεῖ οὕτως.' 'ἴωμεν δή,' ἔφη, 'ἐπὶ
ταὔτ', ἐφ' ἅπερ ἐν τῷ ἔμπροσθεν λόγῳ. αὐτὴ ἡ οὐσία ἧς
D *λόγον | δίδομεν τοῦ εἶναι καὶ ἐρωτῶντες καὶ ἀποκρινόμενοι,*
πότερον ὡσαύτως ἀεὶ ἔχει κατὰ ταὔτ' ἢ ἄλλοτ' ἄλλως; αὐτὸ
τὸ ἴσον, αὐτὸ τὸ καλόν, αὐτὸ ἕκαστον, ὃ ἔστιν, [τὸ ὄν,] μή
ποτε μεταβολὴν καὶ ἡντινοῦν ἐνδέχεται; ἢ ἀεὶ αὐτῶν ἕκαστον,
ὃ ἔστι, μονοειδὲς ὂν αὐτὸ καθ' αὐτό, ὡσαύτως κατὰ ταὔτ'
ἔχει καὶ οὐδέποτε οὐδαμῇ οὐδαμῶς ἀλλοίωσιν οὐδεμίαν ἐνδέ-
χεται;' 'ὡσαύτως,' ἔφη, 'ἀνάγκη,' ὁ Κέβης, 'κατὰ ταὔτ'

---

4. *ἀναγκαιότερον*, *magis urgente necessitate*, *εὐκαιρότερον* v. l. coniectura esse videtur. | 5. *χρήματα* del. Hartm. | 11. expunxi nomen. | 12. *ἀνερέσθαι] ἐρέσθαι* B. | 22. seclusi *καὶ* LRh. p. 39. | 24. *τὰ* addidi ec *bd.* | 26. *τοῦ εἶναι] τὸ εἶναι* Madv. (Sch.). Fort. glossema = *τῆς οὐσίας*. | 28. delevi *τὸ ὄν*.

ἔχειν, ὦ Σώκρατες.' 'τί δὲ τῶν πολλῶν καλῶν, οἷον ἀν-
θρώπων ἢ ἵππων ἢ | ἱματίων ἢ ἄλλων ὡντινωνοῦν τοιούτων E
ἢ ἴσων [ἢ καλῶν] ἢ πάντων τῶν ἐκείνοις ὁμωνύμων; ἆρα
κατὰ ταὔτ' ἔχει, ἢ πᾶν τοὐναντίον ἐκείνοις οὔτ' αὐθ' αὑτοῖς
οὔτ' ἀλλήλοις οὐδέποτε, ὡς ἔπος εἰπεῖν, οὐδαμῶς κατὰ ταὐτά;'
'οὕτως αὖ,' ἔφη ὁ Κέβης [· 'οὐδέποτε ὡσαύτως ἔχει']. 'οὐκουν
| τούτων μὲν κἂν ἅψαιο κἂν ἴδοις κἂν ταῖς ἄλλαις αἰσθήσεσιν 79
αἴσθοιο, τῶν δὲ κατὰ ταὔτ' ἐχόντων οὐκ ἔστιν ὅτῳ ποτ' ἂν
ἄλλῳ ἐπιλάβοιο ἢ τῷ τῆς διανοίας λογισμῷ, ἀλλ' ἔστιν ἀιδῆ
τὰ τοιαῦτα καὶ οὐχ ὁρατά;' 'παντάπασιν,' ἔφη, 'ἀληθῆ λέγεις.'

XXVI. *'Θῶμεν οὖν βούλει,' ἔφη, 'δύ' εἴδη τῶν ὄντων,*
τὸ μὲν ὁρατόν, τὸ δ' ἀιδές;' 'θῶμεν, ἔφη. 'καὶ τὸ μὲν ἀιδὲς
ἀεὶ κατὰ ταὔτ' ἔχον, τὸ δ' ὁρατὸν μηδέποτε κατὰ ταὐτά;'
'καὶ τοῦτο,' ἔφη, 'θῶμεν.' 'φέρε δή,' ἦ δ' ὅς, 'ἄλλο τι
ἡμῶν αὐτῶν | τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή;' 'οὐδὲν ἄλλο,' B
ἔφη. 'ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι καὶ
συγγενέστερον τὸ σῶμα;' 'παντί,' ἔφη, 'τοῦτό γε δῆλον, ὅτι
τῷ ὁρατῷ.' 'τί δ' ἡ ψυχή; ὁρατὸν [ἢ ἀιδές;]' 'οὐχ ὑπ'
ἀνθρώπων γε, ὦ Σώκρατες,' ἔφη. 'ἀλλὰ μὴν ἡμεῖς γε τὰ
ὁρατὰ καὶ τὰ μὴ τῇ τῶν ἀνθρώπων φύσει λέγομεν· ἢ ἄλλῃ
τινὶ οἴει;' 'τῇ τῶν ἀνθρώπων.' 'τί οὖν περὶ ψυχῆς λέγομεν;
ὁρατὸν ἢ ἀόρατον εἶναι;' 'οὐχ ὁρατόν.' 'ἀιδὲς ἄρα;' 'ναί.'
'ὁμοιότερον ἄρα ψυχὴ σώματός ἐστιν τῷ ἀιδεῖ, τὸ δὲ τῷ
ὁρατῷ.' 'πᾶσ' ἀνάγκη, ὦ | Σώκρατες.' C

XXVII. *'Οὐκουν καὶ τόδε πάλαι λέγομεν, ὅτι ἡ ψυχή,*
ὅταν μὲν τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι ἢ διὰ
τοῦ ὁρᾶν ἢ διὰ τοῦ ἀκούειν ἢ δι' ἄλλης τινὸς αἰσθήσεως
[— τοῦτο γάρ ἐστιν τὸ διὰ τοῦ σώματος, τὸ δι' αἰσθήσεων
σκοπεῖν τι —], τότε μὲν ἕλκεται ὑπὸ τοῦ σώματος εἰς τὰ
οὐδέποτε κατὰ ταὔτ' ἔχοντα, καὶ αὐτὴ πλανᾶται καὶ ταράτ-
τεται καὶ εἰλιγγιᾷ ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη;'
'πάνυ γε.' 'ὅταν δέ γ' αὐτὴ καθ' | αὑτὴν σκοπῇ, ἐκεῖσ' οἴχεται

---

3. *ἢ καλῶν* del. Classen, *ἢ ἴσων — ὁμωνύμων* Hir. | 6. expunxi emblema. | 9. *ἀϊδῆ* cum Tpr. Ars. et Burn. ubique dedi pro *ἀειδῆ*. | 10. *καὶ — ὁρατά* vix genuina; dubito num satis tueantur scripta vs. 23. | 18. *ἢ ἀιδές;* del. Hartm. | 19. *μὴν* cum B om. Sch. | 28 sq. *τοῦτο — τι* delevi.

εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡσαύτως ἔχον, καὶ ὡς συγγενὴς οὖσ' αὐτοῦ ἀεὶ μετ' ἐκείνου τε γίγνεται, ὅτανπερ αὐτὴ καθ' αὑτὴν γένηται καὶ ἐξῇ αὐτῇ, καὶ πέπαυταί τε τοῦ πλάνου καὶ ὥσπερ ἐκεῖν' ἀεὶ κατὰ ταὔθ' ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη· καὶ τοῦτ' αὐτῆς τὸ πάθημα φρόνησις κέκληται;' 'παντάπασιν,' ἔφη, 'καλῶς καὶ ἀληθῆ λέγεις, ὦ Σώκρατες.' 'ποτέρῳ οὖν αὖ σοι δοκεῖ τῷ εἴδει καὶ
E ἐκ τῶν ἔμπροσθεν καὶ ἐκ τῶν νῦν | λεγομένων ψυχὴ ὁμοιότερον εἶναι καὶ συγγενέστερον;' 'πᾶς ἄν μοι δοκεῖ,' ἦ δ' ὅς, 'συγχωρῆσαι, ὦ Σώκρατες, ἐκ ταύτης τῆς μεθόδου, καὶ ὁ δυσμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερον ἐστι ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον ἢ τῷ μή.' 'τί δὲ τὸ σῶμα;' 'τῷ ἑτέρῳ.'

XXVIII. '"Ορα δὴ καὶ τῇδε, ὅτι, ἐπειδὰν ἐν ταὐτῷ ὦσι
80 ψυχὴ καὶ σῶμα, τῷ | μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δ' ἄρχειν καὶ δεσπόζειν· καὶ κατὰ ταῦτ' αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι καὶ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν ἄρχεσθαί τε καὶ δουλεύειν;' 'ἔμοιγε.' 'ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικεν;' 'δῆλα δή, ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ.' 'σκόπει δή,' ἔφη, 'ὦ Κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων
B τάδ' ἡμῖν συμβαίνει, τῷ μὲν θείῳ καὶ | ἀθανάτῳ καὶ νοητῷ καὶ μονοειδεῖ καὶ ἀδιαλύτῳ καὶ ἀεὶ ὡσαύτως κατὰ ταὐτ' ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι ψυχήν, τῷ δ' ἀνθρωπίνῳ καὶ θνητῷ καὶ πολυειδεῖ καὶ ἀνοήτῳ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ ταὐτ' ἔχοντι ἑαυτῷ ὁμοιότατον αὖ εἶναι σῶμα. ἔχομέν τι παρὰ ταῦτ' ἄλλο λέγειν, ὦ φίλε Κέβης, ᾗ οὐχ οὕτως ἔχει;' 'οὐκ ἔχομεν.'

XXIX. 'Τί οὖν; τούτων οὕτως ἐχόντων ἆρ' οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι προσήκει, ψυχῇ δ' αὖ τὸ παράπαν
C ἀδιαλύτῳ εἶναι ἢ ἐγγύς τι τούτου;' 'πῶς | γὰρ οὔ;' 'ἐννοεῖς οὖν,' ἔφη, 'ὅτι, ἐπειδὰν ἀποθάνῃ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ [, τὸ σῶμα,] καὶ ἐν ὁρατῷ κείμενον, ὃ δὴ νεκρὸν

---

3. γένηται καὶ] an γενέσθαι? | 4. ὥσπερ Ast] περὶ. | 25. ψυχὴν E] ψυχή ceteri et Sch. Cf. Wohlr. ed. Teubn. Comm. crit. p. XV. | 34. expunxi τὸ σῶμα.

καλοῦμεν, ᾧ προσήκει διαλύεσθαι καὶ διαπίπτειν [καὶ διαπνεῖσθαι], οὐκ εὐθὺς τούτων οὐδὲν πέπονθεν, ἀλλ' ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον, ἐὰν μέν τις καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ καὶ ἐν τοιαύτῃ ὥρᾳ, καὶ πάνυ μάλα. [συμπεσὸν γὰρ τὸ σῶμα καὶ ταριχευθέν, ὥσπερ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον ὅσον χρόνον.] ἔνια δὲ | μέρη τοῦ σώματος, κἂν σαπῇ, ὀστᾶ τε καὶ νεῦρα D καὶ τὰ τοιαῦτα πάντα, ὅμως ὡς ἔπος εἰπεῖν ἀθάνατ' ἐστίν· ἢ οὔ;' 'ναί.' 'ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀιδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον γενναῖον καὶ καθαρὸν καὶ ἀιδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, οἷ, ἐὰν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ ἰτέον, αὕτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα ἀπαλλαττομένη τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ [ἄνθρωποι]; πολλοῦ γε δεῖ, | ὦ φίλε Κέβης τε καὶ Σιμμία, E ἀλλὰ πολλῷ μᾶλλον ὧδ' ἔχει· ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος ξυνεφέλκουσα, ἅτ' οὐδὲν κοινωνοῦσ' αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσ' εἶναι, ἀλλὰ φεύγουσ' αὐτὸ [καὶ ξυνηθροισμένη αὐτὴ εἰς ἑαυτήν], ἅτε μελετῶσ' ἀεὶ τοῦτο — τὸ δ' οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα καὶ τῷ ὄντι τεθνάναι | μελετῶσα [ῥᾳδίως]· ἢ οὐ τοῦτ' ἂν εἴη μελέτη 81 θανάτου;' 'παντάπασί γε.' 'οὐκοῦν οὕτω μὲν ἔχουσ' εἰς τὸ ὅμοιον αὐτῇ [τὸ ἀιδὲς] ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον, οἷ ἀφικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι, πλάνης καὶ ἀνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ, ὥσπερ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοιπὸν χρόνον μετὰ [τῶν] θεῶν διάγουσα; οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως;'

XXX. 'Οὕτω νὴ Δία,' ἔφη ὁ Κέβης. 'ἐὰν δέ γε, | οἶμαι, B μεμιασμένη καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα καὶ τοῦτο θεραπεύουσα καὶ ἐρῶσα καὶ γοητευομένη [ὑπ' αὐτοῦ] ὑπό [τε] τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν,

4. sqq. emblema del. Ast. (Sch.). Ceterum interpolator dedisse videtur *συμπεσὸν (= συμβὰν) ταριχευθῆναι*. Cf. me L.Rh. p. 21. | 15. *ἄνθρωποι* del. Hir. | 23. *τὸ ἀιδὲς* del. Hartm. | 28. *τῶν* om. TArs. Stob. | 32. sic cum C et Ars. Burn.] *γεγοητευμένη* B Stob. et corr.. T *ὑπ' αὐτοῦ* et *τε* delevi cum Ars., *ὑπό τε — ἡδονῶν* olim Vermehren.

ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς ἀλλ' ἢ τὸ σωματοειδές,
οὗ τις ἂν ἅψαιτο καὶ ἴδοι καὶ πίοι καὶ φάγοι καὶ πρὸς
τἀφροδίσια χρήσαιτο, τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες καὶ ἀιδές,
νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετόν, τοῦτο δ' εἰθισμένη μισεῖν
τε καὶ τρέμειν καὶ φεύγειν, οὕτω δὴ ἔχουσαν οἴει ψυχὴν |
C αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι;' 'οὐδ' ὁπωστιοῦν,'
ἔφη. 'ἀλλὰ [καὶ] διειλημμένην γε, οἶμαι, ὑπὸ τοῦ σωμα-
τοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία [τε καὶ συνουσία] τοῦ σώματος διὰ
τὸ ἀεὶ ξυνεῖναι καὶ διὰ τὴν πολλὴν μελέτην ἐνεποίησε σύμ-
φυτον;' 'πάνυ γε.' 'ἐμβριθὲς δέ γε, ὦ φίλε, τοῦτ' οἴεσθαι
χρὴ εἶναι [καὶ βαρὺ] καὶ γεῶδες καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσ'
ἡ τοιαύτη ψυχὴ βαρύνεταί τε καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν
τόπον, φόβῳ τοῦ ἀιδοῦς τε καὶ Ἅιδου, ὥσπερ λέγεται, περὶ
D τὰ | μνήματά τε καὶ τοὺς τάφους καλινδουμένη, περὶ ἃ δὴ
καὶ ὤφθη ἄττα ψυχῶν σκιοειδῆ φαντάσματα, οἷα παρέχονται
αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι, ἀλλὰ
τοῦ ὁρατοῦ μετέχουσαι[, διὸ καὶ ὁρῶνται].' 'εἰκός γε, ὦ
Σώκρατες.' 'εἰκὸς μέντοι, ὦ Κέβης· καὶ οὔ τί γε τὰς τῶν
ἀγαθῶν αὐτὰς εἶναι, ἀλλὰ τὰς τῶν φαύλων, αἳ περὶ τὰ
τοιαῦτ' ἀναγκάζονται πλανᾶσθαι δίκην τίνουσαι τῆς προτέρας
τροφῆς κακῆς οὔσης· καὶ μέχρι γε τούτου πλανῶνται, ἕως
E ἂν τῇ τοῦ | συνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ
ἐνδεθῶσιν εἰς σῶμα.

XXXI. Ἐνδοῦνται δέ, ὥσπερ εἰκός, εἰς τοίαῦτ' ἤθη ὁποῖ'
ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ.' 'τὰ ποῖα δὴ
ταῦτα λέγεις, ὦ Σώκρατες;' 'οἷον τοὺς μὲν γαστριμαργίας
τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλα-
βημένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων
82 εἰκὸς ἐνδύεσθαι. ἢ οὐκ | οἴει;' 'πάνυ μὲν οὖν εἰκὸς λέγεις.'
'τοὺς δέ γ' ἀδικίας τε καὶ τυραννίδας καὶ ἁρπαγὰς προτετι-
μηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη·
ἢ ποῖ ἂν ἄλλοσέ φαμεν τὰς τοιαύτας ἰέναι;' 'ἀμέλει,' ἔφη ὁ
Κέβης, 'εἰς τὰ τοιαῦτα.' 'οὐκοῦν,' ἦ δ' ὅς, 'δῆλα δὴ καὶ

---

7. καὶ om. TArs. Stob. | 8 et 11. delevi glossemata, καὶ βαρύ L.Rh. p. 21. | 14. καλινδουμένη vH.] κυλινδουμένη. | 17. delevi emblema. | 19. αὐτὰς Ars.] ταύτας.

τἆλλα, ᾗ ἂν ἕκαστ' ἴοι, κατὰ τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης;' 'δῆλον δή,' ἔφη· 'πῶς δ' οὔ;' 'οὐκοῦν εὐδαιμονέστατοι,' ἔφη, 'καὶ τούτων εἰσὶ καὶ εἰς βέλτιστον τόπον ἰόντες οἱ τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετὴν | B *ἐπιτετηδευκότες, ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν ἄνευ φιλοσοφίας τε καὶ νοῦ;' 'πῇ δὴ οὗτοι εὐδαιμονέστατοι;' 'ὅτι τούτους εἰκός [ἐστιν] εἰς τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικόν τε καὶ ἥμερον γένος, ἤ που μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς ταὐτόν γε πάλιν τὸ ἀνθρώπινον γένος, καὶ γίγνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους.' 'εἰκός.'*

XXXII. *'Εἰς δέ γε θεῶν γένος μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ ἀπιόντι οὐ θέμις ἀφικνεῖσθαι* | C *[ἄλλῳ ἢ τῷ φιλομαθεῖ]. ἀλλὰ τούτων ἕνεκα, ὦ ἑταῖρε Σιμμία τε καὶ Κέβης, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀπέχονται τῶν κατὰ τὸ σῶμα ἐπιθυμιῶν ἁπασῶν καὶ καρτεροῦσι καὶ οὐ παραδιδόασιν αὐταῖς ἑαυτούς, οὔ τι οἰκοφθορίαν τε καὶ πενίαν φοβούμενοι, ὥσπερ οἱ πολλοὶ καὶ φιλοχρήματοι· οὐδ' αὖ ἀτιμίαν τε καὶ ἀδοξίαν μοχθηρίας δεδιότες, ὥσπερ οἱ φίλαρχοί τε καὶ φιλότιμοι, ἔπειτ' ἀπέχονται αὐτῶν.' 'οὐ γὰρ ἂν πρέποι,' ἔφη, 'ὦ Σώκρατες,' ὁ Κέβης. 'οὐ μέντοι μὰ Δία,' ἦ δ' ὅς.* | D *'τοιγάρτοι τούτοις μὲν ἅπασιν, ὦ Κέβης, ἐκεῖνοι, οἷς τι μέλει τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ μὴ σώματι [πράττοντες] ζῶσι, χαίρειν εἰπόντες οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς, ὡς οὐκ εἰδόσιν, ὅπῃ ἔρχονται, αὐτοὶ δ' ἡγούμενοι οὐ δεῖν ἐναντία τῇ φιλοσοφίᾳ πράττειν καὶ τῇ ἐκείνης λύσει τε καὶ καθαρμῷ ταύτῃ δὴ τρέπονται [ἐκείνῃ] ἑπόμενοι, ᾗ ἐκείνη ὑφηγεῖται.'*

XXXIII. *'Πῶς, ὦ Σώκρατες;' 'ἐγὼ ἐρῶ,' ἔφη. 'γιγνώσκουσι γάρ,' ἦ δ' ος, 'οἱ φιλομαθεῖς ὅτι παραλαβοῦσ' αὐτῶν τὴν ψυχὴν ἡ φιλοσοφία* | E *ἀτεχνῶς διαδεδεμένην ἐν τῷ σώματι καὶ προσκεκολλημένην, ἀναγκαζομένην δ' ὥσπερ δι' εἱργμοῦ*

---

7. *ἐστιν* om. Ars. | 8. *τε* om. B. | *[ἡμερώ]τερον* Ars. | 9. *ἢ σφηκῶν* num genuina? | 13 sq. emblema del. Beck, agnoscit Ars. Lacunam ante *ἄλλῳ* statuit Rich. | 19. *ἀδοξίαν] δόξαν* (coll. Euthyphr. 12 C aut *ἀδοξίαν ⟨ἐκ⟩* Rich. | 23. *σώματα* T et Iambl. | *πράττοντες] πλάττοντες* Ast, *πελάται ὄντες* Usener (*πελατεύοντες* Madv.), del. Burn. Mihi non liquet. | 27. *δὴ* add. Ars. | *ἐκείνῃ* expunxi.

*[διὰ] τούτου σκοπεῖσθαι τὰ ὄντα, ἀλλὰ μὴ αὐτὴν δι' αὑτῆς,
καὶ ἐν πάσῃ ἀμαθίᾳ καλινδουμένην, καὶ τοῦ εἱργμοῦ τὴν
δεινότητα κατιδοῦσ' ὅτι δι' ἐπιθυμίας ἐστίν, ὡς ἂν μάλιστ'
83 αὐτὸς ὁ δεδεμένος συλλήπτωρ εἴη τοῦ | δεδέσθαι, — ὅπερ
οὖν λέγω, γιγνώσκουσιν οἱ φιλομαθεῖς, ὅτι οὕτω παραλα-
βοῦσ' ἡ φιλοσοφία ἔχουσαν αὐτῶν τὴν ψυχὴν ἠρέμα παρα-
μυθεῖται καὶ λύειν ἐπιχειρεῖ, ἐνδεικνυμένη, ὅτι ἀπάτης μὲν
μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις, ἀπάτης δ' ἡ διὰ τῶν
ὤτων καὶ τῶν ἄλλων αἰσθήσεων, πείθουσα δ' ἐκ τούτων
μὲν ἀναχωρεῖν, ὅσον μὴ ἀνάγκη [αὐτοῖς] χρῆσθαι, αὐτὴν
δ' εἰς αὑτὴν συλλέγεσθαι καὶ ἀθροίζεσθαι παρακελευομένη,
πιστεύειν δὲ μηδενὶ ἄλλῳ ἀλλ' ἢ αὐτὴν αὑτῇ, ὅ τι ἂν νοήσῃ
B | αὐτὴ καθ' αὑτὴν αὐτὸ καθ' αὑτὸ τῶν ὄντων· ὅ τι δ' ἂν
δι' ἄλλων σκοπῇ ἐν ἄλλοις ὂν ἄλλο, μηδὲν ἡγεῖσθαι ἀληθές·
εἶναι δὲ τὸ μὲν τοιοῦτον αἰσθητόν τε καὶ ὁρατόν, ὃ δ' αὐτὴ
ὁρᾷ νοητόν τε καὶ ἀιδές. ταύτῃ οὖν τῇ λύσει οὐκ οἰομένη
δεῖν ἐναντιοῦσθαι ἡ τοῦ ὡς ἀληθῶς φιλοσόφου ψυχὴ οὕτως
ἀπέχεται τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ λυπῶν [καὶ φόβων],
καθ' ὅσον δύναται, λογιζομένη, ὅτι, ἐπειδάν τις σφόδρ' ἡσθῇ
ἢ λυπηθῇ ἢ θορυβηθῇ ἢ ἐπιθυμήσῃ, οὐδὲν τοσοῦτον κακὸν
ἔπαθεν ὑπ' αὐτῶν ὧν ἄν τις οἰηθείη, οἷον ἢ νοσήσας ἤ τι
C | ἀναλώσας διὰ τὰς ἐπιθυμίας, ἀλλ' ὃ πάντων μέγιστόν τε
κακῶν καὶ ἔσχατόν ἐστι, τοῦτο πάσχει καὶ οὐ λογίζεται αὐτό.'
'τί τοῦτο, ὦ Σώκρατες;' ἔφη ὁ Κέβης. 'ὅτι ψυχὴ παντὸς
ἀνθρώπου ἀναγκάζεται ἅμα θ' ἡσθῆναι σφόδρ' ἢ λυπηθῆναι
ἐπί τῳ καὶ ἡγεῖσθαι, περὶ ὃ ἂν μάλιστα τοῦτο πάσχῃ, τοῦτ'
ἐναργέστατόν τ' εἶναι καὶ ἀληθέστατον, οὐχ οὕτως ἔχον·
ταῦτα δὲ μάλιστα ⟨τὰ⟩ ὁρατά· ἢ οὔ;' 'πάνυ γε.' 'οὔκουν ἐν
D τούτῳ τῷ πάθει μάλιστα | καταδεῖται ψυχὴ ὑπὸ σώματος;'
'πῶς δή;' 'ὅτι ἑκάστη ἡδονὴ καὶ λύπη ὥσπερ ἧλον ἔχουσα
προσηλοῖ αὐτὴν πρὸς τὸ σῶμα καὶ προσπερονᾷ καὶ ποιεῖ
σωματοειδῆ, δοξάζουσαν ταῦτ' ἀληθῆ εἶναι, ἅπερ ἂν καὶ τὸ*

---

1. *διὰ* del. Cob. | 2. *κυλινδουμένην* codd. Correxi. | 10. *αὐτοῖς* om. Ars., del. Burn. | 11. *παρακελευομένη* abesse poterat. | 13. *ὅταν*, inserto *τι* post *ἄλλο* Ars. Recepit Burn. | 18. *καὶ φόβων* om. T et Ars. et Iambl. | 20. *κακῶν* T et Iambl.] *κακόν*. | 25. *σφόδρα* ante *ἢ* Ars.] post *λυπ.* codd. et edd.

*σῶμα φῇ. ἐκ γὰρ τοῦ ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς αὐτοῖς
χαίρειν ἀναγκάζεται, οἶμαι, ὁμότροπός τε καὶ ὁμότροφος
γίγνεσθαι καὶ οἵα μηδέποτ' εἰς Ἅιδου καθαρὰ ἀφικέσθαι,
ἀλλ' ἀεὶ τοῦ σώματος ἀναπλέα ἐξιέναι, ὥστε ταχὺ πάλιν
πίπτειν εἰς ἄλλο σῶμα καὶ ὥσπερ σπειρομένη ἐμφύεσθαι,
καὶ ἐκ | τούτων ἄμοιρος εἶναι τῆς τοῦ θείου τε καὶ καθαροῦ* E
*καὶ μονοειδοῦς συνουσίας.' 'ἀληθέστατα,' ἔφη, 'λέγεις,' ὁ
Κέβης, 'ὦ Σώκρατες.'*

XXXIV. *'Τούτων τοίνυν ἕνεκα, ὦ Κέβης, οἱ δικαίως
φιλομαθεῖς κόσμιοί εἰσι καὶ ἀνδρεῖοι, οὐχ ὧν οἱ πολλοὶ
ἕνεκά [φασιν]· ἢ σὺ οἴει;' | 'οὐ δῆτ' ἔγωγε.' 'οὐ γάρ, ἀλλ'* 84
*οὕτω λογίσαιτ' ἂν ψυχὴ ἀνδρὸς φιλοσόφου, καὶ οὐκ ἂν
οἰηθείη τὴν μὲν φιλοσοφίαν χρῆναι ἑαυτὴν λύειν, λυούσης δ'
ἐκείνης αὐτὴν [παραδιδόναι] ταῖς ἡδοναῖς καὶ λύπαις ἑαυτὴν
πάλιν αὖ ἐγκαταδεῖν καὶ ἀνήνυτον ἔργον πράττειν Πηνελόπης
τιν' ἐναντίως ἱστὸν μεταχειριζομένη, ἀλλὰ γαλήνην τούτων
παρασκευάζουσα, ἑπομένη τῷ λογισμῷ καὶ ἀεὶ ἐν τούτῳ
οὖσα, τἀληθὲς καὶ [τὸ] θεῖον καὶ [τὸ] ἀδόξαστον θεωμένη
καὶ ὑπ' ἐκείνου τρεφομένη, | ζῆν τ' οἴεται οὕτω δεῖν, ἕως* B
*ἂν ζῇ, καὶ ἐπειδὰν τελευτήσῃ, εἰς τὸ ξυγγενὲς [καὶ εἰς τὸ
τοιοῦτον] ἀφικομένη ἀπηλλάχθαι τῶν ἀνθρωπίνων κακῶν.
ἐκ δὴ τῆς τοιαύτης τροφῆς οὐδὲν δεινόν, μὴ [φοβηθῇ,
ταῦτα δ' ἐπιτηδεύσασα], ὦ Σιμμία τε καὶ Κέβης, [ὅπως μὴ]
διασπασθεῖσ' ἐν τῇ ἀπαλλαγῇ τοῦ σώματος ὑπὸ τῶν ἀνέμων
διαφυσηθεῖσα καὶ διαπτομένη οἴχηται καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ.'*

XXXV. *Σιγὴ οὖν ἐγένετο ταῦτ' εἰπόντος τοῦ | Σωκρά-* C
*τους ἐπὶ πολὺν χρόνον, καὶ αὐτός τε πρὸς τῷ εἰρημένῳ
λόγῳ ἦν [ὁ Σωκράτης], ὡς ἰδεῖν ἐφαίνετο, καὶ ἡμῶν οἱ
πλεῖστοι. Κέβης δὲ καὶ Σιμμίας σμικρὸν πρὸς ἀλλήλω διελεγέσθην·
καὶ ὁ Σωκράτης ἰδὼν αὐτὼ ἤρετο· 'τί;' ἔφη,
'ὑμῖν τὰ λεχθέντα μῶν [μὴ] δοκεῖ ἐνδεῶς λέγεσθαι; πολλὰς*

---

2. *ὁμοτροφος* — *ὁμότροπος* Ars. | 3. *καθαρὰ* Heind.] *καθαρῶς*. | 11. *φασιν* om. Ars. | 14. *παραδιδόναι* del. Madv. | 16. *μεταχειριζομένη* Peipers] — *μένης* BTArs., — *μένην* vulgo. | 18. *τὸ* bis om. Ars. | 19. *δεῖν οὕτω* Ars. | 20 sq. seclusi emblema. | 28. Nomen del. Nab. | 31. *μὴ* del. Tournier.

γάρ δὴ ἔτι ἔχει ὑποψίας καὶ ἀντιλαβάς, εἴ γε δή τις αὐτὰ
μέλλει ἱκανῶς διεξιέναι. εἰ μὲν οὖν τι ἄλλο σκοπεῖσθον, οὐδὲν
λέγω· εἰ δέ τι περὶ τούτων ἀπορεῖτον, μηδὲν ἀποκνήσητε
D καὶ αὐτοὶ εἰπεῖν καὶ | διελθεῖν, εἴ πῃ ὑμῖν φαίνεται βέλτιον
⟨ἂν⟩ λεχθῆναι, καὶ αὖ κἀμὲ συμπαραλαβεῖν, εἴ τι μᾶλλον
οἴεσθε μετ᾽ ἐμοῦ εὐπορήσειν.᾽ καὶ ὁ Σιμμίας ἔφη· ʻκαὶ μήν,
ὦ Σώκρατες, τἀληθῆ σοι ἐρῶ. πάλαι γὰρ ἡμῶν ἑκάτερος
ἀπορῶν τὸν ἕτερον προωθεῖ καὶ κελεύει ἐρέσθαι διὰ τὸ ἐπι-
θυμεῖν μὲν ἀκοῦσαι, ὀκνεῖν δ᾽ ὄχλον παρέχειν, μή σοι ἀηδὲς
ᾖ διὰ τὴν παροῦσαν συμφοράν.᾽ καὶ ὃς ἀκούσας ἐγέλασέν
τ᾽ ἠρέμα καί φησιν· ʻβαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς
E ἂν τοὺς ἄλλους | ἀνθρώπους πείσαιμι, ὡς οὐ συμφορὰν
ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ᾽ ὑμᾶς δύναμαι
πείθειν, ἀλλὰ φοβεῖσθε, μὴ δυσκολώτερόν τι νῦν διάκειμαι
ἢ ἐν τῷ πρόσθεν βίῳ· καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ
φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἵ, ἐπειδὰν αἴσθωνται,
ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ,
85 τότε δὴ | πλεῖστα καὶ κάλλιστ᾽ ᾄδουσι, γεγηθότες, ὅτι μέλ-
λουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗπέρ εἰσι θεράποντες. οἱ δ᾽
ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων
καταψεύδονται, καί φασιν αὐτοὺς θρηνοῦντας τὸν θάνατον
ὑπὸ λύπης ἐξᾴδειν, καὶ οὐ λογίζονται, ὅτι οὐδὲν ὄρνεον
ᾄδει, ὅταν πεινῇ ἢ ῥιγῷ ἤ τιν᾽ ἄλλην λύπην λυπῆται, οὐδ᾽
αὐτὴ ἥ τ᾽ ἀηδὼν καὶ ⟨ἡ⟩ χελιδὼν καὶ ὁ ἔποψ, ἃ δή φασι διὰ
λύπην θρηνοῦντ᾽ ᾄδειν· ἀλλ᾽ οὔτε ταῦτά μοι φαίνεται λυπού-
B μενα ᾄδειν οὔθ᾽ οἱ κύκνοι, ἀλλ᾽ ἅτε, οἶμαι, | τοῦ Ἀπόλ-
λωνος ὄντες μαντικοί τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου
ἀγάθ᾽ ᾄδουσι καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως
[ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ]. ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι
ὁμόδουλός τ᾽ εἶναι τῶν κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ,
καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου,
οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι. ἀλλὰ
τούτου γ᾽ ἕνεκα λέγειν τε χρὴ καὶ ἐρωτᾶν ὅ τι ἂν βούλησθε,

18. κάλλιστα Blomf.] μάλιστα BTStob., al. μέγιστα, unde Burn. μέγιστον. | 23. addidi ἡ. | 29. ἢ — χρόνῳ del. Hartm. | 32. οὐδὲ — ἀπαλλ. del. idem. Genuina videntur.

ἕως ἂν Ἀθηναίων ἐῶσιν ἄνδρες ἕνδεκα.' 'καλῶς,' ἔφη,
'λέγεις,' ὁ Σιμμίας· 'καὶ ἐγώ τε σοι ἐρῶ, ὃ | ἀπορῶ, καὶ C
αὖ ὅδε, ᾗ οὐκ ἀποδέχεται τὰ εἰρημένα. ἐμοὶ γὰρ δοκεῖ, ὦ
Σώκρατες, περὶ τῶν τοιούτων ἴσως ὥσπερ καὶ σοὶ τὸ μὲν
σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ ἢ ἀδύνατον εἶναι ἢ παγχάλεπόν
τι, τὸ μέντοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ οὐχὶ παντὶ
τρόπῳ ἐλέγχειν καὶ μὴ προαφίστασθαι, πρὶν ἂν πανταχῇ
σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός· δεῖν γὰρ
περὶ αὔτ' ἕν γέ τι τούτων διαπράξασθαι, ἢ μαθεῖν, ὅπῃ
ἔχει, ἢ εὑρεῖν ἤ, εἰ ταῦτ' ἀδύνατον, τὸν γοῦν βέλτιστον τῶν
ἀνθρωπίνων λόγων λαβόντα καὶ | δυσεξελεγκτότατον, ἐπὶ D
τούτου ὀχούμενον ὥσπερ ἐπὶ σχεδίας κινδυνεύοντα διαπλεῦσαι
τὸν βίον, εἰ μή τις δύναιτ' ἀσφαλέστερον καὶ ἀκινδυνότερον
ἐπὶ βεβαιοτέρου ὀχήματος [ἢ λόγου θείου τινὸς] διαπορευ-
θῆναι. καὶ δὴ καὶ νῦν ἔγωγ' οὐκέτ' αἰσχυνθήσομαι ἐρέσθαι,
ἐπειδὴ καὶ σὺ ταῦτα λέγεις, οὐδ' ἐμαυτὸν αἰτιάσομαι ἐν
ὑστέρῳ χρόνῳ, ὅτι νῦν οὐκ εἶπον, ἅ ἐμοὶ δοκεῖ. ἐμοὶ γάρ,
ὦ Σώκρατες, ἐπειδὴ καὶ πρὸς ἐμαυτὸν καὶ πρὸς τόνδε
σκοπῶ τὰ εἰρημένα, οὐ πάνυ φαίνεται ἱκανῶς εἰρῆσθαι.'

XXXVI. Καὶ | ὁ Σωκράτης· 'ἴσως γάρ,' ἔφη, 'ὦ ἑταῖρε, E
ἀληθῆ σοι φαίνεται· ἀλλὰ λέγε, ὅπῃ δὴ οὐχ ἱκανῶς.' 'ταύτῃ
ἔμοιγε,' ἦ δ' ὅς, 'ᾗ δὴ καὶ περὶ ἁρμονίας ἄν τις καὶ λύρας
τε καὶ χορδῶν τὸν αὐτὸν τοῦτον λόγον εἴποι, ὡς ἡ μὲν
ἁρμονία ἀόρατον καὶ ἀσώματον καὶ πάγκαλόν τι καὶ θεῖόν
ἐστιν ἐν τῇ ἡρμοσμένῃ λύρᾳ, | αὐτὴ δ' ἡ λύρα καὶ αἱ χορδαὶ 86
σώματά τε καὶ σωματοειδῆ καὶ σύνθετα καὶ γεώδη ἐστὶ καὶ
τοῦ θνητοῦ συγγενῆ. ἐπειδὰν οὖν ἢ κατάξῃ τις τὴν λύραν ἢ
[διατέμῃ] διαρρήξῃ τὰς χορδάς, εἴ τις διισχυρίζοιτο τῷ αὐτῷ
λόγῳ ᾧπερ σύ, ὡς ἀνάγκη ἔτι εἶναι τὴν ἁρμονίαν ἐκείνην
καὶ μὴ ἀπολωλέναι· οὐδεμία γὰρ μηχανὴ ἂν εἴη τὴν μὲν
λύραν ἔτι εἶναι [διερρωγυιῶν τῶν χορδῶν] καὶ τὰς χορδὰς
θνητοειδεῖς οὔσας, τὴν δ' ἁρμονίαν ἀπολωλέναι τὴν τοῦ

---

1. ἕως — ἕνδεκα del. Sch. | 2. ἐγώ τε T] ἔγωγε B. | 14. ἢ del. Heind., ἢ — τινὸς iure suspectat Burn. | 15. οὐκέτι αἰσχ. Baum.] οὐκ ἐπαισχ. | 24. ἀόρατον τι B. | 28. ἢ T] καὶ B, ἢ καὶ D. | διατέμῃ del. Sch.; an [διαρρήζῃ]? | 29. ᾧπερ For.] ὥσπερ.

B θείῳ τε καὶ ἀθανάτῳ ὁμοφυᾶ | τε καὶ συγγενῆ, προτέραν
τοῦ θνητοῦ ἀπολομένην· ἀλλὰ [φαίη] ἀνάγκη ἔτι που εἶναι
αὐτὴν τὴν ἁρμονίαν, καὶ πρότερον τὰ ξύλα καὶ τὰς χορδὰς
κατασαπήσεσθαι, πρίν τι ἐκείνην παθεῖν· — καὶ γὰρ οὖν,
ὦ Σώκρατες, οἶμαι ἔγωγε καὶ αὐτόν σε τοῦτ' ἐντεθυμῆσθαι,
ὅτι τοιοῦτόν τι μάλισθ' ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι,
ὥσπερ ἐντεταμένου τοῦ σώματος ἡμῶν καὶ συνεχομένου ὑπὸ
θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τοιούτων τινῶν,
C κρᾶσιν εἶναι καὶ ἁρμονίαν αὐτῶν τούτων | τὴν ψυχὴν ἡμῶν,
ἐπειδὰν ταῦτα καλῶς καὶ μετρίως κραθῇ πρὸς ἄλληλα — εἰ
οὖν τυγχάνει ἡ ψυχὴ οὖσ' ἁρμονία τις, [δῆλον ὅτι,] ὅταν
χαλασθῇ τὸ σῶμα [ἡμῶν] ἀμέτρως ἢ ἐπιταθῇ ὑπὸ νόσων
καὶ ἄλλων κακῶν, τὴν μὲν ψυχὴν ἀνάγκην εὐθὺς ὑπάρχειν
ἀπολωλέναι, καίπερ οὖσαν θειοτάτην, ὥσπερ καὶ αἱ ἄλλαι
ἁρμονίαι αἵ τ' ἐν τοῖς φθόγγοις καὶ [αἱ] ἐν τοῖς τῶν δημι-
ουργῶν ἔργοις πᾶσι, τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου
D πολὺν χρόνον παραμένειν, ἕως ἂν ἢ κατακαυθῇ ἢ | κατα-
σαπῇ — ὅρα οὖν πρὸς τοῦτον τὸν λόγον τί φήσομεν, ἐάν
τις ἀξιοῖ κρᾶσιν οὖσαν τὴν ψυχὴν τῶν ἐν τῷ καλουμένῳ
θανάτῳ πρώτην ἀπόλλυσθαι.'

XXXVII. Διαβλέψας οὖν ὁ Σωκράτης, ὥσπερ τὰ πόλλ'
εἰώθει, καὶ μειδιάσας· 'δίκαια μέντοι,' ἔφη, 'λέγει ὁ Σιμμίας.
εἰ οὖν τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο; καὶ
γὰρ οὐ φαύλως ἔοικεν ἁπτομένῳ τοῦ λόγου. δοκεῖ μέντοι
E μοι χρῆναι πρὸ | τῆς ἀποκρίσεως ἔτι πρότερον Κέβητος
ἀκοῦσαι, τί αὖ ὅδ' ἐγκαλεῖ τῷ λόγῳ, ἵνα χρόνου ἐγγενομένου
βουλευσώμεθα, τί ἐροῦμεν, ἔπειτα [δὲ] ἀκούσαντας [ἢ]
συγχωρεῖν αὐτοῖς, ἐάν τι δοκῶσι προσᾴδειν, ἐὰν δὲ μή,
οὕτως ἤδη ὑπερδικεῖν τοῦ λόγου. ἀλλ' ἄγε,' ἦ δ' ὅς, 'ὦ
Κέβης, λέγε, τί ἦν τὸ σ' αὖ θρᾶττον [ἀπιστίαν παρέχει].'
'λέγω δή,' ἦ δ' ὃς [ὁ Κέβης]. 'ἐμοὶ γὰρ φαίνεται ἔτι ἐν τῷ

---

1. ὁμοφυᾶ vH.] ὁμοφυῆ. Cf. Meist. p. 150, 11. | 2. φαίη del. Cob., ἂν add. Rich., ἀνάγκῃ coni. Baiter. | 11. δῆλον ὅτι del. Burn. | 12. ἡμῶν delevi cum T et Burn. | 13. ἀνάγκην rec. T.] ἀνάγκη. — ὑπάρχειν BT] ὑπάρχει. Sequor Burn. | 15. αἱ add. B. | 27. δὲ om. T, del. Burn. | ἢ del. Hir. | 31. delevi nomen.

αὐτῷ ὁ λόγος εἶναι, καί, ὅπερ ἐν τοῖς πρόσθεν ἐλέγομεν,
ταὐτὸν ἔγκλημα ἔχειν. | ὅτι μὲν γὰρ ἦν ἡμῶν ἡ ψυχὴ καὶ 87
πρὶν εἰς τόδε τὸ εἶδος ἐλθεῖν, οὐκ ἀνατίθεμαι μὴ οὐχὶ πάνυ
χαριέντως καί, εἰ μὴ ἐπαχθές ἐστιν εἰπεῖν, πάνυ ἱκανῶς
ἀποδεδεῖχθαι· ὡς δὲ καὶ ἀποθανόντων ἡμῶν ἔτι που ἔσται,
οὔ μοι δοκεῖ τῇδε. ὡς μὲν οὐκ ἰσχυρότερον καὶ πολυχρο-
νιώτερον ψυχὴ σώματος, οὐ συγχωρῶ τῇ Σιμμίου ἀντιλήψει·
δοκεῖ γάρ μοι πᾶσι τούτοις πάνυ πολὺ διαφέρειν. τί οὖν, ἂν
φαίη ὁ λόγος, ἔτι ἀπιστεῖς, ἐπειδὴ ὁρᾷς ἀποθανόντος τοῦ
ἀνθρώπου τό γ᾿ ἀσθενέστερον ἔτι ὄν; τὸ δὲ | πολυχρονιώτερον B
οὐ δοκεῖ σοι ἀναγκαῖον εἶναι ἔτι σῴζεσθαι ἐν τούτῳ τῷ
χρόνῳ; πρὸς δὴ τοῦτο τόδε ἐπίσκεψαι, εἴ τι λέγω· εἰκόνος
γάρ τινος, ὡς ἔοικεν, κἀγὼ ὥσπερ Σιμμίας δέομαι. ἐμοὶ
γὰρ δοκεῖ ὁμοίως λέγεσθαι ταῦτα, ὥσπερ ἂν ⟨εἴ⟩ τις περὶ
[ἀνθρώπου] ὑφάντου πρεσβύτου ἀποθανόντος λέγοι [τοῦτον
τὸν λόγον], ὅτι οὐκ ἀπόλωλεν ἅνθρωπος, ἀλλ᾿ ἔστι που σῶς,
τεκμήριον δὲ παρέχοιτο θοἰμάτιον, ὃ ἠμπείχετ᾿ αὐτὸς ὑφη-
νάμενος, ὅτι ἐστὶ σῶν καὶ οὐκ ἀπόλωλεν, καὶ εἴ τις ἀπιστοίη
αὐτῷ, ἀνερωτῴη, πότερον | πολυχρονιώτερόν ἐστι τὸ γένος C
ἀνθρώπου ἢ ἱματίου ἐν χρείᾳ τ᾿ ὄντος καὶ φορουμένου,
ἀποκριναμένου δέ [τινος], ὅτι πολὺ τὸ τοῦ ἀνθρώπου, οἴοιτ᾿
ἀποδεδεῖχθαι, ὅτι παντὸς ἄρα μᾶλλον ὅ γ᾿ ἄνθρωπος σῶς
ἐστιν, ἐπειδὴ τό γ᾿ ὀλιγοχρονιώτερον οὐκ ἀπόλωλεν. τὸ δ᾿,
οἶμαι, ὦ Σιμμία, οὐχ οὕτως ἔχει· σκόπει γὰρ καὶ σύ, ἃ λέγω.
πᾶς [γὰρ] ἂν ὑποβάλοι, ὅτι εὔηθες λέγει ὁ τοῦτο λέγων·
ὁ γὰρ ὑφάντης οὗτος πολλὰ κατατρίψας τοιαῦθ᾿ ἱμάτια καὶ
ὑφηνάμενος ἐκείνων μὲν ὕστερος ἀπόλωλεν πολλῶν ὄντων,
τοῦ δὲ | τελευταίου, οἶμαι, πρότερος, καὶ οὐδέν τι μᾶλλον D
τούτου ἕνεκ᾿ ἄνθρωπός ἐστιν ἱματίου φαυλότερον οὐδ᾿ ἀσθε-
νέστερον. τὴν αὐτὴν δέ, οἶμαι, εἰκόνα δέξαιτ᾿ ἂν ψυχὴ πρὸς
σῶμα, καί τις λέγων αὐτὰ ταῦτα περὶ αὐτῶν μέτρι᾿ ἄν μοι
φαίνοιτο λέγειν, ὡς ἡ μὲν ψυχὴ πολυχρόνιόν ἐστι, τὸ δὲ
σῶμα ἀσθενέστερον καὶ ὀλιγοχρονιώτερον· ἀλλὰ γὰρ ἂν φαίη

8 sq. φαίη ἄν? | 12. εἴ τι vH] εἴ τι. | 14. ἂν ⟨εἴ⟩ vH] ἄν. Delevi ἀν-θρώπου. | 15. τοῦτον] τόνδε? an delendum τοῦτον τὸν λόγον? | 21. τινος del. Burn. | 26. γὰρ om. TD.

*ἑκάστην τῶν ψυχῶν πολλὰ σώματα κατατρίβειν, ἄλλως τε
καὶ εἰ πόλλ' ἔτη βιοίη· εἰ γὰρ ῥέοι τὸ σῶμα καὶ ἀπολλύοιτο*
E *ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἀλλ' ἡ ψυχὴ ἀεὶ τὸ* | *κατατριβό-
μενον ἀνυφαίνοι, ἀναγκαῖον μεντἂν εἴη, ὁπότ' ἀπολλύοιτο
ἡ ψυχή, τὸ τελευταῖον ὕφασμα τυχεῖν αὐτὴν ἔχουσαν καὶ
τούτου μόνου προτέραν ἀπόλλυσθαι, ἀπολομένης δὲ τῆς
ψυχῆς τότ' ἤδη τὴν φύσιν τῆς ἀσθενείας ἐπιδεικνύοι τὸ σῶμα
καὶ ταχὺ σαπὲν διοίχοιτο. ὥστε τούτῳ τῷ λόγῳ οὔπω ἄξιον
πιστεύσαντα θαρρεῖν, ὡς, ἐπειδὰν ἀποθάνωμεν, ἔτι που ἡμῶν*
88 *ἡ ψυχὴ ἔστιν.* | *εἰ γάρ τις καὶ πλέον ἔτι τῷ λέγοντι, [ἢ] ἃ
σὺ λέγεις, συγχωρήσειεν, δοὺς αὐτῷ μὴ μόνον ἐν τῷ πρὶν
καὶ γενέσθαι ἡμᾶς χρόνῳ εἶναι ἡμῶν τὰς ψυχάς, ἀλλὰ μηδὲν
κωλύειν, καὶ ἐπειδὰν ἀποθάνωμεν, ἐνίων ἔτι εἶναι καὶ ἔσεσθαι
καὶ πολλάκις γενήσεσθαι καὶ ἀποθανεῖσθαι αὖθις· οὕτω γὰρ
αὐτὸ φύσει ἰσχυρὸν εἶναι, ὥστε πολλάκις γιγνομένην ψυχὴν
ἀντέχειν· δοὺς δὲ ταῦτ' ἐκεῖνο μηκέτι συγχωροίη, μὴ οὐ
πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσιν καὶ τελευτῶσάν γ' ἔν
τινι τῶν θανάτων παντάπασιν ἀπόλλυσθαι· τοῦτον δὲ τὸν*
B *θάνατον καὶ ταύτην τὴν* | *διάλυσιν τοῦ σώματος, ἣ τῇ ψυχῇ
φέρει ὄλεθρον, μηδένα φαίη εἰδέναι· ἀδύνατον γὰρ εἶναι
ὁτῳοῦν αἰσθάνεσθαι ἡμῶν· εἰ δὲ τοῦθ' οὕτως ἔχει, οὐδενὶ
προσήκει θάνατον θαρροῦντι μὴ οὐκ ἀνοήτως θαρρεῖν, ὃς
ἂν μὴ ἔχῃ ἀποδεῖξαι, ὅτι ἔστι ψυχὴ παντάπασιν ἀθάνατόν
τε καὶ ἀνώλεθρον· εἰ δὲ μή, ἀνάγκη [εἶναι] ἀεὶ τὸν μέλλοντ'
ἀποθανεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὐτοῦ ψυχῆς, μὴ ἐν τῇ νῦν
τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται.'*

XXXVIII. *Πάντες οὖν ἀκούσαντες εἰπόντων αὐτῶν* |
C *ἀηδῶς διετέθημεν, ὡς ὕστερον ἐλέγομεν πρὸς ἀλλήλους,
ὅτι ὑπὸ τοῦ ἔμπροσθεν λόγου σφόδρα πεπεισμένους ἡμᾶς
πάλιν ἐδόκουν ἀναταράξαι καὶ εἰς ἀπιστίαν καταβαλεῖν οὐ
μόνον τοῖς προειρημένοις λόγοις, ἀλλὰ καὶ εἰς τὰ ὕστερον
μέλλοντα ῥηθήσεσθαι, μὴ οὐδενὸς ἄξιοι εἶμεν κριταὶ ἢ καὶ
τὰ πράγματ' ἄπιστ' εἴη.*

---

2. *βιοίη* L. Rh. p. 39] *βιῴη* (*κῆν — βιῷ* T). | 10. *ἢ* cum Heind. del. Sch., *λέγεις* Liebhold. | 22. *προσήκειν* Steph. | 24. *ἀνάγκη* pr. TV] *ἀνάγκην* B Sch. Sequor Burn. | *εἶναι* om. V.

ΕΧ. Νὴ τοὺς θεούς, ὦ Φαίδων, συγγνώμην γ' ἔχω ὑμῖν.
καὶ γὰρ αὐτόν με νῦν ἀκούσαντά σου τοιοῦτόν τι λέγειν πρὸς
ἐμαυτὸν ἐπέρχεται· τίνι οὖν ἔτι | πιστεύσωμεν λόγῳ; καὶ γὰρ D
σφόδρα πιθανὸς ὤν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς
ἀπιστίαν καταπέπτωκεν. θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος
ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί, τὸ ἁρμονίαν τιν' ἡμῶν εἶναι
τὴν ψυχήν, καὶ ὥσπερ ὑπέμνησέν με ῥηθεὶς ὅτι καὶ αὐτῷ
μοι ταῦτα προὐδέδοκτο. καὶ πάνυ δέομαι πάλιν ὥσπερ ἐξ
ἀρχῆς ἄλλου τινὸς λόγου, ὅς με πείσει, ὡς τοῦ ἀποθανόντος
οὐ συναποθνῄσκει ἡ ψυχή. λέγ' οὖν πρὸς Διός, πῇ ὁ Σω-
κράτης μετῆλθε τὸν λόγον; καὶ πότερον | κἀκεῖνος, ὥσπερ E
ὑμᾶς φῄς, ἔνδηλός τι ἐγένετ' ἀχθόμενος ἢ οὔ, ἀλλὰ πρᾴως
ἐβοήθει τῷ λόγῳ; καὶ ἱκανῶς ἐβοήθησεν ἢ ἐνδεῶς; πάνθ'
ἡμῖν δίελθε ὡς δύνασαι ἀκριβέστατα.

ΦΑΙΔ. Καὶ μήν, ὦ Ἐχέκρατες, πολλάκις θαυμάσας
Σωκράτη οὐ πώποτε μᾶλλον ἠγάσθην ἢ τότε παραγενόμενος.
τὸ | μὲν οὖν ἔχειν, ὅ τι λέγοι, ἐκεῖνον, ἴσως οὐδὲν ἄτοπον· 89
ἀλλ' ἔγωγε μάλιστ' ἐθαύμασ' αὐτοῦ πρῶτον μὲν τοῦτο, ὡς
ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμένως τῶν νεανίσκων τὸν λόγον
ἀπεδέξατο, ἔπειθ' ἡμῶν ὡς ὀξέως ᾔσθετο, ὃ ἐπεπόνθεμεν
ὑπὸ τῶν λόγων, ἔπειθ' ὡς εὖ ἡμᾶς ἰάσατο καὶ ὥσπερ πεφευ-
γότας καὶ ἡττημένους ἀνεκαλέσατο καὶ προὔτρεψεν πρὸς τὸ
παρέπεσθαί τε καὶ συσκοπεῖν τὸν λόγον.

ΕΧ. Πῶς δή;

ΦΑΙΔ. Ἐγὼ ἐρῶ. ἔτυχον γὰρ ἐν δεξιᾷ αὐτοῦ καθήμενος
παρὰ τὴν κλίνην ἐπὶ | χαμαιζήλου τινός, ὁ δ' ἐπὶ πολὺ B
ὑψηλοτέρου ἢ ἐγώ. καταψήσας οὖν μου τὴν κεφαλὴν καὶ
συμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας — εἰώθει γάρ, ὁπότε
τύχοι, παίζειν μου εἰς τὰς τρίχας — 'αὔριον δή,' ἔφη, 'ἴσως,
ὦ Φαίδων, τὰς καλὰς ταύτας κόμας ἀποκερεῖ.' 'ἔοικεν,' ἦν
δ' ἐγώ, 'ὦ Σώκρατες.' 'οὐκ, ἐάν γ' ἐμοὶ πίθῃ.' 'ἀλλὰ τί;'
ἦν δ' ἐγώ. 'τήμερον,' ἔφη, 'κἀγὼ τὰς ἐμὰς καὶ σὺ ταύτας,
ἐάνπερ γ' ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθ' αὐτὸν

---

3. πιστεύσωμεν T] -σομεν. | καὶ Rich.] ὡς, ὁ Heind., ὃς — ἦν Cob. | 16. παραγενόμενος abundat. Num genuinum est? | 17. ἐκεῖνον Rich.] ἐκεῖνος. | 30. ταύτας cum B om. Sch. | 31. πίθῃ] πείθῃ codd. et vulgo.

C *ἀναβιώσασθαι. κἄγωγ' ἄν, | εἰ σὺ εἴην καί με διαφεύγοι ὁ λόγος, ἔνορκον ἂν ποιησαίμην ὥσπερ Ἀργεῖοι, μὴ πρότερον κομήσειν, πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Σιμμίου τε καὶ Κέβητος λόγον.' 'ἀλλ',' ἦ δ' ἐγώ, 'πρὸς δύο [λέγεται] οὐδ' [ὁ] Ἡρακλῆς [οἷός τ' εἶναι].' 'ἀλλὰ κἀμέ,' ἔφη, 'τὸν Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστιν.' 'παρακαλῶ τοίνυν,' ἔφην, 'οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως [τὸν Ἡρακλῆ].' 'οὐδὲν διοίσει,' ἔφη.*

XXXIX. *'Ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν.' 'τὸ ποῖον;' ἦν δ' ἐγώ. 'μὴ γενώμεθα,' ἦ δ' ὅς, |*
D *'μισόλογοι, ὥσπερ οἱ μισάνθρωποι γιγνόμενοι· ὡς οὐκ ἔστιν,' ἔφη, 'ὅ τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. γίγνεται δ' ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί τ' ἀληθῆ εἶναι καὶ ὑγιᾶ καὶ πιστὸν τὸν ἄνθρωπον, ἔπειτ' ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον καὶ αὖθις ἕτερον· καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις καὶ ὑπὸ τούτων μάλιστα,*
E *οὓς ἂν ἡγήσαιτ' οἰκειοτάτους τε καὶ ἑταιροτάτους, | τελευτῶν δὴ θαμὰ προσκρούων μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τὸ παράπαν. ἢ οὐκ ᾔσθησαι σύ πω τοῦτο γιγνόμενον;' 'πάνυ γε,' ἦν δ' ἐγώ. 'οὔκουν,' ἦ δ' ὅς, 'αἰσχρόν, καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς περὶ τἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπεχείρει τοῖς ἀνθρώποις; εἰ γάρ που μετὰ τέχνης ἐχρῆτο, ὥσπερ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν*
90 *χρηστοὺς καὶ πονηροὺς | σφόδρ' ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλείστους.' 'πῶς λέγεις;' ἔφην ἐγώ. 'ὥσπερ,' ἦ δ' ὅς, 'περὶ τῶν σφόδρα σμικρῶν καὶ μεγάλων· οἴει τι σπανιώτερον εἶναι ἢ σφόδρα μέγαν ἢ σφόδρα σμικρὸν ἐξευρεῖν ἄνθρωπον ἢ κύνα ἢ ἄλλ' ὁτιοῦν; ἢ αὖ ταχὺν ἢ βραδὺν ἢ αἰσχρὸν ἢ καλὸν ἢ λευκὸν ἢ μέλανα; ἢ οὐκ ᾔσθησαι, ὅτι πάντων τῶν τοιούτων τὰ μὲν ἄκρα τῶν ἐσχάτων σπάνια καὶ ὀλίγα, τὰ δὲ μεταξὺ ἄφθονα καὶ πολλά;' 'πάνυ γε,' ἦν δ'*

---

2. *Ἀργεῖοι.* Vid. Herod. I, 82. | 4. sqq. emblemata del. Hir. De fabula cf. Euthyd. 297 C. | 7. *τὸν Ἡρακλῆ* del. Cob. | 13. *μισῆσαι*? Sed *ἢ — μισήσας* abesse malim. | 16. *ὑγιᾶ* dedi pro *ὑγιῆ*. | 21. *πω* om. B (Sch.), *οὔπω* T, *οὕτω* Stob.

ἐγώ. ‘οὔκουν οἴει,’ ἔφη, ‘εἰ πονηρίας | ἀγὼν προτεθείη, πάνυ B
ἂν ὀλίγους κἀνταῦθα τοὺς πρώτους φανῆναι;’ ‘εἰκός γε,’
ἦν δ’ ἐγώ. ‘εἰκὸς γάρ,’ ἔφη. ‘ἀλλὰ ταύτῃ μὲν οὐχ ὅμοιοι οἱ
λόγοι τοῖς ἀνθρώποις, ἀλλὰ σοῦ νυνδὴ προάγοντος ἐγὼ
ἐφεσπόμην, ἀλλ’ ἐκείνῃ· [ᾖ] ἐπειδάν τις πιστεύσῃ λόγῳ τινὶ
ἀληθεῖ εἶναι ἄνευ τῆς περὶ τοὺς λόγους τέχνης, κἄπειτ’ ὀλίγον
ὕστερον αὐτῷ δόξῃ ψευδὴς εἶναι, ἐνίοτε μὲν ὤν, ἐνίοτε δ’
οὐκ ὤν, καὶ αὖθις ἕτερος καὶ ἕτερος· καὶ μάλιστα δὴ οἱ
περὶ τοὺς ἀντιλογικοὺς λόγους | διατρίψαντες οἶσθ’ ὅτι τελευ- C
τῶντες οἴονται σοφώτατοι γεγονέναι τε καὶ κατανενοηκέναι
μόνοι, ὅτι οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ
βέβαιον οὔτε τῶν λόγων, ἀλλὰ πάντα [ὄντα] ἀτεχνῶς ὥσπερ
ἐν Εὐρίπῳ ἄνω κάτω στρέφεται καὶ χρόνον οὐδέν’ ἐν οὐδενὶ
μένει.’ ‘πάνυ μὲν οὖν,’ ἔφην ἐγώ, ‘ἀληθῆ λέγεις.’ ‘οὔκουν,
ὦ Φαίδων,’ ἔφη, ‘οἰκτρὸν ἂν εἴη τὸ πάθος, εἰ ὄντος δή
τινος ἀληθοῦς καὶ βεβαίου λόγου καὶ δυνατοῦ κατανοῆσαι,
ἔπειτα διὰ | τὸ παραγίγνεσθαι τοιούτοις τισὶ λόγοις τοῖς αὐτοῖς D
τότε μὲν δοκοῦσιν ἀληθέσιν εἶναι, τότε δὲ μή, μὴ ἑαυτόν
τις αἰτιῷτο μηδὲ τὴν ἑαυτοῦ ἀτεχνίαν, ἀλλὰ τελευτῶν διὰ τὸ
ἀλγεῖν ἄσμενος ἐπὶ τοὺς λόγους ἀφ’ ἑαυτου τὴν αἰτίαν ἀπώ-
σαιτο καὶ ἤδη τὸν λοιπὸν βίον μισῶν τε καὶ λοιδορῶν [τοὺς
λόγους] διατελοίη, τῶν δ’ ὄντων τῆς ἀληθείας τε καὶ ἐπιστή-
μης στερηθείη.’ ‘νὴ τὸν Δία,’ ἦν δ’ ἐγώ, ‘οἰκτρὸν δῆτα.’

XL. *‘Πρῶτον μὲν τοίνυν,’ ἔφη, ‘τοῦτ’ εὐλαβηθῶμεν καὶ*
μὴ παρίωμεν εἰς τὴν | ψυχήν, ὡς τῶν λόγων κινδυνεύει E
οὐδὲν ὑγιὲς εἶναι, ἀλλὰ πολὺ μᾶλλον, ὅτι ἡμεῖς οὔπω ὑγιῶς
ἔχομεν, ἀλλ’ ἀνδριστέον καὶ προθυμητέον ὑγιῶς ἔχειν, σοὶ
μὲν [οὖν] καὶ τοῖς ἄλλοις καὶ τοῦ ἔπειτα βίου παντὸς ἕνεκα,
ἐμοὶ δ’ αὐτοῦ ἕνεκα τοῦ | θανάτου· ὡς κινδυνεύω ἔγωγ’ ἐν 91
τῷ παρόντι περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν, ἀλλ’
ὥσπερ οἱ πάνυ ἀπαίδευτοι φιλονίκως. καὶ γὰρ ἐκεῖνοι ὅταν
περί του ἀμφισβητῶσιν, ὅπῃ μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος

---

5. *ᾖ* del. Madv. | 9. alludi videtur ad Antisthenem. Cf. Soph. 251 C. | 12. *ὄντα* (al. *τὰ ὄντα*) del. Burn. | 13. *ἄνω καὶ κάτω* cum B Sch. | 17. *τοιουτοισὶ τισὶ* TB, *τισὶ* punctis not. T. e cod. quodam corr. Bekk., *τοιούτοις λόγοις, οἵοις* Liebhold. | 28. *οὖν* del. Stallb. | 31. *φιλονείκως* de more codd. et edd.

[διὰ] τούτου σκοπεῖσθαι τὰ ὄντα, ἀλλὰ μὴ αὐτὴν δι' αὐτῆς,
καὶ ἐν πάσῃ ἀμαθίᾳ καλινδουμένην, καὶ τοῦ εἱργμοῦ τὴν
δεινότητα κατιδοῦσ' ὅτι δι' ἐπιθυμίας ἐστιν, ὡς ἂν μάλιστ'
83 αὐτὸς ὁ δεδεμένος συλλήπτωρ εἴη τοῦ | δεδέσθαι, — ὅπερ
οὖν λέγω, γιγνώσκουσιν οἱ φιλομαθεῖς, ὅτι οὕτω παραλα-
βοῦσ' ἡ φιλοσοφία ἔχουσαν αὐτῶν τὴν ψυχὴν ἠρέμα παρα-
μυθεῖται καὶ λύειν ἐπιχειρεῖ, ἐνδεικνυμένη, ὅτι ἀπάτης μὲν
μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις, ἀπάτης δ' ἡ διὰ τῶν
ὤτων καὶ τῶν ἄλλων αἰσθήσεων, πείθουσα δ' ἐκ τούτων
μὲν ἀναχωρεῖν, ὅσον μὴ ἀνάγκη [αὐτοῖς] χρῆσθαι, αὐτὴν
δ' εἰς αὐτὴν συλλέγεσθαι καὶ ἁθροίζεσθαι παρακελευομένη,
πιστεύειν δὲ μηδενὶ ἄλλῳ ἀλλ' ἢ αὐτὴν αὐτῇ, ὅ τι ἂν νοήσῃ
B | αὐτὴ καθ' αὑτὴν αὐτὸ καθ' αὑτὸ τῶν ὄντων· ὅ τι δ' ἂν
δι' ἄλλων σκοπῇ ἐν ἄλλοις ὂν ἄλλο, μηδὲν ἡγεῖσθαι ἀληθές·
εἶναι δὲ τὸ μὲν τοιοῦτον αἰσθητόν τε καὶ ὁρατόν, ὃ δ' αὐτὴ
ὁρᾷ νοητόν τε καὶ ἀιδές. ταύτῃ οὖν τῇ λύσει οὐκ οἰομένη
δεῖν ἐναντιοῦσθαι ἡ τοῦ ὡς ἀληθῶς φιλοσόφου ψυχὴ οὕτως
ἀπέχεται τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ λυπῶν [καὶ φόβων],
καθ' ὅσον δύναται, λογιζομένη, ὅτι, ἐπειδάν τις σφόδρ' ἡσθῇ
ἢ λυπηθῇ ἢ θορυβηθῇ ἢ ἐπιθυμήσῃ, οὐδὲν τοσοῦτον κακὸν
ἔπαθεν ὑπ' αὐτῶν ὧν ἄν τις οἰηθείη, οἷον ἢ νοσήσας ἤ τι
C | ἀναλώσας διὰ τὰς ἐπιθυμίας, ἀλλ' ὃ πάντων μέγιστόν τε
κακῶν καὶ ἔσχατόν ἐστι, τοῦτο πάσχει καὶ οὐ λογίζεται αὐτό.'
τί τοῦτο, ὦ Σώκρατες;' ἔφη ὁ Κέβης. 'ὅτι ψυχὴ παντὸς
ἀνθρώπου ἀναγκάζεται ἅμα θ' ἡσθῆναι σφόδρ' ἢ λυπηθῆναι
ἐπί τῳ καὶ ἡγεῖσθαι, περὶ ὃ ἂν μάλιστα τοῦτο πάσχῃ, τοῦτ'
ἐναργέστατόν τ' εἶναι καὶ ἀληθέστατον, οὐχ οὕτως ἔχον·
ταῦτα δὲ μάλιστα ⟨τὰ⟩ ὁρατά· ἢ οὔ;' 'πάνυ γε.' 'οὐκοῦν ἐν
D τούτῳ τῷ πάθει μάλιστα | καταδεῖται ψυχὴ ὑπὸ σώματος;'
'πῶς δή;' 'ὅτι ἑκάστη ἡδονὴ καὶ λύπη ὥσπερ ἧλον ἔχουσα
προσηλοῖ αὐτὴν πρὸς τὸ σῶμα καὶ προσπερονᾷ καὶ ποιεῖ
σωματοειδῆ, δοξάζουσαν ταῦτ' ἀληθῆ εἶναι, ἅπερ ἂν καὶ τὸ

---

1. διὰ del. Cob. | 2. κυλινδουμένην codd. Correxi. | 10. αὐτοῖς om. Ars., del. Burn. | 11. παρακελευομένη abesse poterat. | 13. ὅταν, inserto τι post ἄλλο Ars. Recepit Burn. | 18. καὶ φόβων om. T et Ars. et Iambl. | 20. κακῶν T et Iambl.] κακόν. | 25. σφόδρα ante ἢ Ars.] post λυπ. codd. et edd.

σῶμα φῇ. ἐκ γὰρ τοῦ ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς αὐτοῖς
χαίρειν ἀναγκάζεται, οἶμαι, ὁμότροπός τε καὶ ὁμότροφος
γίγνεσθαι καὶ οἵα μηδέποτ' εἰς Ἅιδου καθαρὰ ἀφικέσθαι,
ἀλλ' ἀεὶ τοῦ σώματος ἀναπλέα ἐξιέναι, ὥστε ταχὺ πάλιν
πίπτειν εἰς ἄλλο σῶμα καὶ ὥσπερ σπειρομένη ἐμφύεσθαι,
καὶ ἐκ | τούτων ἄμοιρος εἶναι τῆς τοῦ θείου τε καὶ καθαροῦ E
καὶ μονοειδοῦς συνουσίας.' 'ἀληθέστατα,' ἔφη, 'λέγεις,' ὁ
Κέβης, 'ὦ Σώκρατες.'

XXXIV. 'Τούτων τοίνυν ἕνεκα, ὦ Κέβης, οἱ δικαίως
φιλομαθεῖς κόσμιοί εἰσι καὶ ἀνδρεῖοι, οὐχ ὧν οἱ πολλοὶ
ἕνεκά [φασιν]· ἢ σὺ οἴει;' | 'οὐ δῆτ' ἔγωγε.' 'οὐ γάρ, ἀλλ' 84
οὕτω λογίσαιτ' ἂν ψυχὴ ἀνδρὸς φιλοσόφου, καὶ οὐκ ἂν
οἰηθείη τὴν μὲν φιλοσοφίαν χρῆναι ἑαυτὴν λύειν, λυούσης δ'
ἐκείνης αὐτὴν [παραδιδόναι] ταῖς ἡδοναῖς καὶ λύπαις ἑαυτὴν
πάλιν αὖ ἐγκαταδεῖν καὶ ἀνήνυτον ἔργον πράττειν Πηνελόπης
τιν' ἐναντίως ἱστὸν μεταχειριζομένη, ἀλλὰ γαλήνην τούτων
παρασκευάζουσα, ἑπομένη τῷ λογισμῷ καὶ ἀεὶ ἐν τούτῳ
οὖσα, τἀληθὲς καὶ [τὸ] θεῖον καὶ [τὸ] ἀδόξαστον θεωμένη
καὶ ὑπ' ἐκείνου τρεφομένη, | ζῆν τ' οἴεται οὕτω δεῖν, ἕως B
ἂν ζῇ, καὶ ἐπειδὰν τελευτήσῃ, εἰς τὸ ξυγγενὲς [καὶ εἰς τὸ
τοιοῦτον] ἀφικομένη ἀπηλλάχθαι τῶν ἀνθρωπίνων κακῶν.
ἐκ δὴ τῆς τοιαύτης τροφῆς οὐδὲν δεινόν, μὴ [φοβηθῇ,
ταῦτα δ' ἐπιτηδεύσασα], ὦ Σιμμία τε καὶ Κέβης, [ὅπως μὴ]
διασπασθεῖσ' ἐν τῇ ἀπαλλαγῇ τοῦ σώματος ὑπὸ τῶν ἀνέμων
διαφυσηθεῖσα καὶ διαπτομένη οἴχηται καὶ οὐδὲν ἔτι οὐδα-
μοῦ ᾖ.'

XXXV. Σιγὴ οὖν ἐγένετο ταῦτ' εἰπόντος τοῦ | Σωκρά- C
τους ἐπὶ πολὺν χρόνον, καὶ αὐτός τε πρὸς τῷ εἰρημένῳ
λόγῳ ἦν [ὁ Σωκράτης], ὡς ἰδεῖν ἐφαίνετο, καὶ ἡμῶν οἱ
πλεῖστοι. Κέβης δὲ καὶ Σιμμίας σμικρὸν πρὸς ἀλλήλω διε-
λεγέσθην· καὶ ὁ Σωκράτης ἰδὼν αὐτὼ ἤρετο· 'τί;' ἔφη,
'ὑμῖν τὰ λεχθέντα μῶν [μὴ] δοκεῖ ἐνδεῶς λέγεσθαι; πολλὰς

---

2. ὁμοτροφος — ὁμότροπος Ars. | 3. καθαρὰ Heind.] καθαρῶς. | 11. φασιν om. Ars. | 14. παραδιδόναι del. Madv. | 16. μεταχειριζομένη Peipers] —μένης BTArs., — μένην vulgo. | 18. τὸ bis om. Ars. | 19. δεῖν οὕτω Ars. | 20 sq. seclusi emblema. | 28. Nomen del. Nab. | 31. μὴ del. Tournier.

γὰρ δὴ ἔτι ἔχει ὑποψίας καὶ ἀντιλαβάς, εἴ γε δή τις αὐτὰ μέλλει ἱκανῶς διεξιέναι. εἰ μὲν οὖν τι ἄλλο σκοπεῖσθον, οὐδὲν λέγω· εἰ δέ τι περὶ τούτων ἀπορεῖτον, μηδὲν ἀποκνήσητε D καὶ αὐτοὶ εἰπεῖν καὶ | διελθεῖν, εἴ πῃ ὑμῖν φαίνεται βέλτιον ⟨ἂν⟩ λεχθῆναι, καὶ αὖ κἀμὲ συμπαραλαβεῖν, εἴ τι μᾶλλον οἴεσθε μετ' ἐμοῦ εὐπορήσειν.' καὶ ὁ Σιμμίας ἔφη· 'καὶ μήν, ὦ Σώκρατες, τἀληθῆ σοι ἐρῶ. πάλαι γὰρ ἡμῶν ἑκάτερος ἀπορῶν τὸν ἕτερον προωθεῖ καὶ κελεύει ἐρέσθαι διὰ τὸ ἐπιθυμεῖν μὲν ἀκοῦσαι, ὀκνεῖν δ' ὄχλον παρέχειν, μή σοι ἀηδὲς ᾖ διὰ τὴν παροῦσαν συμφοράν.' καὶ ὃς ἀκούσας ἐγέλασέν τ' ἠρέμα καί φησιν· 'βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς E ἂν τοὺς ἄλλους | ἀνθρώπους πείσαιμι, ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ' ὑμᾶς δύναμαι πείθειν, ἀλλὰ φοβεῖσθε, μὴ δυσκολώτερόν τι νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ· καί, ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἵ, ἐπειδὰν αἴσθωνται, ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ, 85 τότε δὴ | πλεῖστα καὶ κάλλιστ' ᾄδουσι, γεγηθότες, ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗπέρ εἰσι θεράποντες. οἱ δ' ἄνθρωποι διὰ τὸ αὐτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται, καί φασιν αὐτοὺς θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν, καὶ οὐ λογίζονται, ὅτι οὐδὲν ὄρνεον ᾄδει, ὅταν πεινῇ ἢ ῥιγῷ ἤ τιν' ἄλλην λύπην λυπῆται, οὐδ' αὐτὴ ἥ τ' ἀηδὼν καὶ ⟨ἡ⟩ χελιδὼν καὶ ὁ ἔποψ, ἃ δή φασι διὰ λύπην θρηνοῦντ' ᾄδειν· ἀλλ' οὔτε ταῦτά μοι φαίνεται λυπού-B μενα ᾄδειν οὔθ' οἱ κύκνοι, ἀλλ' ἅτε, οἶμαι, | τοῦ Ἀπόλλωνος ὄντες μαντικοί τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγάθ' ᾄδουσι καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως [ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ]. ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τ' εἶναι τῶν κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ χείρω ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ βίου ἀπαλλάττεσθαι. ἀλλὰ τούτου γ' ἕνεκα λέγειν τε χρὴ καὶ ἐρωτᾶν ὅ τι ἂν βούλησθε,

---

18. κάλλιστα Blomf.] μάλιστα BTStob., al. μέγιστα, unde Burn. μέγιστον. | 23. addidi ἡ. | 29. ἢ — χρόνῳ del. Hartm. | 32. οὐδὲ — ἀπαλλ. del. idem. Genuina videntur.

ἕως ἂν Ἀθηναίων ἐῶσιν ἄνδρες ἕνδεκα.' 'καλῶς,' ἔφη,
'λέγεις,' ὁ Σιμμίας· 'καὶ ἐγώ τε σοι ἐρῶ, ὃ | ἀπορῶ, καὶ C
αὖ ὅδε, ᾗ οὐκ ἀποδέχεται τὰ εἰρημένα. ἐμοὶ γὰρ δοκεῖ, ὦ
Σώκρατες, περὶ τῶν τοιούτων ἴσως ὥσπερ καὶ σοὶ τὸ μὲν
σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ ἢ ἀδύνατον εἶναι ἢ παγχάλεπόν
τι, τὸ μέντοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ οὐχὶ παντὶ
τρόπῳ ἐλέγχειν καὶ μὴ προαφίστασθαι, πρὶν ἂν πανταχῇ
σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός· δεῖν γὰρ
περὶ αὔτ' ἕν γέ τι τούτων διαπράξασθαι, ἢ μαθεῖν, ὅπῃ
ἔχει, ἢ εὑρεῖν ἤ, εἰ ταῦτ' ἀδύνατον, τὸν γοῦν βέλτιστον τῶν
ἀνθρωπίνων λόγων λαβόντα καὶ | δυσεξελεγκτότατον, ἐπὶ D
τούτου ὀχούμενον ὥσπερ ἐπὶ σχεδίας κινδυνεύοντα διαπλεῦσαι
τὸν βίον, εἰ μή τις δύναιτ' ἀσφαλέστερον καὶ ἀκινδυνότερον
ἐπὶ βεβαιοτέρου ὀχήματος [ἢ λόγου θείου τινὸς] διαπορευ-
θῆναι. καὶ δὴ καὶ νῦν ἔγωγ' οὐκέτ' αἰσχυνθήσομαι ἐρέσθαι,
ἐπειδὴ καὶ σὺ ταῦτα λέγεις, οὐδ' ἐμαυτὸν αἰτιάσομαι ἐν
ὑστέρῳ χρόνῳ, ὅτι νῦν οὐκ εἶπον, ἃ ἐμοὶ δοκεῖ. ἐμοὶ γάρ,
ὦ Σώκρατες, ἐπειδὴ καὶ πρὸς ἐμαυτὸν καὶ πρὸς τόνδε
σκοπῶ τὰ εἰρημένα, οὐ πάνυ φαίνεται ἱκανῶς εἰρῆσθαι.'

XXXVI. *Καὶ | ὁ Σωκράτης· 'ἴσως γάρ,' ἔφη, 'ὦ ἑταῖρε,* E
ἀληθῆ σοι φαίνεται· ἀλλὰ λέγε, ὅπῃ δὴ οὐχ ἱκανῶς.' 'ταύτῃ
ἔμοιγε,' ἦ δ' ὅς, 'ᾗ δὴ καὶ περὶ ἁρμονίας ἄν τις καὶ λύρας
τε καὶ χορδῶν τὸν αὐτὸν τοῦτον λόγον εἴποι, ὡς ἡ μὲν
ἁρμονία ἀόρατον καὶ ἀσώματον καὶ πάγκαλόν τι καὶ θεῖόν
ἐστιν ἐν τῇ ἡρμοσμένῃ λύρᾳ, | αὐτὴ δ' ἡ λύρα καὶ αἱ χορδαὶ 86
σώματά τε καὶ σωματοειδῆ καὶ σύνθετα καὶ γεώδη ἐστὶ καὶ
τοῦ θνητοῦ συγγενῆ. ἐπειδὰν οὖν ἢ κατάξῃ τις τὴν λύραν ἢ
[διατέμῃ] διαρρήξῃ τὰς χορδάς, εἴ τις διισχυρίζοιτο τῷ αὐτῷ
λόγῳ ᾧπερ σύ, ὡς ἀνάγκη ἔτι εἶναι τὴν ἁρμονίαν ἐκείνην
καὶ μὴ ἀπολωλέναι· οὐδεμία γὰρ μηχανὴ ἂν εἴη τὴν μὲν
λύραν ἔτι εἶναι [διερρωγυιῶν τῶν χορδῶν] καὶ τὰς χορδὰς
θνητοειδεῖς οὔσας, τὴν δ' ἁρμονίαν ἀπολωλέναι τὴν τοῦ

---

1. *ἕως — ἕνδεκα* del. Sch. | 2. *ἐγώ τε* T] *ἔγωγε* B. | 14. *ἢ* del. Heind., *ἢ — τινὸς* iure suspectat Burn. | 15. *οὐκέτι αἰσχ.* Baum.] *οὐκ ἐπαισχ.* | 24. *ἀόρατον τι* B. | 28. *ἢ* T] *καὶ* B, *ἢ καὶ* D. | *διατέμῃ* del. Sch.; an [*διαρρήζῃ*]? | 29. *ᾧπερ* For.] *ὥσπερ*.

B θείου τε καὶ ἀθανάτου ὁμοφυᾶ | τε καὶ συγγενῆ, προτέραν τοῦ θνητοῦ ἀπολομένην· ἀλλὰ [φαίη] ἀνάγκη ἔτι που εἶναι αὐτὴν τὴν ἁρμονίαν, καὶ πρότερον τὰ ξύλα καὶ τὰς χορδὰς κατασαπήσεσθαι, πρίν τι ἐκείνην παθεῖν· — καὶ γὰρ οὖν, ὦ Σώκρατες, οἶμαι ἔγωγε καὶ αὐτόν σε τοῦτ' ἐντεθυμῆσθαι, ὅτι τοιοῦτόν τι μάλισθ' ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι, ὥσπερ ἐντεταμένου τοῦ σώματος ἡμῶν καὶ συνεχομένου ὑπὸ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τοιούτων τινῶν, C κρᾶσιν εἶναι καὶ ἁρμονίαν αὐτῶν τούτων | τὴν ψυχὴν ἡμῶν, ἐπειδὰν ταῦτα καλῶς καὶ μετρίως κραθῇ πρὸς ἄλληλα — εἰ οὖν τυγχάνει ἡ ψυχὴ οὖσ' ἁρμονία τις, [δῆλον ὅτι,] ὅταν χαλασθῇ τὸ σῶμα [ἡμῶν] ἀμέτρως ἢ ἐπιταθῇ ὑπὸ νόσων καὶ ἄλλων κακῶν, τὴν μὲν ψυχὴν ἀνάγκην εὐθὺς ὑπάρχειν ἀπολωλέναι, καίπερ οὖσαν θειοτάτην, ὥσπερ καὶ αἱ ἄλλαι ἁρμονίαι αἵ τ' ἐν τοῖς φθόγγοις καὶ [αἱ] ἐν τοῖς τῶν δημιουργῶν ἔργοις πᾶσι, τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου D πολὺν χρόνον παραμένειν, ἕως ἂν ἢ κατακαυθῇ ἢ | κατασαπῇ — ὅρα οὖν πρὸς τοῦτον τὸν λόγον τί φήσομεν, ἐάν τις ἀξιοῖ κρᾶσιν οὖσαν τὴν ψυχὴν τῶν ἐν τῷ καλουμένῳ θανάτῳ πρώτην ἀπόλλυσθαι.'

XXXVII. Διαβλέψας οὖν ὁ Σωκράτης, ὥσπερ τὰ πόλλ' εἰώθει, καὶ μειδιάσας· 'δίκαια μέντοι,' ἔφη, 'λέγει ὁ Σιμμίας. εἰ οὖν τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο; καὶ γὰρ οὐ φαύλως ἔοικεν ἁπτομένῳ τοῦ λόγου. δοκεῖ μέντοι E μοι χρῆναι πρὸ | τῆς ἀποκρίσεως ἔτι πρότερον Κέβητος ἀκοῦσαι, τί αὖ ὅδ' ἐγκαλεῖ τῷ λόγῳ, ἵνα χρόνου ἐγγενομένου βουλευσώμεθα, τί ἐροῦμεν, ἔπειτα [δὲ] ἀκούσαντας [ἢ] συγχωρεῖν αὐτοῖς, ἐάν τι δοκῶσι προσᾴδειν, ἐὰν δὲ μή, οὕτως ἤδη ὑπερδικεῖν τοῦ λόγου. ἀλλ' ἄγε,' ἦ δ' ὅς, 'ὦ Κέβης, λέγε, τί ἦν τὸ σ' αὖ θρᾶττον [ἀπιστίαν παρέχει].' 'λέγω δή,' ἦ δ' ὃς [ὁ Κέβης]. 'ἐμοὶ γὰρ φαίνεται ἔτι ἐν τῷ

---

1. ὁμοφυᾶ vH.] ὁμοφυῆ. Cf. Meist. p. 150, 11. | 2. φαίη del. Cob., ἂν add. Rich., ἀνάγκῃ coni. Baiter. | 11. δῆλον ὅτι del. Burn. | 12. ἡμῶν delevi cum T et Burn. | 13. ἀνάγκην rec. T.] ἀνάγκη. — ὑπάρχειν BT] ὑπάρχει. Sequor Burn. | 15. αἱ add. B. | 27. δὲ om. T, del. Burn. | ἢ del. Hir. | 31. delevi nomen.

*αὐτῷ ὁ λόγος εἶναι, καί, ὅπερ ἐν τοῖς πρόσθεν ἐλέγομεν,
ταὐτὸν ἔγκλημα ἔχειν. | ὅτι μὲν γὰρ ἦν ἡμῶν ἡ ψυχὴ καὶ* 87
*πρὶν εἰς τόδε τὸ εἶδος ἐλθεῖν, οὐκ ἀνατίθεμαι μὴ οὐχὶ πάνυ
χαριέντως καί, εἰ μὴ ἐπαχθές ἐστιν εἰπεῖν, πάνυ ἱκανῶς
ἀποδεδεῖχθαι· ὡς δὲ καὶ ἀποθανόντων ἡμῶν ἔτι που ἔσται,
οὔ μοι δοκεῖ τῇδε. ὡς μὲν οὐκ ἰσχυρότερον καὶ πολυχρο-
νιώτερον ψυχὴ σώματος, οὐ συγχωρῶ τῇ Σιμμίου ἀντιλήψει·
δοκεῖ γάρ μοι πᾶσι τούτοις πάνυ πολὺ διαφέρειν. τί οὖν, ἂν
φαίη ὁ λόγος, ἔτι ἀπιστεῖς, ἐπειδὴ ὁρᾷς ἀποθανόντος τοῦ
ἀνθρώπου τό γ' ἀσθενέστερον ἔτι ὄν; τὸ δὲ | πολυχρονιώτερον* B
*οὐ δοκεῖ σοι ἀναγκαῖον εἶναι ἔτι σῴζεσθαι ἐν τούτῳ τῷ
χρόνῳ; πρὸς δὴ τοῦτο τόδε ἐπίσκεψαι, εἰ τὶ λέγω· εἰκόνος
γάρ τινος, ὡς ἔοικεν, κἀγὼ ὥσπερ Σιμμίας δέομαι. ἐμοὶ
γὰρ δοκεῖ ὁμοίως λέγεσθαι ταῦτα, ὥσπερ ἂν ⟨εἴ⟩ τις περὶ
[ἀνθρώπου] ὑφάντου πρεσβύτου ἀποθανόντος λέγοι [τοῦτον
τὸν λόγον], ὅτι οὐκ ἀπόλωλεν ἄνθρωπος, ἀλλ' ἔστι που σῶς,
τεκμήριον δὲ παρέχοιτο θοἰμάτιον, ὃ ἠμπείχετ' αὐτὸς ὑφη-
νάμενος, ὅτι ἐστὶ σῶν καὶ οὐκ ἀπόλωλεν, καὶ εἴ τις ἀπιστοίη
αὐτῷ, ἀνερωτῴη, πότερον | πολυχρονιώτερόν ἐστι τὸ γένος* C
*ἀνθρώπου ἢ ἱματίου ἐν χρείᾳ τ' ὄντος καὶ φορουμένου,
ἀποκριναμένου δέ [τινος], ὅτι πολὺ τὸ τοῦ ἀνθρώπου, οἴοιτ'
ἀποδεδεῖχθαι, ὅτι παντὸς ἄρα μᾶλλον ὅ γ' ἄνθρωπος σῶς
ἔστιν, ἐπειδὴ τό γ' ὀλιγοχρονιώτερον οὐκ ἀπόλωλεν. τὸ δ',
οἶμαι, ὦ Σιμμία, οὐχ οὕτως ἔχει· σκόπει γὰρ καὶ σύ, ἃ λέγω.
πᾶς [γὰρ] ἂν ὑποβάλοι, ὅτι εὔηθες λέγει ὁ τοῦτο λέγων·
ὁ γὰρ ὑφάντης οὗτος πολλὰ κατατρίψας τοιαῦθ' ἱμάτια καὶ
ὑφηνάμενος ἐκείνων μὲν ὕστερος ἀπόλωλεν πολλῶν ὄντων,
τοῦ δὲ | τελευταίου, οἶμαι, πρότερος, καὶ οὐδέν τι μᾶλλον* D
*τούτου ἕνεκ' ἄνθρωπός ἐστιν ἱματίου φαυλότερον οὐδ' ἀσθε-
νέστερον. τὴν αὐτὴν δέ, οἶμαι, εἰκόνα δέξαιτ' ἂν ψυχὴ πρὸς
σῶμα, καί τις λέγων αὐτὰ ταῦτα περὶ αὐτῶν μέτρι' ἄν μοι
φαίνοιτο λέγειν, ὡς ἡ μὲν ψυχὴ πολυχρόνιόν ἐστι, τὸ δὲ
σῶμα ἀσθενέστερον καὶ ὀλιγοχρονιώτερον· ἀλλὰ γὰρ ἂν φαίη*

---

8 sq. *φαίη ἄν*? | 12. *εἰ τὶ* vH] *εἴ τι*. | 14. *ἂν ⟨εἴ⟩* vH] *ἄν*. Delevi *ἀνθρώπου*. | 15. *τοῦτον] τόνδε*? an delendum *τοῦτον τὸν λόγον*? | 21. *τινος* del. Burn. | 26. *γὰρ* om. TD.

*ἑκάστην τῶν ψυχῶν πολλὰ σώματα κατατρίβειν, ἄλλως τε
καὶ εἰ πόλλ' ἔτη βιοίη· εἰ γὰρ ῥέοι τὸ σῶμα καὶ ἀπολλύοιτο*
E *ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἀλλ' ἡ ψυχὴ ἀεὶ τὸ | κατατριβό-
μενον ἀνυφαίνοι, ἀναγκαῖον μεντἂν εἴη, ὁπότ' ἀπολλύοιτο
ἡ ψυχή, τὸ τελευταῖον ὕφασμα τυχεῖν αὐτὴν ἔχουσαν καὶ
τούτου μόνου προτέραν ἀπόλλυσθαι, ἀπολομένης δὲ τῆς
ψυχῆς τότ' ἤδη τὴν φύσιν τῆς ἀσθενείας ἐπιδεικνύοι τὸ σῶμα
καὶ ταχὺ σαπὲν διοίχοιτο. ὥστε τούτῳ τῷ λόγῳ οὔπω ἄξιον
πιστεύσαντα θαρρεῖν, ὡς, ἐπειδὰν ἀποθάνωμεν, ἔτι που ἡμῶν*
88 *ἡ ψυχὴ ἔστιν. | εἰ γάρ τις καὶ πλέον ἔτι τῷ λέγοντι, [ἢ] ἃ
σὺ λέγεις, συγχωρήσειεν, δοὺς αὐτῷ μὴ μόνον ἐν τῷ πρὶν
καὶ γενέσθαι ἡμᾶς χρόνῳ εἶναι ἡμῶν τὰς ψυχάς, ἀλλὰ μηδὲν
κωλύειν, καὶ ἐπειδὰν ἀποθάνωμεν, ἐνίων ἔτι εἶναι καὶ ἔσεσθαι
καὶ πολλάκις γενήσεσθαι καὶ ἀποθανεῖσθαι αὖθις· οὕτω γὰρ
αὐτὸ φύσει ἰσχυρὸν εἶναι, ὥστε πολλάκις γιγνομένην ψυχὴν
ἀντέχειν· δοὺς δὲ ταῦτ' ἐκεῖνο μηκέτι συγχωροίη, μὴ οὐ
πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσιν καὶ τελευτῶσάν γ' ἔν
τινι τῶν θανάτων παντάπασιν ἀπόλλυσθαι· τοῦτον δὲ τὸν*
B *θάνατον καὶ ταύτην τὴν | διάλυσιν τοῦ σώματος, ἣ τῇ ψυχῇ
φέρει ὄλεθρον, μηδένα φαίη εἰδέναι· ἀδύνατον γὰρ εἶναι
ὁτῳοῦν αἰσθάνεσθαι ἡμῶν· εἰ δὲ τοῦθ' οὕτως ἔχει, οὐδενὶ
προσήκει θάνατον θαρροῦντι μὴ οὐκ ἀνοήτως θαρρεῖν, ὃς
ἂν μὴ ἔχῃ ἀποδεῖξαι, ὅτι ἔστι ψυχὴ παντάπασιν ἀθάνατόν
τε καὶ ἀνώλεθρον· εἰ δὲ μή, ἀνάγκη [εἶναι] ἀεὶ τὸν μέλλοντ'
ἀποθανεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὑτοῦ ψυχῆς, μὴ ἐν τῇ νῦν
τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται.'*

XXXVIII. *Πάντες οὖν ἀκούσαντες εἰπόντων αὐτῶν |*
C *ἀηδῶς διετέθημεν, ὡς ὕστερον ἐλέγομεν πρὸς ἀλλήλους,
ὅτι ὑπὸ τοῦ ἔμπροσθεν λόγου σφόδρα πεπεισμένους ἡμᾶς
πάλιν ἐδόκουν ἀναταράξαι καὶ εἰς ἀπιστίαν καταβαλεῖν οὐ
μόνον τοῖς προειρημένοις λόγοις, ἀλλὰ καὶ εἰς τὰ ὕστερον
μέλλοντα ῥηθήσεσθαι, μὴ οὐδενὸς ἄξιοι εἶμεν κριταὶ ἢ καὶ
τὰ πράγματ' ἄπιστ' εἴη.*

---

2. *βιοίη* L. Rh. p. 39] *βιῴη* (*κἢν — βιῷ* T). | 10. *ἢ* cum Heind. del. Sch., *λέγεις* Liebhold. | 22. *προσήκειν* Steph. | 24. *ἀνάγκη* pr. TV] *ἀνάγκην* B Sch. Sequor Burn. | *εἶναι* om. V.

ΕΧ. Νὴ τοὺς θεούς, ὦ Φαίδων, συγγνώμην γ' ἔχω ὑμῖν.
καὶ γὰρ αὐτόν με νῦν ἀκούσαντά σου τοιοῦτόν τι λέγειν πρὸς
ἐμαυτὸν ἐπέρχεται· τίνι οὖν ἔτι | πιστεύσωμεν λόγῳ; καὶ γὰρ D
σφόδρα πιθανὸς ὤν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς
ἀπιστίαν καταπέπτωκεν. θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος
ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί, τὸ ἁρμονίαν τιν' ἡμῶν εἶναι
τὴν ψυχήν, καὶ ὥσπερ ὑπέμνησέν με ῥηθεὶς ὅτι καὶ αὐτῷ
μοι ταῦτα προὐδέδοκτο. καὶ πάνυ δέομαι πάλιν ὥσπερ ἐξ
ἀρχῆς ἄλλου τινὸς λόγου, ὅς με πείσει, ὡς τοῦ ἀποθανόντος
οὐ συναποθνήσκει ἡ ψυχή. λέγ' οὖν πρὸς Διός, πῇ ὁ Σω-
κράτης μετῆλθε τὸν λόγον; καὶ πότερον | κἀκεῖνος, ὥσπερ E
ὑμᾶς φῄς, ἔνδηλός τι ἐγένετ' ἀχθόμενος ἢ οὔ, ἀλλὰ πρᾴως
ἐβοήθει τῷ λόγῳ; καὶ ἱκανῶς ἐβοήθησεν ἢ ἐνδεῶς; πάνθ'
ἡμῖν δίελθε ὡς δύνασαι ἀκριβέστατα.

ΦΑΙΔ. Καὶ μήν, ὦ Ἐχέκρατες, πολλάκις θαυμάσας
Σωκράτη οὐ πώποτε μᾶλλον ἠγάσθην ἢ τότε παραγενόμενος.
τὸ | μὲν οὖν ἔχειν, ὅ τι λέγοι, ἐκεῖνον, ἴσως οὐδὲν ἄτοπον· 89
ἀλλ' ἔγωγε μάλιστ' ἐθαύμασ' αὐτοῦ πρῶτον μὲν τοῦτο, ὡς
ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμένως τῶν νεανίσκων τὸν λόγον
ἀπεδέξατο, ἔπειθ' ἡμῶν ὡς ὀξέως ᾔσθετο, ὃ ἐπεπόνθεμεν
ὑπὸ τῶν λόγων, ἔπειθ' ὡς εὖ ἡμᾶς ἰάσατο καὶ ὥσπερ πεφευ-
γότας καὶ ἡττημένους ἀνεκαλέσατο καὶ προὔτρεψεν πρὸς τὸ
παρέπεσθαί τε καὶ συσκοπεῖν τὸν λόγον.

ΕΧ. Πῶς δή;

ΦΑΙΔ. Ἐγὼ ἐρῶ. ἔτυχον γὰρ ἐν δεξιᾷ αὐτοῦ καθήμενος
παρὰ τὴν κλίνην ἐπὶ | χαμαιζήλου τινός, ὁ δ' ἐπὶ πολὺ B
ὑψηλοτέρου ἢ ἐγώ. καταψήσας οὖν μου τὴν κεφαλὴν καὶ
συμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας — εἰώθει γάρ, ὁπότε
τύχοι, παίζειν μου εἰς τὰς τρίχας — 'αὔριον δή,' ἔφη, 'ἴσως,
ὦ Φαίδων, τὰς καλὰς ταύτας κόμας ἀποκερεῖ.' 'ἔοικεν,' ἦν
δ' ἐγώ, 'ὦ Σώκρατες.' 'οὔκ, ἐάν γ' ἐμοὶ πίθῃ.' 'ἀλλὰ τί;'
ἦν δ' ἐγώ. 'τήμερον,' ἔφη, 'κἀγὼ τὰς ἐμὰς καὶ σὺ ταύτας,
ἐάνπερ γ' ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθ' αὐτὸν

3. πιστεύσωμεν T] -σομεν. | καὶ Rich.] ὡς, ὁ Heind., ὃς — ἦν Cob. | 16. παραγενόμενος abundat. Num genuinum est? | 17. ἐκεῖνον Rich.] ἐκεῖνος. | 30. ταύτας cum B om. Sch. | 31. πίθῃ] πείθῃ codd. et vulgo.

C *ἀναβιώσασθαι. κἄγωγ' ἄν, | εἰ σὺ εἴην καί με διαφεύγοι ὁ*
λόγος, ἔνορκον ἂν ποιησαίμην ὥσπερ Ἀργεῖοι, μὴ πρότερον
κομήσειν, πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Σιμμίου τε
καὶ Κέβητος λόγον.' 'ἀλλ',' ἦ δ' ἐγώ, 'πρὸς δύο [λέγεται]
οὐδ' [ὁ] Ἡρακλῆς [οἷός τ' εἶναι].' 'ἀλλὰ κἀμέ,' ἔφη, 'τὸν
Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστιν.' 'παρακαλῶ τοίνυν,'
ἔφην, 'οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως [τὸν Ἡρακλῆ].'
'οὐδὲν διοίσει,' ἔφη.

XXXIX. *'Ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πά-*
θωμεν.' 'τὸ ποῖον;' ἦν δ' ἐγώ. 'μὴ γενώμεθα,' ἦ δ' ὅς, |
D *'μισόλογοι, ὥσπερ οἱ μισάνθρωποι γιγνόμενοι· ὡς οὐκ ἔστιν,'*
ἔφη, 'ὅ τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους
μισήσας. γίγνεται δ' ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ
μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα
τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί τ' ἀληθῆ
εἶναι καὶ ὑγιᾶ καὶ πιστὸν τὸν ἄνθρωπον, ἔπειτ' ὀλίγον ὕστε-
ρον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον καὶ αὖθις ἕτερον·
καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις καὶ ὑπὸ τούτων μάλιστα,
E *οὓς ἂν ἡγήσαιτ' οἰκειοτάτους τε καὶ ἑταιροτάτους, | τελευτῶν*
δὴ θαμὰ προσκρούων μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς
οὐδὲν ὑγιὲς εἶναι τὸ παράπαν. ἢ οὐκ ᾔσθησαι σύ πω τοῦτο
γιγνόμενον;' 'πάνυ γε,' ἦν δ' ἐγώ. 'οὐκοῦν,' ἦ δ' ὅς,
'αἰσχρόν, καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς περὶ τἀνθρώπεια ὁ
τοιοῦτος χρῆσθαι ἐπεχείρει τοῖς ἀνθρώποις; εἰ γάρ που μετὰ
τέχνης ἐχρῆτο, ὥσπερ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν
90 *χρηστοὺς καὶ πονηροὺς | σφόδρ' ὀλίγους εἶναι ἑκατέρους,*
τοὺς δὲ μεταξὺ πλείστους.' 'πῶς λέγεις;' ἔφην ἐγώ. 'ὥσπερ,'
ἦ δ' ὅς, 'περὶ τῶν σφόδρα σμικρῶν καὶ μεγάλων· οἴει τι
σπανιώτερον εἶναι ἢ σφόδρα μέγαν ἢ σφόδρα σμικρὸν ἐξευ-
ρεῖν ἄνθρωπον ἢ κύνα ἢ ἄλλ' ὁτιοῦν; ἢ αὖ ταχὺν ἢ βραδὺν
ἢ αἰσχρὸν ἢ καλὸν ἢ λευκὸν ἢ μέλανα; ἢ οὐκ ᾔσθησαι, ὅτι
πάντων τῶν τοιούτων τὰ μὲν ἄκρα τῶν ἐσχάτων σπάνια καὶ
ὀλίγα, τὰ δὲ μεταξὺ ἄφθονα καὶ πολλά;' 'πάνυ γε,' ἦν δ'

---

2. *Ἀργεῖοι.* Vid. Herod. I, 82. | 4. sqq. emblemata del. Hir. De fabula cf. Euthyd. 297 C. | 7. *τὸν Ἡρακλῆ* del. Cob. | 13. *μισῆσαι?* Sed *ἢ — μισήσας* abesse malim. | 16. *ὑγιᾶ* dedi pro *ὑγιῆ.* | 21. *πω* om. B (Sch.), *οὔπω* T, *οὔτω* Stob.

ἐγώ. 'οὐκουν οἴει,' ἔφη, 'εἰ πονηρίας | ἀγὼν προτεθείη, πάνυ B
ἂν ὀλίγους κἀνταῦθα τοὺς πρώτους φανῆναι;' 'εἰκός γε,'
ἦν δ' ἐγώ. 'εἰκὸς γάρ,' ἔφη. 'ἀλλὰ ταύτῃ μὲν οὐχ ὅμοιοι οἱ
λόγοι τοῖς ἀνθρώποις, ἀλλὰ σοῦ νυνδὴ προάγοντος ἐγὼ
ἐφεσπόμην, ἀλλ' ἐκείνῃ· [ᾗ] ἐπειδάν τις πιστεύσῃ λόγῳ τινὶ
ἀληθεῖ εἶναι ἄνευ τῆς περὶ τοὺς λόγους τέχνης, κἄπειτ' ὀλίγον
ὕστερον αὐτῷ δόξῃ ψευδὴς εἶναι, ἐνίοτε μὲν ὤν, ἐνίοτε δ'
οὐκ ὤν, καὶ αὖθις ἕτερος καὶ ἕτερος· καὶ μάλιστα δὴ οἱ
περὶ τοὺς ἀντιλογικοὺς λόγους | διατρίψαντες οἶσθ' ὅτι τελευ- C
τῶντες οἴονται σοφώτατοι γεγονέναι τε καὶ κατανενοηκέναι
μόνοι, ὅτι οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ
βέβαιον οὔτε τῶν λόγων, ἀλλὰ πάντα [ὄντα] ἀτεχνῶς ὥσπερ
ἐν Εὐρίπῳ ἄνω κάτω στρέφεται καὶ χρόνον οὐδὲν ἐν οὐδενὶ
μένει.' 'πάνυ μὲν οὖν,' ἔφην ἐγώ, 'ἀληθῆ λέγεις.' 'οὔκουν,
ὦ Φαίδων,' ἔφη, 'οἰκτρὸν ἂν εἴη τὸ πάθος, εἰ ὄντος δή
τινος ἀληθοῦς καὶ βεβαίου λόγου καὶ δυνατοῦ κατανοῆσαι,
ἔπειτα διὰ | τὸ παραγίγνεσθαι τοιούτοις τισὶ λόγοις τοῖς αὐτοῖς D
τότε μὲν δοκοῦσιν ἀληθέσιν εἶναι, τότε δὲ μή, μὴ ἑαυτόν
τις αἰτιῷτο μηδὲ τὴν ἑαυτοῦ ἀτεχνίαν, ἀλλὰ τελευτῶν διὰ τὸ
ἀλγεῖν ἄσμενος ἐπὶ τοὺς λόγους ἀφ' ἑαυτου τὴν αἰτίαν ἀπώ-
σαιτο καὶ ἤδη τὸν λοιπὸν βίον μισῶν τε καὶ λοιδορῶν [τοὺς
λόγους] διατελοίη, τῶν δ' ὄντων τῆς ἀληθείας τε καὶ ἐπιστή-
μης στερηθείη.' 'νὴ τὸν Δία,' ἦν δ' ἐγώ, 'οἰκτρὸν δῆτα.'

XL. *'Πρῶτον μὲν τοίνυν,' ἔφη, 'τοῦτ' εὐλαβηθῶμεν καὶ*
μὴ παρίωμεν εἰς τὴν | ψυχήν, ὡς τῶν λόγων κινδυνεύει E
οὐδὲν ὑγιὲς εἶναι, ἀλλὰ πολὺ μᾶλλον, ὅτι ἡμεῖς οὔπω ὑγιῶς
ἔχομεν, ἀλλ' ἀνδριστέον καὶ προθυμητέον ὑγιῶς ἔχειν, σοὶ
μὲν [οὖν] καὶ τοῖς ἄλλοις καὶ τοῦ ἔπειτα βίου παντὸς ἕνεκα,
ἐμοὶ δ' αὐτοῦ ἕνεκα τοῦ | θανάτου· ὡς κινδυνεύω ἔγωγ' ἐν 91
τῷ παρόντι περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν, ἀλλ'
ὥσπερ οἱ πάνυ ἀπαίδευτοι φιλονίκως. καὶ γὰρ ἐκεῖνοι ὅταν
περί του ἀμφισβητῶσιν, ὅπῃ μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος

---

5. *ᾗ* del. Madv. | 9. alludi videtur ad Antisthenem. Cf. Soph. 251 C. | 12. *ὄντα* (al. *τὰ ὄντα*) del. Burn. | 13. *ἄνω καὶ κάτω* cum B Sch. | 17. *τοιουτοισὶ τισὶ* TB, *τισὶ* punctis not. T. e cod. quodam corr. Bekk., *τοιούτοις λόγοις*, *οἵοις* Liebhold. | 28. *οὖν* del. Stallb. | 31. *φιλονείκως* de more codd. et edd.

ᾖ, οὐ φροντίζουσιν, ὅπως δέ, ἃ αὐτοὶ ἔθεντο, ταῦτα δόξει τοῖς παροῦσιν, τοῦτο προθυμοῦνται. κἀγώ μοι δοκῶ ἐν τῷ παρόντι τοσοῦτον μόνον ἐκείνων διοίσειν· οὐ γὰρ ὅπως τοῖς παροῦσιν, ἃ ἐγὼ λέγω, δόξει ἀληθῆ εἶναι προθυμήσομαι, εἰ μὴ εἴη πάρεργον, ἀλλ᾽ ὅπως αὐτῷ ἐμοὶ ὅτι μάλιστα δόξει
B *οὕτως ἔχειν. | λογίζομαι γάρ, ὦ φίλ᾽ ἑταῖρε, — θέασαι ὡς πλεονεκτικῶς — εἰ μὲν τυγχάνει ἀληθῆ ὄνθ᾽ ἃ λέγω, καλῶς δὴ ἔχει τὸ πεισθῆναι· εἰ δὲ μηδὲν ἔσται τελευτήσαντι, ἀλλ᾽ οὖν τοῦτόν γε τὸν χρόνον αὐτὸν τὸν πρὸ τοῦ θανάτου ἧττον τοῖς παροῦσιν ἀηδὴς ἔσομαι ὀδυρόμενος. ἡ δὲ δὴ ἄγνοιά μοι αὕτη οὐ ξυνδιατελεῖ, κακὸν γὰρ ἂν ἦν, ἀλλ᾽ ὀλίγον ὕστερον ἀπολεῖται. παρεσκευασμένος δή,᾽ ἔφη, ‘ὦ Σιμμία τε καὶ Κέβης, οὑτωσὶ ἔρχομαι ἐπὶ τὸν λόγον· ὑμεῖς μέντοι, ἐὰν*
C *ἐμοὶ πίθησθε, σμικρὸν | φροντίσαντες Σωκράτους, τῆς δ᾽ ἀληθείας πολὺ μᾶλλον, ἐὰν μέν τι ὑμῖν δοκῶ ἀληθὲς λέγειν, συνομολογήσατε, εἰ δὲ μή, παντὶ λόγῳ ἀντιτείνετε, [εὐλαβούμενοι] ὅπως μὴ ἐγὼ ὑπὸ προθυμίας ἅμ᾽ ἐμαυτόν τε καὶ ὑμᾶς ἐξαπατήσας ὥσπερ μέλιττα τὸ κέντρον ἐγκαταλιπὼν οἰχήσομαι.*

XLI. *Ἀλλ᾽ ἰτέον,᾽ ἔφη. ‘πρῶτόν μ᾽ ὑπομνήσατε, ἃ ἐλέγετε, ἐὰν μὴ φαίνωμαι μεμνημένος. Σιμμίας μὲν γάρ, ὡς ἐγᾦμαι, ἀπιστεῖ τε καὶ φοβεῖται, μὴ ἡ ψυχὴ ὅμως καὶ θειότερον καὶ*
D *κάλλιον ὂν τοῦ | σώματος προαπολλύηται ἐν ἁρμονίας εἴδει οὖσα· Κέβης δέ μοι ἔδοξε τοῦτο μὲν ἐμοὶ συγχωρεῖν, πολυχρονιώτερόν γ᾽ εἶναι ψυχὴν σώματος, ἀλλὰ τόδ᾽ ἄδηλον ⟨ἔφη εἶναι⟩ παντί, μὴ πολλὰ δή σώματα καὶ πολλάκις κατατρίψασα ἡ ψυχὴ τὸ τελευταῖον σῶμα καταλιποῦσα νῦν αὐτὴ ἀπολλύηται, καὶ ᾖ αὐτὸ τοῦτο θάνατος, ψυχῆς ὄλεθρος, ἐπεὶ σῶμά γ᾽ ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται. ἆρ᾽ ἄλλ᾽ ἢ ταῦτ᾽ ἐστίν, ὦ Σιμμία τε καὶ Κέβης, ἃ δεῖ ἡμᾶς ἐπισκοπεῖσθαι;᾽ ξυνωμο-*
E *λογείτην δὴ | ταῦτ᾽ εἶναι ἄμφω. ‘πότερον οὖν,᾽ ἔφη, ‘πάντας τοὺς ἔμπροσθε λόγους οὐκ ἀποδέχεσθε, ἢ τοὺς μέν, τοὺς δ᾽ οὔ;᾽ ‘τοὺς μέν,᾽ ἐφάτην, ‘τοὺς δ᾽ οὔ;᾽ ‘τί οὖν,᾽ ἦ δ᾽ ὅς,*

---

4. *προθυμηθήσομαι* B. | 8. an *μηδὲν ⟨πλέον⟩*? | *ἔσται* Hir.] *ἐστί.* | 14. *πείθησθε* codd. et vulgo. | 26. *ἔφη εἶναι* add. Rich. | 28. *ψυχῆς ὄλεθρος* an glossema?

περὶ ἐκείνου τοῦ λόγου λέγετε, ἐν ᾧ ἔφαμεν τὴν μάθησιν
ἀνάμνησιν εἶναι, καὶ τούτου οὕτως ἔχοντος ἀναγκαίως ἔχειν
ἄλλοθι πρότερον ἡμῶν εἶναι τὴν ψυχήν, πρὶν ἐν τῷ· | σώ- 92
ματι ἐνδεθῆναι;' 'ἐγὼ μέν,' ἔφη ὁ Κέβης, 'καὶ τότε θαυμα-
στῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ καὶ νῦν ἐμμένω ὡς οὐδενὶ λόγῳ.'
'καὶ μήν,' ἔφη ὁ Σιμμίας, 'καὶ αὐτὸς οὕτως ἔχω, καὶ πάνυ
ἂν θαυμάζοιμι, εἴ μοι περί γε τούτου ἄλλο ποτέ τι δόξειεν.'
καὶ ὁ Σωκράτης· 'ἀλλ' ἀνάγκη σοι,' ἔφη, 'ὦ ξένε Θηβαῖε,
ἄλλο δόξαι, ἐάνπερ μείνῃ ἥδ' ἡ οἴησις, τὸ ἁρμονίαν μὲν
εἶναι σύνθετον πρᾶγμα, ψυχὴν δ' ἁρμονίαν τιν' ἐκ τῶν κατὰ
τὸ σῶμα ἐντεταμένων συγκεῖσθαι. οὐ γάρ που ἀποδέξει γε
σὺ τοῦ | λέγοντος, ὡς πρότερον ἦν ἁρμονία συγκειμένη, πρὶν B
ἐκεῖν' εἶναι, ἐξ ὧν ἔδει αὐτὴν συντεθῆναι. ἢ ἀποδέξει;'
'οὐδαμῶς,' ἔφη, 'ὦ Σώκρατες.' 'αἰσθάνει οὖν,' ἦ δ' ὅς,
'ὅτι ταῦτά σοι συμβαίνει λέγειν, ὅταν φῇς μὲν εἶναι τὴν ψυχὴν
πρὶν καὶ εἰς ἀνθρώπου εἶδός τε καὶ σῶμα ἀφικέσθαι, εἶναι
δ' αὐτὴν συγκειμένην ἐκ τῶν οὐδέπω ὄντων; οὐ γὰρ δὴ
ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν ᾧ ἀπεικάζεις, ἀλλὰ πρότερον
καὶ ἡ λύρα καὶ αἱ χορδαὶ καὶ οἱ φθόγγοι ἔτι ἀνάρμοστοι
ὄντες γίγνονται, | τελευταῖον δὲ πάντων συνίσταται ἡ ἁρμονία C
καὶ πρῶτον ἀπόλλυται. οὗτος οὖν σοι ὁ λόγος ἐκείνῳ πῶς
συνᾴσεται;' 'οὐδαμῶς,' ἔφη ὁ Σιμμίας. 'καὶ μήν,' ἦ δ' ὅς,
'πρέπει γ' εἴπερ τῳ ἄλλῳ λόγῳ συνῳδῷ εἶναι καὶ τῷ περὶ
ἁρμονίας.' 'πρέπει γάρ,' ἔφη ὁ Σιμμίας. 'οὗτος τοίνυν,'
ἔφη, 'σοὶ οὐ συνῳδός· ἀλλ' ὅρα, πότερον αἱρεῖ τῶν λόγων,
τὴν μάθησιν ἀνάμνησιν εἶναι ἢ ψυχὴν ἁρμονίαν;' 'πολὺ
μᾶλλον,' ἔφη, 'ἐκεῖνον, ὦ Σώκρατες. ὅδε μὲν γάρ μοι γέγονεν
ἄνευ ἀποδείξεως μετ' εἰκότος τινὸς καὶ | εὐπρεπείας, ὅθεν D
καὶ τοῖς πολλοῖς δοκεῖ [ἀνθρώποις]· ἐγὼ δὲ τοῖς διὰ τῶν
εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις σύνοιδα οὖσιν
ἀλαζόσιν, καὶ ἐάν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλ' ἐξα-
πατῶσι, καὶ ἐν γεωμετρίᾳ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ὁ δὲ
περὶ τῆς ἀναμνήσεως καὶ μαθήσεως λόγος δι' ὑποθέσεως

---

7. ποτέ τι Burn] ποτ' ἔτι T et Stob.; ποτε B. | 9. ἄλλο] ἄλλα pr. BW et Stob. | 12. σὺ τοῦ Baum.] αὐτοῦ. | 27. ἐκεῖνον Eb et Stob.] ἐκεῖνο BD. | 29. ἀνθρώποις del. Hir.

*ἀξίας ἀποδέξασθαι εἴρηται. ἐρρήθη γάρ που οὕτως ἡμῶν
εἶναι ἡ ψυχὴ καὶ πρὶν εἰς σῶμ' ἀφικέσθαι, ὥσπερ αὐτή
ἐστιν ἡ οὐσία ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν. ἐγὼ |*
E *δὴ ταύτην, ὡς ἐμαυτὸν πείθω, ἱκανῶς τε καὶ ὀρθῶς ἀπο-
δέδεγμαι. ἀνάγκη οὖν μοι, ὡς ἔοικε, διὰ ταῦτα μήτ' ἐμαυτοῦ
μήτ' ἄλλου ἀποδέχεσθαι λέγοντος, ὡς ψυχή ἐστιν ἁρμονία.'*

XLII. *'Τί δέ,' ἦ δ' ὅς, 'ὦ Σιμμία, τῇδε; δοκεῖ σοι
ἁρμονίᾳ ἢ ἄλλῃ τινὶ συνθέσει προσήκειν ἄλλως πως ἔχειν |*
93 *ἢ ὡς ἂν ἐκεῖν' ἔχῃ, ἐξ ὧν ἂν συγκέηται;' 'οὐδαμῶς.' 'οὐδὲ
μὴν ποιεῖν τι, ὡς ἐγᾦμαι, οὐδέ τι πάσχειν ἄλλο παρ' ἃ ἂν
ἐκεῖν' ἢ πάσχῃ;' συνέφη. 'οὐκ ἄρ' ἡγεῖσθαί γε προσήκει
ἁρμονίαν τούτων, ἐξ ὧν ἂν συντεθῇ, ἀλλ' ἕπεσθαι.' συνε-
δόκει. 'πολλοῦ ἄρα δεῖ ἐναντία γ' ἁρμονία κινηθῆναι ἢ φθέγ-
ξασθαι ἤ τι ἄλλ' ἐναντιωθῆναι τοῖς αὑτῆς μέρεσιν.' 'πολλοῦ
μέντοι,' ἔφη. 'τί δέ; οὐχ οὕτως ἁρμονία πέφυκεν εἶναι
ἑκάστη ἁρμονία, ὡς ἂν ἁρμοσθῇ;' 'οὐ μανθάνω,' ἔφη. 'οὐχί,'
ἦ δ' ὅς, 'ἐὰν μὲν μᾶλλον ἁρμοσθῇ καὶ ἐπὶ πλέον, | εἴπερ*
B *ἐνδέχεται τοῦτο γίγνεσθαι, μᾶλλόν τ' ἂν ἁρμονία εἴη καὶ
πλείων, εἰ δ' ἧττόν τε καὶ ἐπ' ἔλαττον, ἧττόν τε καὶ ἐλάττων;'
'πάνυ γε.' 'ἦ οὖν ἔστι τοῦτο περὶ ψυχήν, ὥστε καὶ κατὰ
τὸ σμικρότατον [μᾶλλον] ἑτέραν ἑτέρας ψυχῆς ἐπὶ πλέον
καὶ μᾶλλον ἢ ἐπ' ἔλαττον καὶ ἧττον αὐτὸ τοῦτ' εἶναι, ψυχήν;'
'οὐδ' ὁπωστιοῦν,' ἔφη. 'φέρε δή,' ἔφη, 'πρὸς Διός· λέγεται
ψυχὴ ἡ μὲν νοῦν τ' ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἡ δ'
ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή; καὶ ταῦτ' ἀληθῶς |*
C *λέγεται;' 'ἀληθῶς μέντοι.' 'τῶν οὖν θεμένων ψυχὴν ἁρμο-
νίαν εἶναι τί τις φήσει ταῦτ' ὄντ' εἶναι ἐν ταῖς ψυχαῖς, τήν
τ' ἀρετὴν καὶ τὴν κακίαν; πότερον ἁρμονίαν αὖ τιν' ἄλλην
καὶ ἀναρμοστίαν; καὶ τὴν μὲν ἡρμόσθαι, τὴν ἀγαθήν, καὶ
ἔχειν ἐν αὑτῇ ἁρμονίᾳ οὔσῃ ἄλλην [ἁρμονίαν], τὴν δὲ ἀνάρ-
μοστον αὐτήν τ' εἶναι καὶ οὐκ ἔχειν ἐν αὑτῇ ἄλλην;' 'οὐκ
ἔχω ἔγωγ',' ἔφη ὁ Σιμμίας, 'εἰπεῖν· δῆλον δ' ὅτι τοιαῦτ'
ἄττ' ἂν λέγοι ὁ ἐκεῖνο ὑποθέμενος.' 'ἀλλὰ προωμολόγηται,'*
D *ἔφη, | 'μηδὲν μᾶλλον μηδ' ἧττον ἑτέραν ἑτέρας ψυχῆς εἶναι·
τοῦτο δ' ἔστι τὸ ὁμολόγημα, μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον*

---

2. *αὐτή ἐστιν* Mudge] *αὐτῆς ἔστιν.* | 30. *ἁρμονίαν* del. Schmidt.

μηδ' ἧττον μηδ' ἐπ' ἔλαττον ἑτέραν ἑτέρας ἁρμονίαν ἁρμονίας εἶναι. ἦ γάρ;' 'πάνυ γε.' 'τὴν δέ γε μηδὲν μᾶλλον μηδ' ἧττον ἁρμονίαν οὖσαν μήτε μᾶλλον μήθ' ἧττον ἡρμόσθαι· ἔστιν οὕτως;' 'ἔστιν.' 'ἡ δὲ μήτε μᾶλλον μήθ' ἧττον ἡρμοσμένη ἔστιν ὅ τι πλέον ἢ ἔλαττον ἁρμονίας μετέχει, ἢ τὸ ἴσον;' 'τὸ ἴσον.' 'οὐκοῦν ψυχὴ [ἐπειδὴ] οὐδὲν μᾶλλον οὐδ' ἧττον
ἄλλη ἄλλης αὐτὸ τοῦτο, | ψυχή ἐστιν, οὐδὲ δὴ μᾶλλον οὐδ' E
ἧττον ἥρμοσται;' 'οὕτω.' 'τοῦτο δέ γε πεπονθυῖα οὐδὲν πλέον ἀναρμοστίας οὐδ' ἁρμονίας μετέχοι ἄν;' 'οὐ γὰρ οὖν.' 'τοῦτο δ' αὖ πεπονθυῖα ἆρ' ἄν τι πλέον κακίας ἢ ἀρετῆς μετέχοι ἑτέρα ἑτέρας, εἴπερ ἡ μὲν κακία ἀναρμοστία, ἡ δ' ἀρετὴ ἁρμονία εἴη;' 'οὐδὲν πλέον.' 'μᾶλλον δέ γέ που, ὦ Σιμμία,
κατὰ τὸν ὀρθὸν | λόγον κακίας οὐδεμία ψυχὴ μεθέξει, εἴπερ 94
ἁρμονία ἐστίν· ἁρμονία γὰρ δήπου παντελῶς αὐτὸ τοῦτ' οὖσα [ἁρμονία] ἀναρμοστίας οὔποτ' ἂν μετάσχοι.' 'οὐ μέντοι.' 'οὐδέ γε δήπου ψυχή, οὖσα παντελῶς ψυχή, κακίας.' 'πῶς γὰρ ἔκ γε τῶν προειρημένων;' 'ἐκ τούτου ἄρα τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάντων ζῴων ὁμοίως ἀγαθαὶ ἔσονται, εἴπερ ὁμοίως [ψυχαὶ] πεφύκασιν αὐτὸ τοῦτο ψυχαὶ εἶναι.' 'ἔμοιγε δοκεῖ,' ἔφη, 'ὦ Σώκρατες.' 'ἦ καὶ καλῶς δοκεῖ,' ἦ δ' ὅς,
οὕτω λέγεσθαι, καὶ πάσχειν ἂν | ταῦθ' ὁ λόγος, εἰ ὀρθὴ ἡ B
ὑπόθεσις ἦν, τὸ ψυχὴν ἁρμονίαν εἶναι;' 'οὐδ' ὁπωστιοῦν,' ἔφη.

XLIII. *'Τί δέ;' ἦ δ' ὅς· 'τῶν ἐν ἀνθρώπῳ πάντων ἔσθ' ὅ τι ἄλλο λέγεις ἄρχειν ἢ ψυχὴν ἄλλως τε καὶ φρόνιμον;' 'οὐκ ἔγωγε.' 'πότερον [συγχωροῦσαν] τοῖς κατὰ τὸ σῶμα πάθεσιν ἐναντιουμένην [παθήμασι]; λέγω δὲ τὸ τοιόνδε, οἷον καύματος ἐνόντος καὶ δίψους ἐπὶ τοὐναντίον ἕλκειν, τὸ μὴ πίνειν, καὶ πείνης ἐνούσης ἐπὶ τὸ μὴ ἐσθίειν, καὶ ἄλλα*
μυρία που ὁρῶμεν ἐναντιουμένην τὴν ψυχὴν | τοῖς κατὰ τὸ C
σῶμα· ἢ οὔ;' 'πάνυ μὲν οὖν.' 'οὐκοῦν αὖ ὡμολογήσαμεν ἐν τοῖς πρόσθεν μήποτ' ἂν αὐτήν, ἁρμονίαν γ' οὖσαν, ἐναντί' ᾄδειν οἷς ἐπιτείνοιτο καὶ χαλῷτο καὶ ψάλλοιτο καὶ ἄλλ' ὁτιοῦν πάθος πάσχοι ἐκεῖνα, ἐξ ὧν τυγχάνοι οὖσα, ἀλλ' ἕπεσθαι

---

15. seclusi *ἁρμονία.* | 25 sq. Sic Sch.; contra *ἐναντιουμένην* et *πάθεσιν* secl. Burn., omisso etiam *παθήμασι.* | 27. *οἷον* TW et Stob.] *ὡς εἰ* B, del. Sch. | *ἕλκει* Rich.

ἐκείνοις καὶ οὔποτ᾽ ἂν ἡγεμονεύειν;’ ‘ὡμολογήσαμεν,’ ἔφη· ‘πῶς γὰρ οὔ;’ ‘τί οὖν; νῦν οὐ πᾶν τοὐναντίον ἡμῖν φαίνεται [ἐργαζομένη] ἡγεμονεύουσά τ᾽ ἐκείνων πάντων, ἐξ ὧν φησί
D τις αὐτὴν εἶναι, καὶ ἐναντιουμένη ὀλίγου πάντα | διὰ παντὸς τοῦ βίου καὶ δεσπόζουσα πάντας τρόπους, τὰ μὲν χαλεπώτερον κολάζουσα καὶ μετ᾽ ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν καὶ τὴν ἰατρικήν, τὰ δὲ πρᾳότερον, καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα, ταῖς ἐπιθυμίαις καὶ ὀργαῖς καὶ φόβοις ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη; οἷόν που καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ πεποίηκεν, οὗ λέγει τὸν Ὀδυσσέα·

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ.
τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ᾽ | ἔτλης.

ἆρ᾽ οἴει αὐτὸν ταῦτα ποιῆσαι διανοούμενον ὡς ἁρμονίας αὐτῆς οὔσης καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος παθῶν, ἀλλ᾽ οὐχ οἵας ἄγειν τε ταῦτα καὶ δεσπόζειν, καὶ οὔσης αὐτῆς πολὺ θειοτέρου τινὸς πράγματος ἢ καθ᾽ ἁρμονίαν;’ ‘νὴ Δία, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ.’ ‘οὐκ ἄρα, ὦ ἄριστε, ἡμῖν οὐδαμῇ καλῶς ἔχει ψυχὴν ἁρμονίαν τινὰ φάναι εἶναι· οὔτε γὰρ ἄν, ὡς ἔοικεν, | Ὁμήρῳ θείῳ ποιητῇ ὁμολογοῖμεν οὔτ᾽ αὐτοὶ ἡμῖν αὐτοῖς.’ ἔχειν οὕτως ἔφη.

XLIV. ‘Εἶεν δή,’ ἦ δ᾽ ὃς [ὁ Σωκράτης], ‘τὰ μὲν Ἁρμονίας ἡμῖν τῆς Θηβαϊκῆς ἵλεά πως, ὡς ἔοικε, μετρίως γέγονεν. τί δὲ δὴ τὰ Κάδμου,’ ἔφη, ‘ὦ Κέβης, πῶς ἱλασόμεθα καὶ τίνι λόγῳ;’ ‘σύ μοι δοκεῖς,’ ἔφη ὁ Κέβης, ‘ἐξευρήσειν· τουτονὶ γοῦν τὸν λόγον τὸν πρὸς τὴν ἁρμονίαν θαυμαστῶς μοι εἶπες ὡς παρὰ δόξαν. Σιμμίου γὰρ λέγοντος, ὅ τι ἠπόρει, πάνυ
B ἐθαύμαζον, εἴ τι ἕξει τις χρήσασθαι | τῷ λόγῳ αὐτοῦ· πάνυ [μὲν] οὖν μοι ἀτόπως ἔδοξεν εὐθὺς τὴν πρώτην ἔφοδον οὐ δέξασθαι τοῦ σοῦ λόγου. ταὐτὰ δὴ οὐκ ἂν θαυμάσαιμι καὶ τὸν τοῦ Κάδμου λόγον εἰ πάθοι.’ ‘ὠγαθέ,’ ἔφη ὁ Σωκράτης, ‘μὴ μέγα λέγε, μή τις ἡμῶν βασκανία περιτρέψῃ τὸν λόγον τὸν μέλλοντα [ἔσεσθαι]. ἀλλὰ ταῦτα μὲν δὴ τῷ θεῷ

---

3. *ἐργαζομένη* del. Hartm. | 11 sq. Hom. Od. XX 17. | 21. delevi nomen. | 23. *Κάδμος*, scil. ipse Cebes. | 32. *ταῦτα μὲν δὴ* Hir.] *δὴ ταῦτα μέν*.

μελήσει, ἡμεῖς δ' Ὁμηρικῶς *ἄσσον ἰόντες* πειρώμεθα, εἰ ἄρα τὶ λέγεις. ἔστι δὲ δὴ ⟨τόδε⟩ τὸ κεφάλαιον ὧν ζητεῖς· ἀξιοῖς ἐπιδειχθῆναι ἡμῶν τὴν ψυχὴν ἀνώλεθρόν τε καὶ | C ἀθάνατον οὖσαν, εἰ φιλόσοφος ἀνὴρ μέλλων ἀποθανεῖσθαι, θαρρῶν τε καὶ ἡγούμενος ἀποθανὼν ἐκεῖ εὖ πράξειν διαφερόντως ἢ εἰ ἐν ἄλλῳ βίῳ βιοὺς ἐτελεύτα, μὴ ἀνόητόν τε καὶ ἠλίθιον θάρρος θαρρήσει. τὸ δὲ [ἀποφαίνειν,] ὅτι ἰσχυρόν τί ἐστιν ἡ ψυχὴ καὶ θεοειδὲς καὶ ἦν ἔτι πρότερον, πρὶν ἡμᾶς ἀνθρώπους γενέσθαι, οὐδὲν κωλύειν φῂς πάντα ταῦτα μηνύειν ἀθανασίαν μὲν μή, ὅτι δὲ πολυχρόνιόν τέ ἐστιν ψυχὴ καὶ ἦν που πρότερον ἀμήχανον ὅσον χρόνον καὶ ᾔδει τε καὶ ἔπραττεν πόλλ' ἄττα· ἀλλὰ γὰρ οὐδέν τι μᾶλλον ἦν ἀθάνατον, | D ἀλλὰ καὶ αὐτὸ τὸ εἰς ἀνθρώπου σῶμα ἐλθεῖν ἀρχὴ ἦν αὐτῇ ὀλέθρου, ὥσπερ νόσος· καὶ ταλαιπωρουμένη τ' ἂν τοῦτον τὸν βίον ζῴη καὶ τελευτῶσά γ' ἐν τῷ καλουμένῳ θανάτῳ ἀπολλύοιτο. διαφέρειν δὲ δὴ φῂς οὐδέν, εἴθ' ἅπαξ εἰς σῶμα ἔρχεται εἴτε πολλάκις, πρός γε τὸ ἕκαστον ἡμῶν φοβεῖσθαι· προσήκειν γὰρ φοβεῖσθαι, εἰ μὴ ἀνόητος εἴη, τῷ μὴ εἰδότι μηδ' ἔχοντι λόγον διδόναι ὡς ἀθάνατόν ἐστι. τοιαῦτ' ἄττ' ἐστίν, οἶμαι, ὦ | E Κέβης, ἃ λέγεις· καὶ ἐξεπίτηδες πολλάκις ἀναλαμβάνω, ἵνα μή τι διαφύγῃ ἡμᾶς, εἴ τέ τι βούλει, προσθῇς ἢ ἀφέλῃς.' καὶ ὁ Κέβης· 'ἀλλ' οὐδὲν ἔγωγ' ἐν τῷ παρόντι,' ἔφη, 'οὔτ' ἀφελεῖν οὔτε προσθεῖναι δέομαι· ἔστι δὲ ταῦτα, ἃ λέγω.'

XLV. Ὁ οὖν Σωκράτης συχνὸν χρόνον ἐπισχὼν καὶ πρὸς ἑαυτόν τι σκεψάμενος· 'οὐ φαῦλον πρᾶγμα,' ἔφη, 'ὦ Κέβης, ζητεῖς· ὅλως γὰρ δεῖ περὶ γενέσεως καὶ φθορᾶς [τὴν αἰτίαν] διαπραγματεύσασθαι. | 96 ἐγὼ οὖν σοι δίειμι περὶ αὐτῶν, ἐὰν βούλῃ, τά γ' ἐμὰ πάθη· ἔπειτ', ἐάν τί σοι χρήσιμον φαίνηται ὧν ἂν λέγω, πρὸς τὴν πειθὼ περὶ ὧν δὴ λέγεις χρήσει.' 'ἀλλὰ μήν,' ἔφη ὁ Κέβης, 'βούλομαί γε.' 'ἄκουε τοίνυν ὡς ἐροῦντος. ἐγὼ γάρ,' ἔφη, 'ὦ Κέβης, νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως

---

1. *ἄσσον* vH.] *ἐγγύς*. Cf. L. Rh. p. 21 sq. et Hes. *ἄσσον· — ἐγγύς*. | 2. τὶ] τι. | addidi τόδε. | 3. ἀποδειχθῆναι malim cum Hir. | 7. ἀποφαίνειν del. Hartm. | 8 sq. ἀνθρώπους suspectum. | 14. ἂν Rich.] δή. | 27 sq. περὶ delebam L. Rh. p. 39, nunc τὴν αἰτίαν cum Hartm., cf. 97 CD.

*ἱστορίαν. ὑπερήφανος γάρ μοι ἐδόκει εἶναι, εἰδέναι τὰς αἰτίας
ἑκάστου, διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται καὶ*
B *διὰ τί ἔστι· καὶ πολλάκις [ἐμαυτὸν] ἄνω κάτω | μετέβαλλον
σκοπῶν πρῶτον τὰ τοιάδε, ἆρ᾽ ἐπειδὰν τὸ θερμὸν καὶ τὸ
ὑγρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ
ζῷα συντρέφεται· καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν,
ἢ ὁ ἀὴρ ἢ τὸ πῦρ, ἢ τούτων μὲν οὐδέν, ὁ δ᾽ ἐγκέφαλός
ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ ὁρᾶν καὶ
ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ
δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταῦτα
γίγνεσθαι ἐπιστήμην· καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν,*
C *καὶ τὰ περὶ τὸν | οὐρανὸν καὶ τὴν γῆν πάθη, τελευτῶν
οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι,
ὡς οὐδὲν χρῆμα. τεκμήριον δέ σοι ἐρῶ ἱκανόν· ἐγὼ γὰρ ἃ
καὶ πρότερον σαφῶς ἠπιστάμην, ὥς γ᾽ ἐμαυτῷ καὶ τοῖς
ἄλλοις ἐδόκουν, τόθ᾽ ὑπὸ ταύτης τῆς σκέψεως οὕτω σφόδρ᾽
ἐτυφλώθην, ὥστ᾽ ἀπέμαθον καὶ ἃ πρὸ τοῦ ᾤμην εἰδέναι,
περὶ ἄλλων τε πολλῶν καὶ διὰ τί ἄνθρωπος αὐξάνεται.
τοῦτο γὰρ ᾤμην πρὸ τοῦ παντὶ δῆλον εἶναι, ὅτι διὰ τὸ*
D *ἐσθίειν καὶ πίνειν· ἐπειδὰν | γὰρ ἐκ τῶν σιτίων ταῖς μὲν
σαρξὶ σάρκες προσγένωνται, τοῖς δ᾽ ὀστέοις ὀστᾶ, καὶ οὕτω
κατὰ τὸν αὐτὸν λόγον καὶ τοῖς ἄλλοις τὰ αὑτῶν οἰκεῖα
ἑκάστοις προσγένηται, τότε δὴ τὸν ὀλίγον ὄγκον ὄντα ὕστερον
πολὺν γεγονέναι, καὶ οὕτω γίγνεσθαι τὸν σμικρὸν ἄνθρωπον
μέγαν· οὕτως τότ᾽ ᾤμην· οὐ δοκῶ σοι μετρίως;᾽ ‘ἔμοιγε,᾽
ἔφη ὁ Κέβης. ‘σκέψαι δὴ καὶ τάδ᾽ ἔτι. ᾤμην γὰρ ἱκανῶς
μοι δοκεῖν, ὁπότε τις φαίνοιτ᾽ ἄνθρωπος παραστὰς μέγας
σμικρῷ μείζων εἶναι αὐτῇ τῇ κεφαλῇ, καὶ ἵππος ἵππου· καὶ*
E | *ἔτι γε τούτων ἐναργέστερα, τὰ δέκα μοι ἐδόκει τῶν ὀκτὼ
πλείω εἶναι διὰ τὸ δύο αὐτοῖς προσεῖναι, καὶ τὸ δίπηχυ
τοῦ πηχυαίου μεῖζον εἶναι διὰ τὸ ἡμίσει αὐτοῦ ὑπερέχειν.᾽
‘νῦν δὲ δή,᾽ ἔφη ὁ Κέβης, ‘τί σοι δοκεῖ περὶ αὐτῶν;᾽
‘πόρρω που,᾽ ἔφη, ‘νὴ Δί᾽ ἐμὲ εἶναι τοῦ οἴεσθαι περὶ τού-*

1. *εἰδέναι εἶναι* Stob., B pr. om. *εἰδέναι*, Burn. ed. *καὶ εἰδέναι.* | 3. *ἐμαυτὸν* om. Stob. | 4 sq. *καὶ τὸ ψυχρὸν* T et Stob., *καὶ ψυχρὸν* B, del. Sch., *ὑγρὸν* corr. Sprengel. | 20 sqq. Significatur *ὁμοιομέρεια.* Cf. Plut. plac. phil. 1, 3; Lucret. I 835. | 30. *πλείω* vH.] *πλέονα.* | *προσεῖναι* TW] *προσθεῖναι* B (Sch.).

των του [τὴν αἰτίαν] εἰδέναι, ὅς γ' οὐκ ἀποδέχομαι ἐμαυτοῦ οὐδ' ὡς, ἐπειδὰν ἑνί τις προσθῇ ἕν, ἢ τὸ ἓν ᾧ προσετέθη δύο γέγονεν, ⟨ἢ τὸ προστεθὲν⟩, ἢ τὸ προστεθὲν καὶ ᾧ προσετέθη | διὰ 97 τὴν πρόσθεσιν θατέρου θατέρῳ δύ' ἐγένετο· θαυμάζω γάρ, εἰ, ὅτε μὲν ἑκάτερον αὐτῶν χωρὶς ἀλλήλων ἦν, ἓν ἄρ' ἑκάτερον ἦν καὶ οὐκ ἤστην τότε δύο, ἐπεὶ δ' ἐπλησίασαν ἀλλήλοις, αὕτη ἄρ' αἰτία αὐτοῖς ἐγένετο ⟨τοῦ⟩ δύο γενέσθαι[, ἡ ξύνοδος τοῦ πλησίον ἀλλήλων τεθῆναι]. οὐδέ γ' ὡς, ἐάν τις ἓν διασχίσῃ, δύναμαι ἔτι πείθεσθαι, ὡς αὕτη αὖ αἰτία γέγονεν [ἡ σχίσις], τοῦ δύο γεγονέναι· ἐναντία γὰρ γίγνεται ἢ τότ' αἰτία τοῦ δύο γίγνεσθαι· | τότε μὲν γὰρ ὅτι συνήγετο πλησίον ἀλλήλων B καὶ προσετίθετο ἕτερον ἑτέρῳ, νῦν δ' ὅτι ἀπάγεται καὶ χωρίζεται ἕτερον ἀφ' ἑτέρου. οὐδέ γε, δι' ὅτι ἓν γίγνεται, ὡς ἐπίσταμαι, ἔτι πείθω ἐμαυτόν, οὐδ' ἄλλ' οὐδὲν ἑνὶ λόγῳ, δι' ὅ τι γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, κατὰ τοῦτον τὸν τρόπον τῆς μεθόδου, ἀλλά τιν' ἄλλον τρόπον αὐτὸς εἰκῇ φύρω, τοῦτον δ' οὐδαμῇ προσίεμαι.

XLVI. 'Ἀλλ' ἀκούσας μέν ποτ' ἐκ βιβλίου τινός,' ὡς ἔφη, 'Ἀναξαγόρου ἀναγιγνώσκοντος, καὶ λέγοντος, ὡς | ἄρα νοῦς C ἐστιν ὁ διακοσμῶν τε και πάντων αἴτιος, ταύτῃ δὴ τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τιν' εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον, καὶ ἡγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τόν γε νοῦν κοσμοῦντα πάντα [κοσμεῖν] καὶ ἕκαστον τιθέναι ταύτῃ, ὅπῃ ἂν βέλτιστ' ἔχῃ· εἰ οὖν τις βούλοιτο [τὴν αἰτίαν] εὑρεῖν περὶ ἑκάστου, ὅπῃ γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστιν ἢ εἶναι ἢ ἄλλ' ὁτιοῦν πάσχειν ἢ ποιεῖν· ἐκ δὲ δὴ τοῦ | λόγου τούτου D οὐδὲν ἄλλο σκοπεῖν προσήκειν ἀνθρώπῳ καὶ περὶ αὐτοῦ καὶ περὶ ἄλλων, ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον. ἀναγκαῖον δ' εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι· τὴν αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. ταῦτα δὴ λογιζόμενος ἅσμενος ηὑρηκέναι ᾤμην διδάσκαλον [τῆς αἰτίας] περὶ τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, [τὸν Ἀναξαγόραν,] καί μοι φρά-

1. *τὴν αἰτίαν* del. Hartm. | 3. *καὶ ᾧ*] *ὃ* Christ. | 7 sq. emblema del. Liebhold, qui add. *τοῦ*. | 9. seclusi *ἡ σχίσις*. | 21. malim *εὖ λέγειν*, deletis verbis *τὸ* — *αἴτιον*. Cf. L. Rh. p. 39. | 24. *τὴν αἰτίαν* del. Hartm. | 32. *τῆς αἰτίας* del. Hartm. | 33. nomen del. Rich.

σειν πρῶτον μέν, πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογγύλη, E ἐπειδὴ δὲ φράσειεν, | ἐπεκδιηγήσεσθαι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην, λέγοντα τὸ ἄμεινον καὶ ὅ τι αὐτὴν ἄμεινον ἦν τοιαύτην εἶναι· καὶ εἰ ἐν μέσῳ φαίη εἶναι αὐτήν, ἐπεκδιηγήσεσθαι, ὡς ἄμεινον ἦν αὐτὴν ἐν μέσῳ εἶναι· καὶ εἴ μοι ταῦτ' ἀποφαίνοι, παρεσκευάσμην ὡς οὐκέτι ποθεσόμενος αἰτίας ἄλλο εἶδος. καὶ δὴ καὶ περὶ ἡλίου οὕτω παρεσκευάσμην, 98 | ὡσαύτως πευσόμενος, καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, τάχους τε πέρι πρὸς ἄλληλα καὶ τροπῶν καὶ τῶν ἄλλων παθημάτων, πῇ ποτε ταῦτ' ἄμεινόν ἐστιν ἕκαστον καὶ ποιεῖν καὶ πάσχειν[, ἃ πάσχει]. οὐ γὰρ ἄν ποτ' αὐτὸν ᾤμην, φάσκοντά γ' ὑπὸ νοῦ αὐτὰ κεκοσμῆσθαι, ἄλλην τιν' αὐτοῖς αἰτίαν ἐπενεγκεῖν ἢ ὅτι βέλτιστον αὔθ' οὕτως ἔχειν ἐστίν, B ὥσπερ ἔχει· ἑκάστῳ οὖν | αὐτὸν ἀποδιδόντα τὴν αἰτίαν καὶ κοινῇ πᾶσι τὸ ἑκάστῳ βέλτιστον ᾤμην καὶ τὸ κοινὸν πᾶσιν ἐπεκδιηγήσεσθαι ἀγαθόν· καὶ οὐκ ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλπίδας, ἀλλὰ πάνυ σπουδῇ λαβὼν τὰς βίβλους ὡς τάχισθ' οἷός τ' ἦ ἀνεγίγνωσκον, ἵν' ὡς τάχιστ' εἰδείην τὸ βέλτιστον καὶ τὸ χεῖρον.

XLVII. Ἀπὸ δὴ θαυμαστῆς ἐλπίδος, ὦ ἑταῖρε, ᾠχόμην φερόμενος, ἐπειδὴ προϊὼν [καὶ ἀναγιγνώσκων] ὁρῶ ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον [οὐδέ τινας αἰτίας ἐπαιτιώμενον] εἰς τὸ | διακοσμεῖν τὰ πράγματα, ἀέρας δὲ καὶ αἰθέρας καὶ ὕδατ' αἰτιώμενον καὶ ἄλλα πολλὰ καὶ ἄτοπα. καί μοι ἔδοξεν ὁμοιότατον πεπονθέναι, ὥσπερ ἂν εἴ τις λέγων, ὅτι Σωκράτης πάντα, ὅσα πράττει, νῷ πράττει, κἄπειτ' ἐπιχειρήσας λέγειν τὰς αἰτίας ἑκάστων ὧν πράττω, λέγοι πρῶτον μέν, ὅτι διὰ ταῦτα νῦν ἐνθάδε κάθημαι, ὅτι σύγκειταί μου τὸ σῶμα ἐξ ὀστέων καὶ νεύρων, καὶ τὰ μὲν ὀστᾶ ἐστιν στερεὰ καὶ διαφυὰς ἔχει χωρὶς ἀπ' ἀλλήλων, τὰ δὲ νεῦρα οἷ' ἐπι- D τείνεσθαι | καὶ ἀνίεσθαι, περιαμπέχοντα τὰ ὀστᾶ μετὰ τῶν σαρκῶν καὶ δέρματος, ὃ συνέχει αὐτά· αἰωρουμένων οὖν τῶν ὀστέων ἐν ταῖς αὑτῶν συμβολαῖς χαλῶντα καὶ συντείνοντα

---

3. *ὅ τι* (*cur*) vH.] *ὅτι*. | 6. *ἀποφαίνοιτο* B, sed *το* punctis notatum. | 11. delevi *ἃ πάσχει*, quae tamen servari possent, scripto *πάντ'* pro *ταῦτ'* (10). | 21. *καὶ* del. Sch., *καὶ ἀναγιγνώσκων* Hartm. | 22. emblema del. Cob.

τὰ νεῦρα κάμπτεσθαί που ποιεῖ οἷόν τ' εἶναι ἐμὲ νῦν τὰ μέλη,
καὶ διὰ ταύτην τὴν αἰτίαν συγκαμφθεὶς ἐνθάδε κάθημαι·
καὶ αὖ περὶ τοῦ διαλέγεσθαι ὑμῖν ἑτέρας τοιαύτας αἰτίας
λέγοι, φωνάς τε καὶ ἀέρας καὶ ἀκοὰς καὶ ἄλλα μυρία τοιαῦτ'
αἰτιώμενος, ἀμελήσας τὰς ὡς | ἀληθῶς αἰτίας λέγειν, ὅτι, E
ἐπειδὴ Ἀθηναίοις ἔδοξε βέλτιον εἶναι ἐμοῦ καταψηφίσασθαι,
διὰ ταῦτα δὴ καὶ ἐμοὶ βέλτιον αὖ δέδοκται ἐνθάδε καθῆσθαι,
καὶ δικαιότερον παραμένοντα ὑπέχειν τὴν δίκην ἣν ἂν κελεύ-
σωσιν· ἐπεὶ νὴ τὸν κύνα, ὡς ἐγῷμαι, πάλαι ἂν | ταῦτα τὰ 99
νεῦρα καὶ τὰ ὀστᾶ ἢ περὶ Μέγαρα ἢ Βοιωτοὺς ἦν, ὑπὸ
δόξης φερόμενα τοῦ βελτίστου, εἰ μὴ δικαιότερον ᾤμην καὶ
κάλλιον εἶναι πρὸ τοῦ φεύγειν τε καὶ ἀποδιδράσκειν ὑπέχειν
τῇ πόλει δίκην, ἥντιν' ἂν τάττῃ. ἀλλ' αἴτια μὲν τὰ τοιαῦτα
καλεῖν λίαν ἄτοπον· εἰ δέ τις λέγοι, ὅτι ἄνευ τοῦ τὰ τοιαῦτ'
ἔχειν καὶ ὀστᾶ καὶ νεῦρα καὶ ὅσ' ἄλλ' ἔχω, οὐκ ἂν οἷός τ'
ἦ ποιεῖν τὰ δόξαντά μοι, ἀληθῆ ἂν λέγοι· ὡς μέντοι διὰ
ταῦτα ποιῶ ἃ ποιῶ καὶ ταῦτα νῷ πράττων, ἀλλ' οὐ τῇ τοῦ |
βελτίστου αἱρέσει, πολλὴ ἂν καὶ μακρὰ ῥᾳθυμία εἴη τοῦ B
λόγου. τὸ γὰρ μὴ διελέσθαι οἷόν τ' εἶναι, ὅτι ἄλλο μέν τί
ἐστι τὸ αἴτιον τῷ ὄντι, ἄλλο δ' ἐκεῖνο, ἄνευ οὗ τὸ αἴτιον
οὐκ ἄν ποτ' εἴη αἴτιον· ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ
πολλοὶ ὥσπερ ἐν σκότει, ἀλλοτρίῳ ὀνόματι προσχρώμενοι,
ὡς αἴτιον αὐτὸ προσαγορεύειν. διὸ δὴ καὶ ὁ μέν τις δίνην
περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ μένειν δὴ ποιεῖ τὴν γῆν,
ὁ δὲ ὥσπερ καρδόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει·
την δὲ τοῦ ὡς οἷόν τε | βέλτιστ' αὐτὰ τεθῆναι δύναμιν οὕτω C
νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν οὔτε τιν' οἴονται δαιμονίαν
ἰσχὺν ἔχειν, ἀλλ' ἡγοῦνται τούτου Ἄτλαντα ἄν ποτ' ἰσχυρό-
τερον καὶ ἀθανατώτερον καὶ μᾶλλον ἅπαντα συνέχοντα ἐξευ-
ρεῖν, καὶ ὡς ἀληθῶς τὸ ἀγαθὸν καὶ δέον συνδεῖν καὶ συνέχειν
οὐδὲν οἴονται. ἐγὼ μὲν οὖν τῆς τοιαύτης αἰτίας, ὅπῃ ποτ'
ἔχει, μαθητὴς ὁτουοῦν ἥδιστ' ἂν γενοίμην· ἐπειδὴ δὲ ταύτης

8 sq. *ἣν ἂν κελ.* del. Hir. | 12. *πρὸ* num genuinum? | 18. *ἂν* om. B, post *ῥᾳθυμία* add. vulgo. Sequor Burn. | 22. *ὥσπερ ἐν σκότει* del. Hartm. | 23. *δίνην*. Empedoclea doctrina sec. Arist. *de coelo* II 8, 195^a 16. Cf. Nub. 1379 sqq. Sequentia docuerunt Anaximenes, Anaxagoras, Democritus, cf. *de coelo* II 13, 294^b 13. | 30. *δέον*, *necessarium*, alludit ad *δοῦν*, *ligans*.

ἐστερήθην καὶ οὔτ' αὐτὸς εὑρεῖν οὔτε παρ' ἄλλου μαθεῖν D οἷός τ' ἐγενόμην, τὸν | δεύτερον πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν ᾗ πεπραγμάτευμαι, βούλει σοι,' ἔφη, ἐπίδειξιν ποιήσωμαι, ὦ Κέβης; 'ὑπερφυῶς μὲν οὖν, ἔφη, ὡς βούλομαι.'

XLVIII. 'Ἔδοξε τοίνυν μοι,' ἦ δ' ὅς, 'μετὰ ταῦτα, ἐπειδὴ ἀπειρήκη τὰ ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι, μὴ πάθοιμι, ὅπερ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες [καὶ σκοπούμενοι]· διαφθείρονται γάρ που ἔνιοι τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἤ E τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόν' | αὐτοῦ. τοιοῦτόν τι κἀγὼ διενοήθην, καὶ ἔδεισα, μὴ παντάπασι τὴν ψυχὴν τυφλωθείην βλέπων πρὸς τὰ πράγματα τοῖς ὄμμασι καὶ ἑκάστῃ τῶν αἰσθήσεων ἐπιχειρῶν ἅπτεσθαι αὐτῶν. ἔδοξε δή μοι χρῆναι εἰς τοὺς λόγους καταφυγόντ' ἐν ἐκείνοις σκοπεῖν τῶν ὄντων τὴν ἀλήθειαν. ἴσως μὲν οὖν ᾧ εἰκάζω τρόπον τιν' οὐκ ἔοικεν. | 100 οὐ γὰρ πάνυ συγχωρῶ τὸν ἐν [τοῖς] λόγοις σκοπούμενον τὰ ὄντα ἐν εἰκόσι μᾶλλον σκοπεῖν ἢ τὸν ἐν [τοῖς] ἔργοις· ἀλλ' οὖν δὴ ταύτῃ γ' ὥρμησα, καὶ ὑποθέμενος ἑκάστοτε λόγον, ὃν ἂν κρίνω ἐρρωμενέστατον εἶναι, ἃ μὲν ἄν μοι δοκῇ τούτῳ συμφωνεῖν, τίθημ' ὡς ἀληθῆ ὄντα, καὶ περὶ αἰτίας καὶ περὶ τῶν ἄλλων ἁπάντων [ὄντων], ἃ δ' ἂν μή, ὡς οὐκ ἀληθῆ. βούλομαι δέ σοι σαφέστερον εἰπεῖν ἃ λέγω· οἶμαι γάρ σε νῦν οὐ μανθάνειν.' 'οὐ μὰ τὸν Δία,' ἔφη ὁ Κέβης, 'οὐ σφόδρα.'

B XLIX. 'Ἀλλ',' ἦ δ' ὅς, 'ὧδε | λέγω, οὐδὲν καινόν, ἀλλ' ἅπερ ἀεὶ καὶ ἄλλοτε καὶ ἐν τῷ παρεληλυθότι λόγῳ οὐδὲν πέπαυμαι λέγων. ἔρχομαι [γὰρ] δὴ ἐπιχειρήσων σοι ἐπιδείξασθαι τῆς αἰτίας τὸ εἶδος ὃ πεπραγμάτευμαι, καὶ εἶμι πάλιν ἐπ' ἐκεῖνα τὰ πολυθρύλητα καὶ ἄρξομαι ἀπ' ἐκείνων, ὑποθέμενος εἶναί τι καλὸν αὐτὸ καθ' αὑτὸ καὶ ἀγαθὸν καὶ μέγα καὶ τἆλλα πάντα· ἃ εἴ μοι δίδως [τε καὶ ξυγχωρεῖς εἶναι ταῦτα], ἐλπίζω σοι ἐκ τούτων τὴν αἰτίαν ἐπιδείξειν

---

6. ἀπειρήκη vH.] -κει — pr. T, -κειν Stob. | 7. delevi καὶ σκοπ. (σκοτούμενοι Wytt.). | 15 sq. τοῖς bis om. T, priore loco Stob. | 20. ὄντων om. T et Stob. τῶν ὄντων vulgo et Sch. | 26. γὰρ cum T del. Burn. | ἐπιχειρήσων vH.] ἐπιχειρῶν. | 28. ἄρξομαι vH.] ἄρχομαι. Cf. εἶμι (27). | 30. τε καὶ συγχ. — ταῦτα interpolata videntur.

*καὶ ἀνευρήσειν, ὡς ἀθάνατον ἡ ψυχή.' 'ἀλλὰ μήν,' ἔφη
ὁ | Κέβης, 'ὡς διδόντος σοι οὐκ ἂν φθάνοις περαίνων.'* C
*'σκόπει δή,' ἔφη, 'τὰ ἑξῆς ἐκείνοις, ἐάν σοι συνδοκῇ ὥσπερ
ἐμοί. φαίνεται γάρ μοι, εἴ τί ἐστιν ἄλλο καλὸν [πλὴν αὐτὸ
τὸ καλόν], οὐδὲ δι' ἓν ἄλλο καλὸν εἶναι ἢ διότι μετέχει
ἐκείνου τοῦ καλοῦ· καὶ πάντα δὴ οὕτως λέγω. τῇ τοιᾷδ'
αἰτίᾳ συγχωρεῖς;' 'συγχωρῶ,' ἔφη. 'οὐ τοίνυν,' ἦ δ' ὅς, 'ἔτι
μανθάνω οὐδὲ δύναμαι τὰς ἄλλας αἰτίας τὰς σοφὰς ταύτας
γιγνώσκειν· ἀλλ' ἐάν τίς μοι λέγῃ, δι' ὅ τι καλόν ἐστιν
ὁτιοῦν, ἢ χρῶμ' εὐανθὲς | ἔχον ἢ σχῆμ' ἢ ἄλλ' ὁτιοῦν τῶν* D
*τοιούτων, τὰ μὲν ἄλλα χαίρειν ἐῶ, ταράττομαι γὰρ ἐν τοῖς
ἄλλοις πᾶσι, τοῦτο δ' ἁπλῶς καὶ ἀτέχνως καὶ ἴσως εὐήθως
ἔχω παρ' ἐμαυτῷ, ὅτι οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἡ
ἐκείνου τοῦ καλοῦ εἴτε παρουσία εἴτε κοινωνία [εἴτε] ὅπῃ δὴ
καὶ ὅπως προσγενομένη· οὐ γὰρ ἔτι τοῦτο διισχυρίζομαι,
ἀλλ' ὅτι τῷ καλῷ πάντα τὰ καλὰ γίγνεται καλά. τοῦτο γάρ
μοι δοκεῖ ἀσφαλέστατον εἶναι καὶ ἐμαυτῷ ἀποκρίνασθαι καὶ
ἄλλῳ, καὶ τούτου ἐχόμενος ἡγοῦμαι οὐκ ἂν | ποτε πεσεῖν,* E
*ἀλλ' ἀσφαλὲς εἶναι καὶ ἐμοὶ καὶ ὁτῳοῦν ἄλλῳ ἀποκρίνασθαι,
ὅτι τῷ καλῷ τὰ καλὰ καλά· ἢ οὐ καὶ σοὶ δοκεῖ;' 'δοκεῖ.'
'καὶ μεγέθει ἄρα τὰ μεγάλα μεγάλα καὶ τὰ μείζω μείζω,
καὶ σμικρότητι τὰ ἐλάττω ἐλάττω;' 'ναί.' 'οὐδὲ σὺ ἄρ' ἂν
ἀποδέχοιο, εἴ τίς τινα φαίη ἕτερον ἑτέρου τῇ κεφαλῇ μείζω
εἶναι, καὶ τὸν ἐλάττω τῷ αὐτῷ τούτῳ ἐλάττω, | ἀλλὰ δια-* 101
*μαρτύροι' ἄν, ὅτι σὺ μὲν οὐδὲν ἄλλο λέγεις ἢ ὅτι τὸ ⟨μὲν⟩
μεῖζον πᾶν ἕτερον ἑτέρου οὐδενὶ ἄλλῳ μεῖζόν ἐστιν ἢ μεγέθει,
[καὶ διὰ τοῦτο μεῖζον, διὰ τὸ μέγεθος,] τὸ δ' ἔλαττον οὐδενὶ
ἄλλῳ ἔλαττον ἢ σμικρότητι [, καὶ διὰ τοῦτ' ἔλαττον, διὰ τὴν
σμικρότητα], φοβούμενος, οἶμαι, μή τίς σοι ἐναντίος λόγος
ἀπαντήσῃ, ἐὰν τῇ κεφαλῇ μείζω τινὰ φῇς εἶναι καὶ ἐλάττω,
πρῶτον μὲν τῷ αὐτῷ τὸ μεῖζον μεῖζον εἶναι καὶ τὸ ἔλαττον
ἔλαττον, ἔπειτα τῇ κεφαλῇ σμικρᾷ οὔσῃ τὸν μείζω | μείζω* B
εἶναι, καὶ τοῦτο δὴ τέρας εἶναι, τὸ σμικρῷ τινι μέγαν τιν'

---

14. primum *εἴτε* del. Badh., melius tertium Sch. cum aliis. | 15. *γάρ τι?* | 25. inserui *μὲν*. | 27. sq. delevi emblemata. | 30. *μείζω* vH.] *μείζονα*.

εἶναι· ἢ οὐκ ἂν φοβοῖο ταῦτα;' καὶ ὁ Κέβης γελάσας· 'ἔγωγε,' ἔφη. 'οὐκοῦν, ἦ δ' ὅς, 'τὰ δέκα τῶν ὀκτὼ δυοῖν πλείω εἶναι, καὶ διὰ ταύτην τὴν αἰτίαν ὑπερβάλλειν, φοβοῖ' ἂν λέγειν, ἀλλὰ μὴ πλήθει [καὶ διὰ τὸ πλῆθος]; καὶ τὸ δίπηχυ τοῦ πηχυαίου ἡμίσει μεῖζον εἶναι, ἀλλ' οὐ μεγέθει; ὁ αὐτὸς γάρ που φόβος.' 'πάνυ γ',' ἔφη. 'τί δέ; ἑνὶ ἑνὸς προστεθέντος τὴν πρόσθεσιν αἰτίαν εἶναι τοῦ δύο γενέσθαι
C *ἢ διασχισθέντος τὴν σχίσιν | οὐκ εὐλαβοῖ' ἂν λέγειν; καὶ μέγ' ἂν βοῴης, ὅτι οὐκ οἶσθ' ἄλλως πως ἕκαστον γιγνόμενον ἢ μετασχὸν τῆς ἰδίας οὐσίας ἑκάστου, οὗ ἂν μετάσχῃ, καὶ ἐν τούτοις οὐκ ἔχεις ἄλλην τιν' αἰτίαν τοῦ δύο γενέσθαι ἀλλ' ἢ τὴν τῆς δυάδος μετάσχεσιν, καὶ δεῖν τούτου μετασχεῖν τὰ μέλλοντα δύ' ἔσεσθαι, καὶ μονάδος ὃ ἂν μέλλῃ ἓν ἔσεσθαι, τὰς δὲ σχίσεις ταύτας καὶ προσθέσεις καὶ τὰς ἄλλας τὰς τοιαύτας κομψείας ἐῴης ἂν χαίρειν, παρεὶς ἀποκρίνασθαι*
D *τοῖς σεαυτοῦ σοφωτέροις· σὺ δὲ δεδιὼς ἄν, τὸ | λεγόμενον, τὴν σεαυτοῦ σκιὰν [καὶ τὴν ἀπειρίαν], ἐχόμενος ἐκείνου τοῦ ἀσφαλοῦς τῆς ὑποθέσεως, οὕτως ἀποκρίναι' ἄν; εἰ δέ τις αὐτῆς τῆς ὑποθέσεως ἔχοιτο, χαίρειν ἐῴης ἂν καὶ οὐκ ἀποκρίναιο, ἕως ἂν τἀπ' ἐκείνης ὁρμηθέντα σκέψαιο, εἴ σοι ἀλλήλοις συμφωνεῖ ἢ διαφωνεῖ· ἐπειδὴ δ' ἐκείνης αὐτῆς δέοι σε διδόναι λόγον, ὡσαύτως ἂν διδοίης, ἄλλην αὖ ὑπόθεσιν ὑποθέμενος, ἥτις τῶν ἄνωθεν βελτίστη φαίνοιτο, ἕως ἐπί*
E *τι ἱκανὸν ἔλθοις, ἅμα δ' | οὐκ ἂν φύροις ὥσπερ οἱ ἀντιλογικοὶ περί τε τῆς ἀρχῆς διαλεγόμενος καὶ τῶν ἐξ ἐκείνης ὡρμημένων, εἴπερ βούλοιό τι τῶν ὄντων εὑρεῖν; ἐκείνοις μὲν γὰρ ἴσως οὐδὲ εἷς περὶ τούτου λόγος οὐδὲ φροντίς· ἱκανοὶ γὰρ ὑπὸ σοφίας ὁμοῦ πάντα κυκῶντες ὅμως δύνασθαι*
102 *αὐτοὶ αὑτοῖς ἀρέσκειν· σὺ δ', εἴπερ εἶ τῶν | φιλοσόφων, οἶμαι, ἂν ὡς ἐγὼ λέγω ποιοίης.' 'ἀληθέστατα,' ἔφη, 'λέγεις,' ὅ τε Σιμμίας ἅμα καὶ ὁ Κέβης.*

ΕΧ. Νὴ Δία, ὦ Φαίδων, εἰκότως γε· θαυμαστῶς γάρ μοι δοκεῖ ὡς ἐναργῶς τῷ καὶ σμικρὸν νοῦν ἔχοντι εἰπεῖν ἐκεῖνος ταῦτα.

---

4. *καὶ — πλῆθος* delevi. | 17. emblema del. Hartm. | 19. *ἔχοιτο* vix sanum, Madv. *ἔφειτο* (imo *ἐφεῖτο*), Rich. *λάβοιτο* vel *ἐπιλάβοιτο*.

ΦΑΙΔ. *Πάνυ μὲν οὖν, ὦ Ἐχέκρατες, καὶ πᾶσι τοῖς παροῦσιν ἔδοξεν.*

ΕΧ. *Καὶ γὰρ ἡμῖν τοῖς ἀποῦσι, νῦν δ' ἀκούουσιν. ἀλλὰ τίνα δὴ ἦν τὰ μετὰ ταῦτα λεχθέντα;*

L. *ΦΑΙΔ.* *Ὡς μὲν ἐγῷμαι, ἐπεὶ αὐτῷ ταῦτα συνεχω-
ρήθη, καὶ ὡμολογεῖτο εἶναί τι ἕκαστον | τῶν εἰδῶν καὶ* B
*τούτων τἆλλα μεταλαμβάνοντ' αὐτῶν τούτων τὴν ἐπωνυμίαν
ἴσχειν, τὸ δὴ μετὰ ταῦτ' ἠρώτα· 'εἰ δή,' ἦ δ' ὅς, 'ταῦθ'
οὕτως λέγεις, ἆρ' οὐχ, ὅταν Σιμμίαν Σωκράτους φῇς μείζω
εἶναι, Φαίδωνος δ' ἐλάττω, λέγεις τότ' εἶναι ἐν τῷ Σιμμίᾳ
ἀμφότερα, καὶ μέγεθος καὶ σμικρότητα;' 'ἔγωγε.' 'ἀλλὰ γάρ,'
ἦ δ' ὅς, 'ὁμολογεῖς τὸ τὸν Σιμμίαν ὑπερέχειν Σωκράτους
οὐχ, ὡς τοῖς ῥήμασι λέγεται, οὕτω καὶ τἀληθὲς ἔχειν. οὐ
γάρ που πεφυκέναι Σιμμίαν ὑπερέχειν τούτῳ | τῷ Σιμμίαν* C
*εἶναι, ἀλλὰ τῷ μεγέθει, ὃ τυγχάνει ἔχων· οὐδ' αὖ Σωκρά-
τους ὑπερέχειν, ὅτι Σωκράτης ὁ Σωκράτης ἐστίν, ἀλλ' ὅτι
σμικρότητ' ἔχει ὁ Σωκράτης πρὸς τὸ ἐκείνου μέγεθος;'
'ἀληθῆ.' 'οὐδέ γ' αὖ ὑπὸ Φαίδωνος ὑπερέχεσθαι τῷ ὅτι
Φαίδων ὁ Φαίδων ἐστίν, ἀλλ' ὅτι μέγεθος ἔχει ὁ Φαίδων
πρὸς τὴν Σιμμίου σμικρότητα;' 'ἔστι ταῦτα.' 'οὕτως ἄρ' ὁ
Σιμμίας ἐπωνυμίαν ἔχει σμικρός τε καὶ μέγας εἶναι, ἐν
μέσῳ ὢν ἀμφοτέρων, τοῦ μὲν τῷ μεγέθει ὑπερέχειν τὴν |
σμικρότητα ὑπέχων, τῷ δὲ τὸ μέγεθος τῆς σμικρότητος* D
*παρέχων ὑπερέχον.' καὶ ἅμα μειδιάσας· 'ἔοικα,' ἔφη, 'καὶ
συγγραφικῶς εἰπεῖν, ἀλλ' οὖν ἔχει γέ που, ὡς λέγω.' συνέφη.
'λέγω δὴ τοῦδ' ἕνεκα, βουλόμενος δόξαι σοὶ ὅπερ ἐμοί.
ἐμοὶ γὰρ φαίνεται οὐ μόνον αὐτὸ τὸ μέγεθος οὐδέποτ' ἐθέ-
λειν ἅμα μέγα καὶ σμικρὸν εἶναι, ἀλλὰ καὶ τὸ ἐν ἡμῖν
μέγεθος οὐδέποτε προσδέχεσθαι τὸ σμικρὸν οὐδ' ἐθέλειν
ὑπερέχεσθαι, ἀλλὰ δυοῖν θάτερον, ἢ φεύγειν καὶ ὑπεκχωρεῖν,
ὅταν αὐτῷ | προσίῃ τοὐναντίον, τὸ σμικρόν, ἢ προσελθόντος* E
*ἐκείνου ἀπολωλέναι· ὑπομεῖναν δὲ καὶ δεξάμενον τὴν σμι-
κρόμητα οὐκ ἐθέλειν εἶναι ἕτερον ἢ ὅπερ ἦν. ὥσπερ ἐγὼ
δεξάμενος καὶ ὑπομείνας τὴν σμικρότητα, καὶ ἔτι ὤν, ὅσπερ*

---

14. *τούτῳ]* *αὐτῷ* Rich. | 25. *συγγραφικῶς*, *in stadhuis- of notarisstijl.* | *εἰπεῖν* Wytt.] *ἐρεῖν.*

εἰμί, οὗτος ὁ αὐτὸς σμικρός εἰμι· ἐκεῖνο δ' οὐ τετόλμηκεν
μέγα ὂν σμικρὸν εἶναι· ὡς δ' αὔτως καὶ τὸ σμικρὸν τὸ ἐν
ἡμῖν οὐκ ἐθέλει ποτὲ μέγα γίγνεσθαι οὐδ' εἶναι, οὐδ' ἄλλ'
οὐδὲν τῶν ἐναντίων ἔτι ὄν, ὅπερ ἦν, ἅμα τοὐναντίον γίγνεσθαί
103 τε καὶ εἶναι, ἀλλ' ἤτοι | ἀπέρχεται ἢ ἀπόλλυται ἐν τούτῳ τῷ
παθήματι.' 'παντάπασιν,' ἔφη ὁ Κέβης, 'οὕτω φαίνεταί μοι.'

LI. Καί τις εἶπε τῶν παρόντων ἀκούσας — ὅστις δ' ἦν,
οὐ σαφῶς μέμνημαι —· 'πρὸς θεῶν, οὐκ ἐν τοῖς πρόσθεν
ἡμῖν λόγοις αὐτὸ τοὐναντίον τῶν νυνὶ λεγομένων ὡμολογεῖτο,
ἐκ τοῦ ἐλαττονος τὸ μεῖζον γίγνεσθαι καὶ ἐκ τοῦ μείζονος
τὸ ἔλαττον, καὶ ἀτεχνῶς αὕτη εἶναι ἡ γένεσις τοῖς ἐναντίοις,
ἐκ τῶν ἐναντίων; νῦν δέ μοι δοκεῖ λέγεσθαι, ὅτι τοῦτ' οὐκ
ἄν ποτε γένοιτο.' καὶ ὁ Σωκράτης παραβαλὼν τὴν κεφαλὴν
B καὶ ἀκούσας· 'ἀνδρικῶς,' ἔφη, | 'ἀπεμνημόνευκας, οὐ μέντοι
ἐννοεῖς τὸ διαφέρον τοῦ τε νῦν λεγομένου καὶ τοῦ τότε.
τότε μὲν γὰρ ἐλέγετ' ἐκ τοὐναντίου πράγματος τοὐναντίον
πρᾶγμα γίγνεσθαι, νῦν δέ, ὅτι αὐτὸ τοὐναντίον ἑαυτῷ
ἐναντίον οὐκ ἄν ποτε γένοιτο, οὔτε τὸ ἐν ἡμῖν οὔτε τὸ ἐν
τῇ φύσει. τότε μὲν γάρ, ὦ φίλε, περὶ τῶν ἐχόντων τἀναντί'
ἐλέγομεν, ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ, νῦν
δὲ περὶ ἐκείνων αὐτῶν, ὧν ἐνόντων ἔχει τὴν ἐπωνυμίαν τὰ
C ὀνομαζόμενα· αὐτὰ δ' ἐκεῖνα οὐκ ἄν ποτέ φαμεν | ἐθελῆσαι
γένεσιν ἀλλήλων δέξασθαι.' καὶ ἅμα βλέψας πρὸς τὸν Κέβητα
εἶπεν· 'ἆρα μή που, ὦ Κέβης,' ἔφη, 'καὶ σέ τι τούτων
ἐτάραξεν ὧν ὅδε εἶπεν;' 'οὐδ' αὖ,' ἔφη ὁ Κέβης, 'οὕτως
ἔχω· καίτοι οὔ τι λέγω ὡς οὐ πολλά με ταράττει.' 'συνωμο-
λογήκαμεν ἄρα,' ἦ δ' ὅς, 'ἁπλῶς τοῦτο, μηδέποτ' ἐναντίον
ἑαυτῷ τοὐναντίον ἔσεσθαι.' 'παντάπασιν,' ἔφη.

LII. '῎Ετι δή μοι καὶ τόδε σκέψαι,' ἔφη, 'εἰ ἄρα συνο-
μολογήσεις. θερμόν τι καλεῖς καὶ ψυχρόν;' 'ἔγωγε.' 'ἆρ'
D ὅπερ χιόνα καὶ πῦρ;' 'μὰ Δί', οὐκ | ἔγωγε.' 'ἀλλ' ἕτερόν τι
πυρὸς τὸ θερμὸν καὶ ἕτερόν τι χιόνος τὸ ψυχρόν;' 'ναί.'
'ἀλλὰ τόδε γ', οἶμαι, δοκεῖ σοι, οὐδέποτε χιόνα ⟨χιόνα⟩
οὖσαν δεξαμένην τὸ θερμόν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐλέ-
γομεν, ἔτι ἔσεσθαι ὅπερ ἦν, χιόνα καὶ θερμόν, ἀλλὰ προ-
σιόντος τοῦ θερμοῦ ἢ ὑπεκχωρήσειν αὐτῷ ἢ ἀπολεῖσθαι.'
'πάνυ γε.' 'καὶ τὸ πῦρ γ' αὖ προσιόντος τοῦ ψυχροῦ αὐτῷ

*ἢ ὑπεξιέναι ἢ ἀπολεῖσθαι, οὐ μέντοι ποτὲ τολμήσειν δεξά-
μενον τὴν ψυχρότητα ἔτι εἶναι ὅπερ ἦν, πῦρ καὶ ψυχρόν.' |
'ἀληθῆ,' ἔφη, 'λέγεις.' 'ἔστιν ἄρα,' ἦ δ' ὅς, 'περὶ ἔνια τῶν* E
*τοιούτων, ὥστε μὴ μόνον αὐτὸ τὸ εἶδος ἀξιοῦσθαι τοῦ αὐτοῦ
ὀνόματος εἰς τὸν ἀεὶ χρόνον, ἀλλὰ καὶ ἄλλο τι, ὃ ἔστι μὲν
οὐκ ἐκεῖνο, ἔχει δὲ τὴν ἐκείνου μορφὴν ἀεί, ὅτανπερ ᾖ.
ἔτι δ' ἐν τοῖσδ' ἴσως ἔσται σαφέστερον, ὃ λέγω. τὸ γὰρ
περιττὸν ἀεί που δεῖ τούτου τοῦ ὀνόματος τυγχάνειν, ὅπερ
νῦν λέγομεν· ἢ οὔ;' 'πάνυ γε.' 'ἆρα μόνον τῶν ὄντων,
τοῦτο γὰρ ἐρωτῶ, ἢ καὶ ἄλλο τι, ὃ ἔστι μὲν οὐχ ὅπερ τὸ |
περιττόν, ὅμως δὲ δεῖ αὐτὸ μετὰ τοῦ ἑαυτοῦ ὀνόματος καὶ* 104
*τοῦτο καλεῖν ἀεὶ διὰ τὸ οὕτω πεφυκέναι ὥστε τοῦ περιττοῦ
μηδέποτ' ἀπολείπεσθαι; λέγω δ' αὐτὸ εἶναι οἷον καὶ ἡ τριὰς
πέπονθε καὶ ἄλλα πολλά. σκόπει δὲ περὶ τῆς τριάδος. ἆρ'
οὐ δοκεῖ σοι τῷ τ' αὑτῆς ὀνόματι ἀεὶ προσαγορευτέα εἶναι
καὶ τῷ τοῦ περιττοῦ, ὄντος οὐχ οὗπερ τῆς τριάδος; ἀλλ'
ὅμως οὕτω πως πέφυκε καὶ ἡ τριὰς καὶ ἡ πεμπτὰς καὶ ὁ
ἥμισυς τοῦ ἀριθμοῦ ἅπας, ὥστε οὐκ ὢν ὅπερ τὸ περιττὸν
ἀεὶ ἕκαστος | αὐτῶν ἐστι περιττός· καὶ αὖ τὰ δύο καὶ τὰ* B
*τέτταρα καὶ ἅπας ὁ ἕτερος αὖ στίχος τοῦ ἀριθμοῦ οὐκ ὢν
ὅπερ τὸ ἄρτιον ὅμως ἕκαστος αὐτῶν ἄρτιός ἐστιν ἀεί· συγ-
χωρεῖς ἢ οὔ;' 'πῶς γὰρ οὔκ;' ἔφη. 'ὃ τοίνυν,' ἔφη, 'βού-
λομαι δηλῶσαι, ἄθρει. ἔστιν δὲ τόδε, ὅτι φαίνεται οὐ μόνον
ἐκεῖνα τἀναντί' ἄλληλ' οὐ δεχόμενα, ἀλλὰ καὶ ὅσ' οὐκ ὄντ'
ἀλλήλοις ἐναντία ἔχει ἀεὶ τἀναντία, οὐδὲ ταῦτ' ἔοικε δεχο-
μένοις ἐκείνην τὴν ἰδέαν, ἣ ἂν τῇ ἐν αὐτοῖς οὔσῃ ἐναντία ᾖ,
ἀλλ' ἐπιούσης αὐτῆς ἤτοι ἀπολλύμεν' ἢ | ὑπεκχωροῦντα.* C
*ἢ οὐ φήσομεν τὰ τρία καὶ ἀπολεῖσθαι πρότερον καὶ ἄλλ'
ὁτιοῦν πείσεσθαι, πρὶν ὑπομεῖναι ἔτι τρία ὄντ' ἄρτια γενέσθαι;
'πάνυ μὲν οὖν,' ἔφη ὁ Κέβης. 'οὐδὲ μήν,' ἦ δ' ὅς, 'ἐναντίον
γ' ἐστὶ δυὰς τριάδι.' 'οὐ γὰρ οὖν.' 'οὐκ ἄρα μόνον τὰ εἴδη
τἀναντία οὐχ ὑπομένει ἐπιόντ' ἄλληλα, ἀλλὰ καὶ ἄλλ' ἄττα
τἀναντία οὐχ ὑπομένει ἐπιόντα.' 'ἀληθέστατα,' ἔφη, 'λέγεις.'*

LIII. *'Βούλει οὖν,' ἦ δ' ὅς, 'ἐὰν οἷοί τ' ὦμεν, ὁρισώ-
μεθα, ὁποῖα ταῦτ' ἐστιν;' 'πάνυ γε.' 'ἆρ' οὖν,' ἔφη, |
'ὦ Κέβης, τάδ' εἴη ἄν, ἃ ὅ τι ἂν κατάσχῃ, μὴ μόνον* D
ἀναγκάζει τὴν αὑτου ἰδέαν αὐτὸ ἴσχειν, ἀλλὰ καὶ ἐναντίου

αὐτῷ ἀεὶ δεῖ τινος;’ ‘πῶς λέγεις;’ ‘ὥσπερ ἄρτι ἐλέγομεν.
οἶσθα γὰρ δήπου, ὅτι ἃ ἂν ἡ τῶν τριῶν ἰδέα κατάσχῃ,
ἀνάγκη αὐτοῖς οὐ μόνον τρισὶν εἶναι ἀλλὰ καὶ περιττοῖς.’
‘πάνυ γε.’ ‘ἐπὶ τὸ τοιοῦτον δή, φαμέν, ἡ ἐναντία ἰδέα
ἐκείνῃ τῇ μορφῇ, ἣ ἂν τοῦτ’ ἀπεργάζηται, οὐδέποτ’ ἂν
ἔλθοι.’ ‘οὐ γάρ.’ ‘ἠργάζετο δέ γ’ ἡ περιττή;’ ‘ναί.’ ‘ἐναντία
E δὲ ταύτῃ ἡ τοῦ ἀρτίου;’ ‘ναί.’ ‘ἐπὶ τὰ | τρία ἄρ’ ἡ τοῦ
ἀρτίου ἰδέα οὐδέποθ’ ἥξει.’ ‘οὐ δῆτα.’ ‘ἄμοιρα δὴ τοῦ
ἀρτίου τὰ τρία.’ ‘ἄμοιρα.’ ‘ἀνάρτιος ἄρ’ ἡ τριάς.’ ‘ναί.’
‘ὃ τοίνυν ἔλεγον ὁρίσασθαι, ποῖ’ οὐκ ἐναντία τινὶ ὄντα ὅμως
οὐ δέχεται αὐτὸ [τὸ ἐναντίον], οἷον νῦν ἡ τριὰς τῷ ἀρτίῳ
οὐκ οὖσ’ ἐναντία οὐδέν τι μᾶλλον αὐτὸ δέχεται, τὸ γὰρ
ἐναντίον ἀεὶ αὐτῷ ἐπιφέρει, καὶ ἡ δυὰς τῷ περιττῷ καὶ τὸ
105 πῦρ τῷ ψυχρῷ καὶ | ἄλλα πάμπολλα — ἀλλ’ ὅρα δή, εἰ
οὕτως ὁρίζει, μὴ μόνον τοὐναντίον τοὐναντίον μὴ δέχεσθαι,
ἀλλὰ καὶ ἐκεῖνο, ὃ ἂν ἐπιφέρῃ τι ἐναντίον ἐκείνῳ, ἐφ’ ὅ τι
ἂν αὐτὸ ἴῃ, αὐτὸ τὸ ἐπιφέρον τὴν τοῦ ἐπιφερομένου ἐναντι-
ότητα μηδέποτε δέξεσθαι, πάλιν δ’ ἀναμιμνῄσκου· οὐ γὰρ
χεῖρον πολλάκις ἀκούειν. τὰ πέντε τὴν τοῦ ἀρτίου οὐ δέξεται,
οὐδὲ τὰ δέκα τὴν τοῦ περιττοῦ, τὸ διπλάσιον· τοῦτο μὲν
οὖν καὶ αὐτὸ ἄλλῳ ⟨οὐκ⟩ ἐναντίον, ὅμως δὲ τὴν τοῦ περιτ-
B τοῦ οὐ δέξεται· οὐδὲ δὴ τὸ ἡμιόλιον οὐδὲ | τἆλλα τὰ τοιαῦτα,
[τὸ ἥμισυ,] τὴν τοῦ ὅλου, καὶ τριτημόριον αὖ καὶ πάντα
τὰ τοιαῦτα, εἴπερ ἕπει τε καὶ συνδοκεῖ σοι οὕτως.’ ‘πάνυ
σφόδρα καὶ συνδοκεῖ,’ ἔφη, ‘καὶ ἕπομαι.’

LIV. ‘Πάλιν δή μοι,’ ἔφη, ‘ἐξ ἀρχῆς λέγε. καὶ μή μοι
ὃ ἂν ἐρωτῶ ἀποκρίνου, ἀλλὰ μιμούμενος ἐμέ. λέγω δὴ
παρ’ ἣν τὸ πρῶτον ἔλεγον ἀπόκρισιν, τὴν ἀσφαλῆ ἐκείνην,
ἐκ τῶν νῦν λεγομένων ἄλλην ὁρῶν ἀσφάλειαν. εἰ γὰρ ἔροιό
με, ᾧ ἂν τί [ἐν τῷ σώματι] ἐγγένηται, θερμὸν ἔσται, οὐ
C τὴν | ἀσφαλῆ σοι ἐρῶ ἀπόκρισιν ἐκείνην τὴν ἀμαθῆ, ὅτι ᾧ
ἂν θερμότης, ἀλλὰ κομψοτέραν ἐκ τῶν νῦν, ὅτι ᾧ ἂν πῦρ·
οὐδ’ ἐὰν ἔρῃ, ᾧ ἂν σώματι τί ἐγγένηται, νοσήσει, οὐκ ἐρῶ,

---

1. αὐτῷ ἀεὶ δεῖ τινος vH.] δεῖ αὐτῷ τινος T, αὐτῷ ἀεί τινος B, [αὐτῷ] ἀεί τινος Sch. | 6. codd. et vulgo εἰργάζετο. Cf. Meist. p. 171, 11. | 21. ἄλλῳ] τῷ ἁπλῷ Liebhold. | 22. δὴ cum B om. Sch.

ὅτι ᾧ ἂν νόσος, ἀλλ' ᾧ ἂν πυρετός· οὐδ' ᾧ ἂν ἀριθμῷ τι
ἐγγένηται, περιττὸς ἔσται, οὐκ ἐρῶ, ᾧ ἂν περιττότης, ἀλλ'
ᾧ ἂν μονάς, καὶ τἆλλ' οὕτως. ἀλλ' ὅρα, εἰ ἤδη ἱκανῶς
οἶσθ' ὅ τι βούλομαι.' 'ἀλλὰ πάνυ ἱκανῶς,' ἔφη. 'ἀποκρίνου
δή,' ἦ δ' ὅς, 'ᾧ ἂν τί ἐγγένηται σώματι, ζῶν ἔσται;'
'ᾧ ἂν ψυχή,' ἔφη. 'οὐκοῦν ἀεὶ τοῦθ' οὕτως | ἕξει;' 'πῶς D
γὰρ οὐχί;' ἦ δ' ὅς. 'ἡ ψυχὴ ἄρ' ὅτι ἂν αὐτὴ κατάσχῃ, ἀεὶ
ἥξει ἐπ' ἐκεῖνο φέρουσα ζωήν;' 'ἥξει μέντοι,' ἔφη. 'πότερον
δ' ἔστι τι ζωῇ ἐναντίον ἢ οὐδέν;' 'ἔστιν,' ἔφη. 'τί;' 'θάνατος.'
'οὐκοῦν ψυχὴ τοὐναντίον ᾧ αὐτὴ ἐπιφέρει ἀεὶ οὐ μή ποτε
δέξηται, ὡς ἐκ τῶν πρόσθεν ὡμολόγηται;' 'καὶ μάλα σφό-
δρα,' ἔφη ὁ Κέβης.

LV. 'Τί οὖν; τὸ μὴ δεχόμενον τὴν τοῦ ἀρτίου ἰδέαν τί
νυνδὴ ὠνομάζομεν;' 'ἀνάρτιον,' ἔφη. 'τὸ δὲ δίκαιον μὴ
δεχόμενον καὶ ὃ ἂν μουσικὸν μὴ δέχηται;' | 'ἄμουσον,' ἔφη, E
'τὸ δ' ἄδικον.' 'εἶεν· ὃ δ' ἂν θάνατον μὴ δέχηται, τί καλοῦ-
μεν;' 'ἀθάνατον,' ἔφη. 'οὐκοῦν [ἡ] ψυχὴ οὐ δέχεται θάνα-
τον;' 'οὔ.' 'ἀθάνατον ἄρα [ἡ] ψυχή.' 'ἀθάνατον.' 'εἶεν,' ἔφη·
'τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν· ἢ πῶς δοκεῖ;' 'καὶ μάλα
γ' ἱκανῶς, ὦ Σώκρατες.' 'τί οὖν,' ἦ δ' ὅς, 'ὦ Κέβης; εἰ τῷ
ἀναρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶναι; | ἄλλο τι ἢ τὰ τρία 106
ἀνώλεθρ' ἂν ἦν;' 'πῶς γὰρ οὔ;' 'οὐκοῦν εἰ καὶ τὸ ἄθερμον
ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε τις ἐπὶ χιόνα θερμὸν
ἐπαγάγοι, ὑπεξῄει ἂν ἡ χιὼν οὖσα σῶς καὶ ἄτηκτος; οὐ γὰρ
ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα ἐδέξατ' ἂν τὴν θερμό-
τητα.' 'ἀληθῆ,' ἔφη, 'λέγεις.' 'ὡς δ' αὕτως, οἶμαι, κἂν εἰ
τὸ ἄψυκτον ἀνώλεθρον ἦν, ὁπότε ἐπὶ τὸ πῦρ ψυχρόν τι
ἐπίοι, οὔποτ' ἂν ἀπεσβέννυτ' οὐδ' ἀπώλλυτο, ἀλλὰ σῶν ἂν
ἀπελθὸν ᾤχετο.' 'ἀνάγκη,' ἔφη. 'οὐκοῦν καὶ ὧδε,' ἔφη, |
'ἀνάγκη περὶ τοῦ ἀθανάτου εἰπεῖν; εἰ μὲν τὸ ἀθάνατον καὶ B
ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνατος ἐπ' αὐτὴν
ἴῃ, ἀπόλλυσθαι· θάνατον μὲν γὰρ δὴ ἐκ τῶν προειρημένων
οὐ δέξεται οὐδ' ἔσται τεθνηκυῖα, ὥσπερ τὰ τρία οὐκ ἔσται,
ἔφαμεν, ἄρτιον, οὐδέ γ' αὖ τὸ περιττόν, οὐδὲ δὴ πῦρ ψυχρόν,
οὐδέ γ' ἡ ἐν τῷ πυρὶ θερμότης. ἀλλὰ τί κωλύει, φαίη ἄν τις,

6. ἕξει Rich.] ἔχει. | 8. bis ἥξει pro ἥκει idem.

ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι ἐπιόντος τοῦ ἀρτίου,
C ὥσπερ ὡμολόγηται, ἀπολομένου δ' αὐτοῦ ἀντ' | ἐκείνου
ἄρτιον γεγονέναι; τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοιμεν διαμάχεσθαι, ὅτι οὐκ ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον οὐκ ἀνώλεθρόν ἐστιν· ἐπεὶ εἰ τοῦθ' ὡμολόγηθ' ἡμῖν, ῥᾳδίως ἂν διεμαχόμεθα, ὅτι ἐπελθόντος τοῦ ἀρτίου τὸ περιττὸν καὶ τὰ τρία οἴχεται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ καὶ τῶν ἄλλων οὕτως ἂν διεμαχόμεθα. ἢ οὔ;' 'πάνυ μὲν οὖν.' 'οὔκουν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη πρὸς τῷ ἀθάνατος εἶναι καὶ ἀνώλεθρος·
D | εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου.' 'ἀλλ' οὐδὲν δεῖ,' ἔφη, 'τούτου γ' ἕνεκα· σχολῇ γὰρ ἄν τι ἄλλο φθορὰν μὴ δέχοιτο, εἴ τό γε ἀθάνατον ἀΐδιον ὂν φθορὰν δέξεται.'

LVI. 'Ὁ δέ γε θεός, οἶμαι,' ἔφη ὁ Σωκράτης, 'καὶ αὐτὸ τὸ τῆς ζωῆς εἶδος καὶ εἴ τι ἄλλο ἀθάνατόν ἐστιν, παρὰ πάντων ἂν ὁμολογηθείη μηδέποτ' ἀπόλλυσθαι.' 'παρὰ πάντων μέντοι νὴ Δί',' ἔφη, 'ἀνθρώπων τέ γε καὶ ἔτι μᾶλλον, ὡς ἐγᾦμαι, παρὰ θεῶν.' 'ὁπότε δὴ τὸ ἀθάνατον
E καὶ ἀδιάφθορόν | ἐστιν, ἄλλο τι ἢ ψυχή, εἰ ἀθάνατος τυγχάνει οὖσα, καὶ ἀνώλεθρος ἂν εἴη;' 'πολλὴ ἀνάγκη.' 'ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον τό μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ ἀποθνῄσκει, τὸ δ' ἀθάνατον σῶν καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ.' 'φαίνεται.' 'παντὸς μᾶλλον ἄρα,' ἔφη, 'ὦ Κέβης, ψυχὴ ἀθάνατον καὶ
107 | ἀνώλεθρον, καὶ τῷ ὄντι ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου.' 'οὐκ οὖν ἔγωγε, ὦ Σώκρατες,' ἔφη, 'ἔχω παρὰ ταῦτ' ἄλλο τι λέγειν οὐδέ πῃ ἀπιστεῖν τοῖς λόγοις. ἀλλ' εἰ δή τι Σιμμίας ὅδ' ἤ τις ἄλλος ἔχει λέγειν, εὖ ἔχει μὴ κατασιγῆσαι· ὡς οὐκ οἶδ' εἰς ὅντινά τις ἄλλον καιρὸν ἀναβάλλοιτο [ἢ τὸν νῦν παρόντα], περὶ τῶν τοιούτων βουλόμενος ἤ τι εἰπεῖν ἢ ἀκοῦσαι.' 'ἀλλὰ μήν,' ἦ δ' ὅς [ὁ Σιμμίας], 'οὐδ' αὐτὸς ἔχω, ὅπῃ ἀπιστῶ ἔκ γε τῶν λεγομένων· ὑπὸ μέντοι τοῦ μεγέθους περὶ ὧν οἱ λόγοι εἰσίν, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν
B ἀτιμάζων, ἀναγκάζομαι ἀπιστίαν ἔτι ἔχειν παρ' ἐμαυτῷ περὶ τῶν εἰρημένων.' 'οὐ μόνον γ',' ἔφη, 'ὦ Σιμμία,' ὁ Σωκρά-

---

26. οὐκ οὖν] οὔκουν. | 29. emblema del. Hir. | 31. seclusi nomen.

της, ‘ἀλλὰ [ταῦτά τε εὖ λέγεις] καὶ τὰς ὑποθέσεις τὰς πρώτας, καὶ εἰ πισταὶ ὑμῖν εἰσιν, ὅμως ἐπισκεπτέα σαφέστερον· καὶ ἐὰν αὐτὰς ἱκανῶς διέλητε, ὡς ἐγᾦμαι, ἀκολουθήσετε τῷ λόγῳ, καθ’ ὅσον δυνατὸν μάλιστ’ ἀνθρώπῳ ἐπακολουθῆσαι· κἢν τοῦτ’ αὐτὸ σαφὲς γένηται, οὐδὲν ζητήσετε περαιτέρω.’ ‘ἀληθῆ, ἔφη, ‘λέγεις.’

LVII. *‘Ἀλλὰ τόδε γ’,’ ἔφη, ‘ὦ ἄνδρες, δίκαιον | διανοη-* C *θῆναι, ὅτι, εἴπερ ἡ ψυχὴ ἀθάνατος, ἐπιμελείας δὴ δεῖται οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ’ ὑπὲρ τοῦ παντός, καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμ’ ἀπηλλάχθαι καὶ τῆς αὑτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν δ’ ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμί’ ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ | σωτηρία πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέ-* D *σθαι. οὐδὲν γὰρ ἄλλ’ ἔχουσ’ εἰς Ἅιδου [ἡ ψυχὴ] ἔρχεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς, ἃ δὴ καὶ μέγιστα λέγεται ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντ’ εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. λέγεται δ’ [οὕτως], ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅσπερ ζῶντα εἰλήχει, οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον, οἷ δεῖ τοὺς συλλεγέντας διαδικασαμένους εἰς Ἅιδου πορεύεσθαι μεθ’ ἡγεμόνος ἐκείνου, ᾧ δὴ | προστέτακται τοὺς ἐνθένδ’ ἐκεῖσε πορεῦσαι·* E *τυχόντας δ’ ἐκεῖ ὧν δὴ τυχεῖν καὶ μείναντας ὃν χρὴ χρόνον ἄλλος δεῦρο πάλιν ἡγεμὼν κομίζει ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. ἔστι δ’ ἄρ’ ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει· | ἐκεῖνος μὲν γὰρ ἁ π λ ῆ ν ο ἷ μ ό ν φησιν ε ἰ ς* 108 *Ἅ ι δ ο υ φ έ ρ ε ι ν, ἡ δ’ οὔθ’ ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι. οὐδὲν γὰρ ἂν ἡγεμόνων ἔδει· οὐ γάρ πού τις ἂν διαμάρτοι οὐδαμόσ’ ⟨ἰὼν⟩ μιᾶς ὁδοῦ οὔσης. νῦν δ’ ἔοικε σχίσεις τε καὶ περιόδους πολλὰς ἔχειν· ἀπὸ τῶν ὁσίων τε καὶ νομίμων τῶν ἐνθάδε τεκμαιρόμενος λέγω. ἡ μὲν οὖν κοσμία τε*

1. emblema del. Hir. | 5. *κἢν* dedi pro *κἄν*. | 9. *ἐν ᾧ] ὃν*? | 17. emblema delevi L. Rh. p. 42. | 20. seclusi *οὕτως*. | 25. *δὴ* Stob.] *δεῖ* BT. | 28 sq. Aesch. fr. 239 Nck². | 30. *οὐδὲν* Stob.] *οὐδὲ* BT. | 31. *ἰὼν* add. Rich. | 32. *τριόδους* Dobr. | *ὁσίων] θυσιῶν* T et Stob. Burn.

καὶ φρόνιμος ψυχὴ ἕπεταί τε καὶ οὐκ †ἀγνοεῖ† τὰ παρόντα· ἡ δ' ἐπιθυμητικῶς τοῦ σώματος ἔχουσα, ὅπερ ἐν τῷ ἔμ-
B *προσθεν εἶπον, περὶ ἐκεῖνο πολὺν χρόνον | ἐπτοημένη καὶ περὶ τὸν ὁρατὸν τόπον, πόλλ' ἀντιτείνασα καὶ πολλὰ παθοῦσα, βίᾳ καὶ μόγις ὑπὸ τοῦ προστεταγμένου δαίμονος οἴχεται ἀγομένη. ἀφικομένην δ' οἷπερ ⟨καὶ⟩ αἱ ἄλλαι, τὴν μὲν ἀκάθαρτον καί τι πεποιηκυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην ἢ ἄλλ' ἄττα τοιαῦτ' εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑπεκτρέπεται καὶ οὔτε ξυνέμπορος οὐθ'*
C *ἡγεμὼν ἐθέλει γίγνεσθαι, αὐτὴ δὲ πλανᾶται ἐν | πάσῃ ἐχομένη ἀπορίᾳ, ἕως ἂν δή τινες χρόνοι γένωνται, ὧν ἐλθόντων ὑπ' ἀνάγκης φέρεται εἰς τὴν αὐτῇ πρέπουσαν οἴκησιν· ἡ δὲ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα, καὶ ξυνεμπόρων καὶ ἡγεμόνων [θεῶν] τυχοῦσα, ᾤκησεν τὸν αὐτῇ ἑκάστη τόπον προσήκοντα. εἰσὶν δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι, καὶ αὐτὴ οὔθ' οἵα οὔθ' ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπὸ δή τινος πέπεισμαι.'*
D LVIII. *Καὶ ὁ Σιμμίας· 'πῶς | ταῦτα,' ἔφη, 'λέγεις, ὦ Σώκρατες; περὶ γάρ τοι γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκήκοα, οὐ μέντοι ταῦθ' ἃ σὲ πείθει· ἡδέως οὖν ἂν ἀκούσαιμι.' 'ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχὶ Γλαύκου τέχνη γέ μοι δοκεῖ εἶναι διηγήσασθαι ἅ γ' ἐστίν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην, καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ' ἂν οἷός τ' εἴην, ἅμα δέ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμός, ὦ Σιμμία, τῷ μήκει τοῦ λόγου οὐκ ⟨ἂν⟩ ἐξαρκεῖν. τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν |*
E *πέπεισμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς οὐδέν με κωλύει*

---

1. *ἀγνοεῖ* vix sanum. vHeusde *ἀγανακτεῖ*. An *ἀγωνιᾷ* vel *ἀδημονεῖ*? Sed post haec omnia iure expectes *τοῖς παροῦσιν*. Num forte *ἀπογιγνώσκει*? | 6. *καὶ* add. Hertlein. | 10 et 15. rara in Phaedone et Protagora est forma *ξύν*, quae plerumque occurrit in tribus antiquioribus quos edidi dialogis. Scilicet in Attica sensim formam antiquiorem cessisse recentiori *σύν* docent tituli attici. Cf. Meist. p. 93, 5. | 15. *θεῶν* del. Hartm. | 18. *δὴ* Burn.] *δὲ* Stob., om. BT. | 23. *Γλαύκου τέχνη*, nos: *zwarte kunst*. Proverbii originem alii aliter, sed frustra tradunt veteres.

λέγειν.' 'ἀλλ',' ἔφη ὁ Σιμμίας, 'καὶ ταῦτ' ἀρκεῖ.' 'πέπεισμαι
τοίνυν,' ἦ δ' ὅς, 'ἐγώ, ὡς πρῶτον μέν, εἰ ἔστιν ἐν μέσῳ
τῷ οὐρανῷ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτ' ἀέρος
πρὸς τὸ μὴ πεσεῖν | μητ' ἄλλης ἀνάγκης μηδεμιᾶς τοιαύτης, 109
ἀλλ' ἱκανὴν εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ
αὐτοῦ ἑαυτῷ πάντῃ καὶ τῆς γῆς αὐτῆς τὴν ἰσορροπίαν·
ἰσόρροπον γὰρ πρᾶγμα ὁμοίου τινὸς ἐν μέσῳ τεθὲν οὐχ
ἕξει μᾶλλον οὐδ' ἧττον οὐδαμόσε κλινῆναι, ὁμοίως δ' ἔχον
ἀκλινὲς μενεῖ. πρῶτον μὲν, ἦ δ' ὅς, 'τοῦτο πέπεισμαι.' 'καὶ
ὀρθῶς γε,' ἔφη ὁ Σιμμίας. 'ἔτι τοίνυν,' ἔφη, 'πάμμεγά τι
εἶναι αὐτό, καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων | στηλῶν B
ἀπὸ Φάσιδος ἐν σμικρῷ τινι μορίῳ, ὥσπερ περὶ τέλμα
[μύρμηκας ἢ] βατράχους περὶ τὴν θάλατταν οἰκοῦντας, καὶ
ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖσι τοιούτοις τόποις οἰκεῖν.
εἶναι γὰρ πανταχῇ περὶ τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ
καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη, εἰς ἃ ξυνερρυηκέναι τό θ'
ὕδωρ καὶ τὴν ὁμίχλην καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν
καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧπέρ ἐστι τὰ
ἄστρα, ὃν δὴ αἰθέρα ὀνομάζειν | τοὺς πολλοὺς τῶν περὶ τὰ C
τοιαῦτ' εἰωθότων λέγειν· οὗ δὴ ὑποστάθμην ταῦτ' εἶναι καὶ
ξυρρεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς γῆς. ἡμᾶς οὖν οἰκοῦντας ἐν
τοῖς κοίλοις αὐτῆς λεληθέναι καὶ οἴεσθαι ἄνω ἐπὶ τῆς γῆς
οἰκεῖν, ὥσπερ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τοῦ πελάγους
οἰκῶν οἴοιτό τ' ἐπὶ τῆς θαλάττης οἰκεῖν καὶ διὰ τοῦ ὕδατος
ὁρῶν τὸν ἥλιον καὶ τἆλλ' ἄστρα τὴν θάλατταν ἡγοῖτ' οὐρα-
νὸν εἶναι, διὰ δὲ βραδυτῆτά τε καὶ ἀσθένειαν μηδεπώποτ'
ἐπὶ τὰ | ἄκρα τῆς θαλάττης ἀφιγμένος μηδ' ἑορακὼς εἴη, D
ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον,
ὅσῳ καθαρώτερος καὶ καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσι,
μηδ' ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑορακότος. ταὐτὸν δὴ τοῦτο
καὶ ἡμᾶς πεπονθέναι· οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς
οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν,
ὡς διὰ τούτου οὐρανοῦ ὄντος τἆστρα χωροῦντα· τὸ δὲ

1. ἀρκέσει Rich. | 8. κλινῆναι Cob.] κλιθῆναι. | 13. seclusa del. Ast. | 14. πολλοῖσι T] πολλοῖς B. | 16. ξυνερρυηκέναι. Vid. ad p. 132, 10 et 15. | 27. ἑωρακὼς et mox ἑωρακότος Sch. cum libris.

E *[εἶναι ταὐτόν] ὑπ' ἀσθενείας καὶ βραδυτῆτος | οὐχ οἵους τ' εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον τὸν ἀέρα· ἐπεί, εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι ἢ πτηνὸς γενόμενος ἀνάπτοιτο, κατιδεῖν ⟨ἂν⟩ ἀνακύψαντα, ὥσπερ ἐνθάδ' οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τἀνθάδε, οὕτως ἄν τινα καὶ τἀκεῖ κατιδεῖν, καὶ εἰ ἡ φύσις ἱκανὴ ἦν ἀνασχέσθαι θεωροῦσα, γνῶναι ἄν, ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ* 110 *ἀληθινὸν φῶς καὶ ἡ ὡς ἀληθῶς γῆ. ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε διεφθαρμέν' ἐστιν καὶ καταβεβρωμένα, ὥσπερ τἀν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης, καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι, σήραγγες δὲ καὶ ἄμμος καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν, ὅπου ἂν καὶ [ἡ] γῆ ᾖ, καὶ πρὸς τὰ παρ' ἡμῖν κάλλη κρίνεσθαι οὐδ' ὁπωστιοῦν ἄξια· ἐκεῖνα δ' αὖ τῶν παρ' ἡμῖν πολὺ ἂν ἔτι πλέον* B *φανείη | διαφέρειν. εἰ γὰρ δεῖ καὶ μῦθον λέγειν [καλόν], ἄξιον ἀκοῦσαι, ὦ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ τῆς γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα.' 'ἀλλὰ μήν,' ἔφη ὁ Σιμμίας, 'ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν.'*

LIX. *'Λέγεται τοίνυν,' ἔφη, 'ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὐτὴ ἰδεῖν, εἴ τις ἄνωθεν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλοις χρώμασιν διειλημμένη, ὧν καὶ τἀνθάδ' εἶναι χρώματα ὥσπερ δείγματα, οἷς δὴ οἱ* C *γραφῆς | καταχρῶνται· ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι, καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων [ἢ τούτων]· τὴν μὲν γὰρ ἁλουργῆ εἶναι [καὶ] θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ, τὴν δ' ὅση λευκὴ γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων ξυγκειμένην ὡσαύτως, καὶ ἔτι πλειόνων καὶ καλλιόνων ἢ ὅσ' ἡμεῖς ἑοράκαμεν. καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς ὕδατός τε καὶ ἀέρος*

---

1. *εἶναι ταὐτὸν* del. Rückert. | *τὸ δὲ*, scil. *ἀληθές ἐστιν ὅτι*, ut Theaet. 157 A et saepius Plato. | 6. *ἦν ἀνασχέσθαι* Stob.] *εἴη ἂν ἀνασχ.* T, *εἴη ἀνέχεσθαι* B (Sch.). | 7. malim *ὁ ⟨ὡς⟩*. | 8. *ἀληθινὸν* TEust. Stob.] *ἀληθῶς*. | 11. sic T. Eust. Stob] *οὐδὲν ἄ. λ.* B. | 13. malim *βόρβορός*. | *καὶ* om. Stob. *ἡ* alii, quod del. Burn. | 17. *τῆς* post *γῆς* addidi LRh p. 40. Nunc *ἐπὶ* et *ὑπὸ — οὐρανῷ* mihi suspecta sunt. | 22. *ποικίλοις* Stob. (Heind.) (cf. D init.)] *ποικίλη*, quod del. Hartm. et mox *ἢ τούτων*. | 29. *ἑωράκαμεν* codd. et edd.

ἔκπλεα ὄντα, χρώματός τι εἶδος παρέχεσθαι | στίλβοντ' ἐν D
τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ, ὥσθ' ἕν τι αὐτῆς εἶδος
συνεχὲς ποικίλον φαντάζεσθαι. ἐν δὲ ταύτῃ οὔσῃ τοιαύτῃ
ἀνὰ λόγον τὰ φυόμενα φύεσθαι, δένδρα τε καὶ ἄνθη καὶ
[τοὺς] καρπούς· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους
ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τήν τε λειότητα καὶ τὴν διαφά-
νειαν καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τἀνθάδε λιθίδια
εἶναι ταῦτα τὰ ἀγαπώμενα μόρια, σάρδιά τε καὶ ἰάσπιδας
καὶ σμαράγδους καὶ | πάντα τὰ τοιαῦτα· ἐκεῖ δ' οὐδὲν ὅ τι E
οὐ τοιοῦτον εἶναι καὶ ἔτι τούτων κάλλιον. τὸ δ' αἴτιον τούτου
εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι εἰσὶ καθαροὶ καὶ οὐ κατεδηδεσμένοι
οὐδὲ διεφθαρμένοι ὥσπερ οἱ ἐνθάδε [ὑπὸ σηπεδόνος καὶ
ἅλμης] ὑπὸ τῶν δεῦρο ξυνερρυηκότων, ἃ καὶ λίθοις καὶ γῇ
καὶ τοῖς ἄλλοις ζῴοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους
παρέχει. τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις θ' ἅπασι
καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ καὶ τοῖς ἄλλοις αὖ τοῖς |
τοιούτοις. ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι, ὄντα πολλὰ πλήθει 111
καὶ μεγάλα καὶ πανταχοῦ τῆς γῆς, ὥστ' αὐτὴν ἰδεῖν εἶναι
θέαμα εὐδαιμόνων θεατῶν. ζῷα δ' ἐπ' αὐτῇ εἶναι ἄλλα τε
πολλὰ καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογαίᾳ οἰκοῦντας,
τοὺς δὲ περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλατταν,
τοὺς δ' ἐν νήσοις ἃς περιρρεῖν τὸν ἀέρα πρὸς τῇ ἠπείρῳ
οὔσας· καὶ ἑνὶ λόγῳ, ὃ παρ' ἡμῖν τὸ ὕδωρ τε καὶ ἡ θάλαττά
ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτ' ἐκεῖ τὸν | ἀέρα, ὃ δ' B
ἡμῖν ἀήρ, ἐκείνοις τὸν αἰθέρα. τὰς δ' ὥρας αὐτοῖς κρᾶσιν
ἔχειν τοιαύτην, ὥστ' ἐκείνους ἀνόσους εἶναι καὶ χρόνον τε
ζῆν πολὺ πλείω τῶν ἐνθάδε, καὶ ὄψει καὶ ἀκοῇ καὶ ὀσφρήσει
καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει,
ᾗπερ ἀὴρ θ' ὕδατος ἀφέστηκεν καὶ αἰθὴρ ἀέρος πρὸς καθα-
ρότητα. καὶ δὴ καὶ θεῶν ἄλση τε καὶ ἱερὰ αὐτοῖς εἶναι, ἐν
οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας τε καὶ μαντείας
καὶ αἰσθήσεις τῶν θεῶν καὶ τοιαύτας συνουσίας γίγνεσθαι |
αὐτοῖς πρὸς αὐτούς· καὶ τόν γ' ἥλιον καὶ σελήνην καὶ ἄστρα C

---

9. *ὅ τι οὐ]* *ὃ μὴ* Stob. | 10. *κάλλιον* Heind. e Ficino] *καλλίω.* | 16. *τε* post *χρυσῷ* om. B. | 18. *πολλαχοῦ* BStob. | 26. *ὀσφρήσει* cum libro quodam Heind.] *φρονήσει,* quod Sch. tuetur coll. Rep. 367 C.

ὁρᾶσθαι ὑπ' αὐτῶν οἷα τυγχάνει ὄντα, καὶ τὴν ἄλλην εὐδαιμονίαν τούτων ἀκόλουθον εἶναι.

LX. *Καὶ ὅλην μὲν δὴ τὴν γῆν οὕτω πεφυκέναι καὶ τὰ περὶ τὴν γῆν· τόπους δ' ἐν αὐτῇ εἶναι κατὰ τὰ ἔγκοιλα αὐτῆς κύκλῳ [περὶ ὅλην] πολλούς, τοὺς μὲν βαθυτέρους καὶ ἀναπεπταμένους μᾶλλον ἢ ἐν ᾧ ἡμεῖς οἰκοῦμεν, τοὺς δὲ βαθυτέρους ὄντας τὸ χάσμα [αὐτοὺς] ἔλαττον ἔχειν τοῦ*
D *παρ' ἡμῖν τόπου, ἔστι δ' οὓς καὶ* | *βραχυτέρους τῷ βάθει τοῦ ἐνθάδ' εἶναι καὶ πλατυτέρους· τούτους δὲ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους συντετρῆσθαί τε πολλαχῇ [καὶ] κατὰ στενώτερα καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν, ᾗ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους ὥσπερ εἰς κρατῆρας, καὶ ἀενάων ποταμῶν ἀμήχανα μεγέθη [ὑπὸ τὴν γῆν] καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν, πολὺ δὲ πῦρ καὶ πυρὸς μεγάλους ποταμούς, πολλοὺς δ' ὑγροῦ πηλοῦ καὶ καθαρωτέρου καὶ*
E *βορβορωδεστέρου, ὥσπερ ἐν* | *Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ζέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ· ὧν δὴ καὶ ἑκάστους τοὺς τόπους πληροῦσθαι, ὡς ἂν ἑκάστοις τύχῃ ἑκάστοθ' ἡ περιρροὴ γιγνομένη. ταῦτα δὲ πάντα κινεῖν ἄνω [καὶ] κάτω ὥσπερ αἰώραν τιν' ἐνοῦσαν ἐν τῇ γῇ· ἔστι δ' ἄρ' αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά. ἕν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον τυγχάνει ὂν καὶ διαμπερὲς τετρημένον*
112 *δι'* | *ὅλης τῆς γῆς, τοῦθ' ὅπερ Ὅμηρος εἶπε, λέγων αὐτὸ*

τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον·

ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρταρον κεκλήκασιν. εἰς γὰρ τοῦτο τὸ χάσμα συρρέουσί τε πάντες οἱ ποταμοὶ καὶ ἐκ τούτου πάλιν ἐκρέουσιν· γίγνονται δ' ἕκαστοι τοιοῦτοι, δι' οἵας ἂν καὶ τῆς γῆς ῥέωσιν. ἡ δ'
B *αἰτία ἐστὶν τοῦ ἐκρεῖν τ' ἐντεῦθεν καὶ εἰσρεῖν* | *πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο. αἰωρεῖται δὴ καὶ κυμαίνει ἄνω [καὶ] κάτω, καὶ ἀὴρ καὶ τὸ*

---

5. *περὶ ὅλην* expunxi. | 7. *αὐτοὺς* BT; *αὐτῶν* Heind. Sch., *αὖ* Burn., delevi L. Rh. p. 42. | 10. *καὶ* del. Heind., *καὶ τὰ* hab. Stob. | 11. *στενώτερα* Cob.] *στενότερα*. | 13. delevi: *ὑπὸ γῆν* E. | 17. *ζέοντες*, coll. 113 A, Nab.] *ῥέοντες*. | 19. *καὶ* hic et 112 B expunxi. | 23. *δι' — γῆς* fort. glossema ad *διαμπερές*. | 24. Il VIII 14. | 26. *εἰσρέουσί τε* Hir. | 31. *καὶ* delevi.

*πνεῦμα τὸ περὶ αὐτὸ ταὐτὸν ποιεῖ· ξυνέπεται γὰρ αὐτῷ καὶ
ὅταν εἰς τὸ ὑπ' ἐκεῖνα τῆς γῆς ὁρμήσῃ καὶ ὅταν εἰς τὸ ἐπὶ
τάδε, καὶ ὥσπερ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀναπνεῖ
ῥέον τὸ πνεῦμα, οὕτω κἀκεῖ ξυναιωρούμενον τῷ ὑγρῷ
[τὸ πνεῦμα] δεινούς τινας ἀνέμους καὶ ἀμηχάνους παρέχεται
καὶ εἰσιὸν καὶ ἐξιόν. ὅταν τ' οὖν | ὑποχωρήσῃ τὸ ὕδωρ εἰς* C
*τὸν τόπον τὸν δὴ κάτω καλούμενον, τοῖς κατ' ἐκεῖνα τὰ
ῥεύματα διὰ τῆς γῆς εἰσρεῖ τε καὶ πληροῖ αὔθ' ὥσπερ οἱ
ἐπαντλοῦντες· ὅταν τ' αὖ ἐκεῖθεν μὲν ἀπολίπῃ, δεῦρο δ'
ὁρμήσῃ, τἀνθάδε πληροῖ αὖθις, τὰ δὲ πληρωθέντα ῥεῖ διὰ
τῶν ὀχετῶν καὶ διὰ τῆς γῆς, καὶ εἰς τοὺς τόπους ἕκαστ'
ἀφικνούμενα, εἰς οὓς ἑκάστοις ὡδοποίηται, θαλάττας τε καὶ
λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποιεῖ· ἐντεῦθεν δὲ πάλιν
δυόμενα κατὰ τῆς γῆς, τὰ μὲν | μακροτέρους τόπους περιελ-* D
*θόντα καὶ πλείους, τὰ δ' ἐλάττους καὶ βραχυτέρους, πάλιν
εἰς τὸν Τάρταρον ἐμβάλλει, τὰ μὲν πολὺ κατωτέρω ᾗ ⟨ᾗ⟩
ἐπηντλεῖτο, τὰ δ' ὀλίγον· πάντα δ' ὑποκάτω εἰσρεῖ τῆς
ἐκροῆς. καὶ ἔνια μὲν καταντικρὺ ⟨ᾗ⟩ ᾗ [εἰσρεῖ] ἐξέπεσεν,
ἔνια δὲ κατὰ ταὐτὸ μέρος· ἔστι δ' ἃ παντάπασιν κύκλῳ
περιελθόντα, ἢ ἅπαξ ἢ καὶ πλεονάκις περιελιχθέντα περὶ
τὴν γῆν [ὥσπερ οἱ ὄφεις], εἰς τὸ δυνατὸν κάτω καθέντα
πάλιν ἐμβάλλει. δυνατὸν δ' ἐστιν | ἑκατέρωσε μέχρι τοῦ* E
*μέσου καθιέναι, πέρα δ' οὔ· ἄναντες γὰρ πρόσω ἀμφοτέ-
ροις τοῖς ῥεύμασι τὸ ἑκατέρωθεν γίγνεται μέρος.*

LXI. *Τὰ μὲν οὖν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ
παντοδαπὰ ῥεύματά ἐστι· τυγχάνει δ' ἄρ' ὄντ' ἐν τούτοις
τοῖς πολλοῖς τέτταρ' ἄττα ῥεύματα, ὧν τὸ μὲν μέγιστον καὶ
ἐξωτάτω ῥέον [περὶ] κύκλῳ ὁ καλούμενος Ὠκεανός ἐστιν,
τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέων Ἀχέρων, ὃς δι'
ἐρήμων τε τόπων ῥεῖ ἄλλων καὶ δὴ καὶ ὑπὸ γῆν ῥέων | εἰς* 113
*τὴν λίμνην ἀφικνεῖται τὴν Ἀχερουσιάδα, οὗ αἱ τῶν τετελευ-
τηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται καί τινας εἱμαρ-*

---

5. *τὸ πνεῦμα* expunxi. | 7. *τοῖς]* *τότε* Zeune. | 8. *εἰσφρεῖ* Madv. | 9. *τἀκεῖθεν*? | 12. sic Stob.] *ἑκάστους ὁδοποιεῖται* BT. | 16. *ᾗ* addidi L. Rh. p. 40. | 18. *ᾗ* add. Wytt. | *εἰσρεῖ* cum. Stob. del. Burn. | 21. emblema del. Hartm. | 28. *πέριξ* Heind., *περιρρέον* Ast., del. Sch.

*μένους χρόνους μείνασαι, αἳ μὲν μακροτέρους, αἳ δὲ βρα-
χυτέρους, πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζῴων γενέσεις.
τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει, καὶ ἐγγὺς
τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν πυρὶ πολλῷ καιόμε-
νον, καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν θαλάττης,
ζέουσαν ὕδατος καὶ πηλοῦ· ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς*
B *καὶ | πηλώδης, περιελιττόμενος δὲ [τῇ γῇ] ἄλλοσέ τ' ἀφι-
κνεῖται καὶ παρ' ἔσχατα τῆς Ἀχερουσιάδος λίμνης, οὐ
συμμειγνύμενος τῷ ὕδατι· περιελιχθεὶς δὲ πολλάκις ὑπὸ
γῆς ἐμβάλλει κατωτέρω τοῦ Ταρτάρου· οὗτος δ' ἐστὶν ὃν
ἐπονομάζουσιν Πυριφλεγέθοντα, οὗ καὶ οἱ ῥύακες ἀπο-
σπάσματα ἀναφυσῶσιν ὅπῃ ἂν τύχωσι τῆς γῆς. τούτου δ' αὖ
καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς τόπον [πρῶτον] δεινόν
τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα δ' ἔχονθ' ὅλον οἷον ὁ*
C *κυανός, | ὃν δὴ ἐπονομάζουσι Στύγιον, καὶ τὴν λίμνην, ἣν
ποιεῖ ὁ ποταμὸς ἐμβάλλων, Στύγα· ὁ δ' ἐμπεσὼν ἐνταῦθα
καὶ δεινὰς δυνάμεις λαβὼν [ἐν τῷ ὕδατι], δὺς κατὰ τῆς
γῆς, περιελιττόμενος χωρεῖ ἐναντίος τῷ Πυριφλεγέθοντι καὶ
ἀπαντᾷ ἐν τῇ Ἀχερουσιάδι λίμνῃ ἐξ ἐναντίας· καὶ οὐδὲ τὸ
τούτου ὕδωρ οὐδενὶ μείγνυται, ἀλλὰ καὶ οὗτος κύκλῳ περιελ-
θὼν ἐμβάλλει εἰς τὸν Τάρταρον ἐναντίος τῷ Πυριφλεγέθοντι·
ὄνομα δὲ τούτῳ ἐστίν, ὡς οἱ ποιηταὶ λέγουσιν, Κωκυτός.*
D LXII. | *Τούτων δ' οὕτως πεφυκότων, ἐπειδὰν ἀφίκωνται
οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει,
πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως βιοῦντες
καὶ οἱ μή. καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευ-
θέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά
ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην, κἀκεῖ οἰκοῦσί
τε καὶ καθαιρόμενοι τῶν τ' ἀδικημάτων διδόντες δίκας
ἀπολύονται, εἴ τίς τι ἠδίκηκεν, τῶν τ' εὐεργεσιῶν τιμὰς* |
E *φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος· οἳ δ' ἂν δόξωσιν ἀνιάτως
ἔχειν [διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων], ἢ ἱεροσυλίας
πολλὰς καὶ μεγάλας ἢ φόνους ἀδίκους καὶ παρανόμους*

---

9 et 20. Sch. cum codd. *συμμιγνύμενος* et *μίγνυται*. | 17. expunxi emblema. | 26. *βιοῦντες* Hir.] *βιώσαντες*, quod est hellenisticum. | 33. emblema del. Hartm.

πολλοὺς ἐξειργασμένοι ἢ ἄλλα, ὅσα τοιαῦτα τυγχάνει ὄντα,
τούτους δ' ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον,
ὅθεν οὔποτ' ἐκβαίνουσιν. οἳ δ' ἂν ἰάσιμα μέν, μεγάλα δὲ
δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ
μητέρα ὑπ' ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον |
αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ 114
ἄλλῳ τρόπῳ γένωνται, τούτους δ' ἐμπεσεῖν μὲν εἰς τὸν
Τάρταρον ἀνάγκη, ἐμπεσόντας δὲ [αὐτοὺς] καὶ ἐνιαυτὸν
ἐκεῖ γενομένους ἐκβάλλει τὸ κῦμα, τοὺς μὲν ἀνδροφόνους
κατὰ τὸν Κωκυτόν, τοὺς δὲ πατραλοίας καὶ μητραλοίας
κατὰ τὸν Πυριφλεγέθοντα· ἐπειδὰν δὲ φερόμενοι γένωνται
κατὰ τὴν λίμνην τὴν Ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε καὶ
καλοῦσιν, οἳ μὲν οὓς ἀπέκτειναν, οἳ δ' οὓς ὕβρισαν, καλέ-
σαντες δ' ἱκετεύουσι καὶ δέονται | ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς B
τὴν λίμνην καὶ δέξασθαι, καὶ ἐὰν μὲν πείσωσιν, ἐκβαίνουσί
τε καὶ λήγουσι τῶν κακῶν, εἰ δὲ μή, φέρονται αὖθις εἰς
τὸν Τάρταρον κἀκεῖθεν πάλιν εἰς τοὺς ποταμούς, καὶ ταῦτα
πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν οὓς
ἠδίκησαν· αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη.
οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως [πρὸς τὸ] ὁσίως βιῶναι,
οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων [τῶν ἐν τῇ γῇ] ἐλευ-
θερούμενοί τε καὶ ἀπαλλαττόμενοι ὥσπερ δεσμωτηρίων, |
ἄνω δ' εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι [καὶ ἐπὶ γῆς C
οἰκιζόμενοι]. τούτων δ' αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθη-
ράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα
χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται,
ἃς οὔτε ῥᾴδιον δηλῶσαι οὔθ' ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι.
ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ [ὧν διεληλύθαμεν], ὦ Σιμμία,
πᾶν ποιεῖν, ὥστ' ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετα-
σχεῖν· καλὸν γὰρ τὸ ἆθλον καὶ ἡ ἐλπὶς μεγάλη.

LXIII. *Τὸ μὲν οὖν ταῦτα | διισχυρίσασθαι οὕτως ἔχειν,* D
ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί· ὅτι μέντοι

---

8. expunxi *αὐτούς*. | 9. *κῦμα]* *ῥεῦμα* non male Stob. | 20. *πρὸς τὸ* cum libris quibusdem del. Stallb. An etiam *ὁσίως* delendum? For. male coni. *διαφέροντες*. | 21. *τῶν — γῇ* del. Hartm. et mox (23 sq.) *καὶ — οἰκιζόμενοι*, *τῆς γῆς* hab. Stob. et Theod. | 28. *ὧν διεληλύθαμεν* del. Hir.

*ἢ ταῦτ' ἐστὶν ἢ τοιαῦτ' ἄττα περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς
οἰκήσεις, ἐπείπερ ἀθάνατόν γ' ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο
καὶ πρέπειν μοι δοκεῖ καὶ ἄξιον κινδυνεῦσαι οἰομένῳ οὕτως
ἔχειν· καλὸς γὰρ ὁ κίνδυνος· καὶ χρὴ τὰ τοιαῦθ' ὥσπερ
ἐπᾴδειν ἑαυτῷ, διὸ δὴ ἔγωγε καὶ πάλαι μηκύνω τὸν μῦθον.
ἀλλὰ τούτων δὴ ἕνεκα θαρρεῖν χρὴ περὶ τῇ ἑαυτοῦ ψυχῇ*
E *ἄνδρα, ὅστις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς | τὰς περὶ
τὸ σῶμα καὶ τοὺς κόσμους εἴασε χαίρειν, ὡς ἀλλοτρίους τ'
ὄντας, καὶ πλέον θἄτερον ἡγησάμενος ἀπεργάζεσθαι, τὰς
δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ τε καὶ κοσμήσας τὴν ψυχὴν
οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ*
115 *δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ ἐλευθερίᾳ καὶ | ἀληθείᾳ, οὕτω
περιμένει τὴν εἰς Ἅιδου πορείαν, ὡς πορευσόμενος ὅταν
ἡ εἱμαρμένη καλῇ. ὑμεῖς μὲν οὖν,' ἔφη, 'ὦ Σιμμία τε καὶ
Κέβης καὶ οἱ ἄλλοι, εἰς αὖθις ἔν τινι χρόνῳ ἕκαστος πορεύ-
σεσθε· ἐμὲ δὲ νῦν ἤδη καλεῖ, φαίη ἂν ἀνὴρ τραγικός, ἡ
εἱμαρμένη, καὶ σχεδόν τί μοι ὥρα τραπέσθαι πρὸς τὸ λου-
τρόν· δοκεῖ γὰρ δὴ βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρ-
μακον καὶ μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν νεκρὸν λούειν.'*
B LXIV. *Ταῦτα δὴ εἰπόντος αὐτοῦ ὁ Κρίτων· 'εἶεν,' | ἔφη,
'ὦ Σώκρατες· τί δὲ τούτοις ἢ ἐμοὶ ἐπιστέλλεις ἢ περὶ τῶν
παίδων ἢ περὶ ἄλλου του, ὅ τι ἂν σοι ποιοῦντες ἡμεῖς ἐν
χάριτι μάλιστα ποιοῖμεν;' 'ἅπερ ἀεὶ λέγω,' ἔφη, 'ὦ Κρίτων,
οὐδὲν καινότερον· ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς καὶ
ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσεθ' ἅττ'
ἂν ποιῆτε, κἢν μὴ νῦν ὁμολογήσητε· ἐὰν δ' ὑμῶν [μὲν]
αὐτῶν ἀμελῆτε καὶ μὴ 'θέλητε ὥσπερ κατ' ἴχνη κατὰ τὰ
νῦν τ' εἰρημένα καὶ τὰν τῷ ἔμπροσθεν χρόνῳ ζῆν, οὐδ'*
C *ἐὰν πόλλ' ὁμολογήσητ' | ἐν τῷ παρόντι καὶ σφόδρα, οὐδὲν
πλέον ποιήσετε.' 'ταῦτα μὲν τοίνυν προθυμησόμεθα,' ἔφη,
'οὕτω ποιεῖν· θάπτωμεν δέ σε τίνα τρόπον;' 'ὅπως ἄν,' ἔφη,
'βούλησθε, ἐάνπερ γε λάβητέ με καὶ μὴ ἐκφύγω ὑμᾶς.'
γελάσας δ' ἅμ' ἡσυχῇ καὶ πρὸς ἡμᾶς ἀποβλέψας εἶπεν· 'οὐ*

---

13 sq. *ὡς — καλῇ* del. Bamb. | 19. *νεκρὸν λούειν* del. Vermehren prob. Hartm. | 26. *κἢν] κἂν* codd. et vulgo. | *μὲν* om. TVind. | 30. *προθυμηθησόμεθα* B (Sch.).

πείθω, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμ' οὗτος [ὁ Σωκράτης,]
ὁ νυνὶ διαλεγόμενος καὶ διατάττων ἕκαστον τῶν λεγομένων,
ἀλλ' οἴεταί μ' ἐκεῖνον εἶναι, ὃν ὄψεται ὀλίγον ὕστερον
[νεκρόν], καὶ ἐρωτᾷ | δή, πῶς με θάπτῃ. ὅτι δ' ἐγὼ πάλαι D
πολὺν λόγον πεποίημαι, ὡς, ἐπειδὰν πίω τὸ φάρμακον,
οὐκέτι ὑμῖν παραμενῶ, ἀλλ' οἰχήσομαι ἀπιὼν εἰς μακάρων
δή τινας εὐδαιμονίας, ταῦτά [μοι] δοκῶ αὐτῷ ἄλλως λέγειν,
παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν. ἐγγυήσασθ'
οὖν με πρὸς Κρίτωνα,' ἔφη, 'τὴν ἐναντίαν ἐγγύην ἢ ἣν
οὗτος πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο. οὗτος μὲν γὰρ ἦ μήν
⟨με⟩ παραμενεῖν· ὑμεῖς δ' ἦ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε,
ἐπειδὰν ἀποθάνω, ἀλλ' | οἰχήσεσθαι ἀπιόντα, ἵνα Κρίτων E
ῥᾷον φέρῃ, καὶ μὴ ὁρῶν μου τὸ σῶμα ἢ καιόμενον ἢ
κατορυττόμενον ἀγανακτῇ ὑπὲρ ἐμοῦ ὡς δεινὰ πάσχοντος,
μηδὲ λέγῃ [ἐν τῇ ταφῇ], ὡς ἢ προτίθεται Σωκράτη ἢ
ἐκφέρει ἢ κατορύττει. εὖ γὰρ ἴσθι,' ἦ δ' ὅς, 'ὦ ἄριστε
[Κρίτων], τὸ μὴ καλῶς λέγειν οὐ μόνον εἰς αὐτὸ τοῦτο
πλημμελές, ἀλλὰ καὶ κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. ἀλλὰ
θαρρεῖν τε χρὴ καὶ φάναι τοὐμὸν σῶμα θάπτειν, καὶ θάπ-
τειν οὕτως, | ὅπως ἄν σοι φίλον ᾖ καὶ μάλισθ' ἡγῇ νόμι- 116
μον εἶναι.'

LXV. *Ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατ' εἰς οἴκημά τι ὡς*
λουσόμενος, καὶ ὁ Κρίτων εἵπετ' αὐτῷ, ἡμᾶς δ' ἐκέλευε
περιμένειν. περιεμένομεν οὖν πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι
περὶ τῶν εἰρημένων καὶ ἀνασκοποῦντες, τότε δ' αὖ περὶ τῆς
ξυμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγού-
μενοι ὥσπερ πατρὸς στερηθέντες διάξειν ὀρφανοὶ τὸν ἔπειτα
βίον. ἐπειδὴ δ' ἐλούσατο | καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία B
— δύο γὰρ αὐτῷ ὑεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας — καὶ αἱ
οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐναντίον [ἐκεῖναι] τοῦ Κρίτωνος
διαλεχθείς τε καὶ ἐπιστείλας ἅττ' ἐβούλετο, τὰς μὲν γυναῖκας

---

1. *ὁ Σωκρ.* T. Delevi. | 4. *νεκρὸν* del. Hartm. | 11. *με* addidi L. Rh. p. 40. | 13. *καιόμενον.* Ne requiras *καόμενον*, cf. Meist. p. 178, 25. Quidni dicat *κατακαιόμενον* nuper explicavit Dörpfeld in *Mélanges Nicole*, p. 95—104. Cf. Woch. f. kl. Phil. a. 1905, no. 44. | 15. *ἐν — ταφῇ* delevi propter *προτίθεται.* | 17. seclusi nomen. | 25. *τότε] τοτὲ.*

καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δ᾽ ἧκε παρ᾽ ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ᾽ ἐκαθέζετο λελουμένος, καὶ οὐ πολλὰ μετὰ ταῦτα διελέχθη, καὶ ἧκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης καὶ στὰς
C *παρ᾽ αὐτόν· 'ὦ | Σώκρατες,' ἔφη, 'οὐ καταγνώσομαί γε σοῦ ὅπερ ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν τὸ φάρμακον ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δ᾽ ἐγὼ καὶ ἄλλως ἔγνωκ᾽ ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πρᾳότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρ᾽ ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ᾽ ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις, γιγνώσκεις γὰρ τοὺς αἰτίους[, ἀλλὰ ἐκείνοις]. νῦν οὖν, οἶσθα γὰρ ἃ ἦλθον ἀγ-*
D *γελῶν, χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα | φέρειν τἀναγκαῖα.' καὶ ἅμα δακρύσας μεταστρεφόμενος ἀπῄει. καὶ ὁ Σωκράτης ἀναβλέψας πρὸς αὐτόν· 'καὶ σύ γε,' ἔφη, 'χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν.' καὶ ἅμα πρὸς ἡμᾶς· 'ὡς ἀστεῖος,' ἔφη, 'ἅνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει καὶ διελέγετ᾽ ἐνίοτε καὶ ἦν ἀνδρῶν λῷστος, καὶ νῦν ὡς γενναίως μ᾽ ἀποδακρύει. ἀλλ᾽ ἄγε δή, ὦ Κρίτων, πιθώμεθ᾽ αὐτῷ, καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή,*
E *τριψάτω ἅνθρωπος.' καὶ ὁ Κρίτων· 'ἀλλ᾽ οἶμαι,' | ἔφη, 'ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσιν [καὶ οὔπω δεδυκέναι]. καὶ ἅμ᾽ ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ ξυγγενομένους γ᾽ ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες. ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ.' καὶ ὁ Σωκράτης· 'εἰκότως γε,' ἔφη, 'ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, οὓς σὺ λέγεις, οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες, καὶ ἔγωγε ταῦτ᾽ [εἰκόνως] οὐ ποιήσω· οὐδὲν γὰρ*
117 *οἶμαι κερδανεῖν | ὀλίγον ὕστερον πιὼν ἄλλο γ᾽ ἢ γέλωτ᾽ ὀφλήσειν παρ᾽ ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος ⟨πίθου⟩ οὐδενὸς ἔτι ἐνόντος. ἀλλ᾽ ἴθι,' ἔφη, 'πιθοῦ καὶ μὴ ἄλλως ποίει.'*

---

3. *λελουμένος* num genuinum? | 5. *γε* om. B. | 12. *ἀλλὰ ἐκείνοις* del. Hartm. | 15. *σύ γε* Cob.] *σύ*. | 19. *πιθώμεθα* Cob.] *πειθώμεθα*. | 22. emblema del. Cob. cum Stob. | 30. *κερδανεῖν* Hir.] *κερδαίνειν*. | 32. addidi *πίθου*. Cf. Hes. Op. 366 sq.

LXVI. *Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας ἧκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον· ἰδὼν δ' ὁ Σωκράτης τὸν ἄνθρωπον· 'εἶεν,' ἔφη, 'ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν;' 'οὐδὲν ἄλλο,' ἔφη, 'ἢ πιόντα περιιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι | γένηται, ἔπειτα κατακεῖσθαι· καὶ* B *οὕτως αὐτὸ ποιήσει.' καὶ ἅμ' ὤρεξε τὴν κύλικα τῷ Σωκράτει· καὶ ὃς λαβὼν καὶ μάλ' ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ', ὥσπερ εἰώθει, ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον· 'τί λέγεις,' ἔφη, 'περὶ τοῦδε τοῦ πώματος; [πρὸς τὸ] ἀποσπεῖσαί [τινι] ἔξεστιν ἢ οὔ;' 'τοσοῦτον,' ἔφη, 'ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν.' 'μανθάνω,' ἦ δ' ὅς· 'ἀλλ' εὔχεσθαί γέ που τοῖς | θεοῖς ἔξεστί τε καὶ χρή,* C *τὴν μετοίκισιν τὴν ἐνθένδ' ἐκεῖσ' εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ.' καὶ ἅμ' εἰπὼν ταῦτ' ἐπισχόμενος καὶ μάλ' εὐχερῶς καὶ εὐκόλως ἐξέπιεν. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τ' ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δ' εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστ' ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, [ἀλλὰ τὴν ἐμαυτοῦ τύχην,] οἵου ἀνδρὸς | [ἑταίρου]* D *ἐστερημένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότ' ἀναβρυχησάμενος [κλαίων καὶ] ἀγανακτῶν οὐδέν' ὅντιν' οὐ κατέκλασε τῶν παρόντων πλήν γ' αὐτοῦ Σωκράτους. ἐκεῖνος δέ· 'οἷα,' ἔφη, 'ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα, ὅτι ἐν εὐφημίᾳ | χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τ' ἄγετε καὶ καρτερεῖτε.'* E *καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. ὁ δὲ περιελθών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ*

---

3. *δώσειν] διδόναι* B. | 8. *αὐτὸ ποιήσει*, sc. *τὸ φάρμακον*, *ultro vim suam praestabit.* | 12 sq. emblemata del. Cob. | 16. *μετοίκισιν* Cob.] *-κησιν.*

σκέλη, κατεκλίνη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ἄνθρωπος· καὶ ἅμ' ἐφαπτόμενος αὐτοῦ [οὗτος ὁ δοὺς τὸ φάρμακον], διαλιπὼν χρόνον ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο, εἰ αἰσθάνοιτο· ὃ δ'
118 *οὐκ ἔφη· καὶ μετὰ τοῦτ' αὖθις | τὰς κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο, ὅτι ψύχοιτό τε καὶ πηγνῦτο. καὶ αὖ ἥπτετο καὶ εἶπεν, ὅτι, ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότ' οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος — ἐνεκεκάλυπτο γάρ — εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο· 'ὦ Κρίτων,' ἔφη, 'τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλ' ἀπόδοτε καὶ μὴ ἀμελήσητε.' 'ἀλλὰ ταῦτα,' ἔφη, 'ἔσται,' ὁ Κρίτων· 'ἀλλ' ὅρα, εἴ τι ἄλλο λέγεις.' ταῦτ' ἐρομένου αὐτοῦ οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν †· ἐκινήθη τε καὶ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα ἔστησεν· ἰδὼν δ' ὁ Κρίτων συνέλαβε τὸ στόμα καὶ τοὺς ὀφθαλμούς.*

LXVII. *Ἥδ' ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, ὧν πώποτ' ἐπειράθημεν ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.*

---

1. *κατεκλίνη* Cob.] *κατεκλίθη*. | *οὕτω — ἄνθρ.* del. Hartm., ego potius ⟨2⟩ *οὗτος ὁ δοὺς τὸ φάρμακον* cum Sch. | 6. *πηγνῦτο = πηγνύοιτο*. Codd. *πήγνυτο*. | 13 sqq. verba vix integra, nam desideratur ipsa mortis significatio, et suspectum est *ἐξεκάλυψεν* propter *ἐκκαλυψάμενος* (vs. 9), sed *ἐνεκάλυψεν* scribi vetant ipsa sequentia. Expectatur fere *ἐκινήθη τε ⟨ὕστατον⟩ καὶ ἄνθρωπος αὐτῷ τὰ ὄμματα ἔστησεν· ἰδὼν δ' ὁ Κρίτων συνέλαβε τὸ στόμα*, omissis ceteris. Quaerant alii. | 18. *ὧν πώποτε* Cob.] *τῶν τότε ὧν*. | 19. *ἄλλως* secl. Sch.

ΠΡΩΤΑΓΟΡΑΣ

ἢ σοφισταί [ἐνδεικτικός].

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΕΤΑΙΡΟΣ, ΣΩΚΡΑΤΗΣ, ΙΠΠΟΚΡΑΤΗΣ, ΠΡΩΤΑΓΟΡΑΣ, ΑΛΚΙΒΙΑΔΗΣ, ΚΑΛΛΙΑΣ, ΚΡΙΤΙΑΣ, ΠΡΟΔΙΚΟΣ, ΙΠΠΙΑΣ.

St. I. p.

I. *ΕΤ.* *Πόθεν, ὦ Σώκρατες, φαίνει; ἢ δῆλα δὴ ὅτι ἀπὸ* 309 *κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μήν μοι καὶ πρῴην ἰδόντι καλὸς μὲν ἐφαίνεθ' ἀνὴρ ἔτι, ἀνὴρ μέντοι, ὦ Σώκρατες, ὥς γ' ἐν αὐτοῖς ἡμῖν εἰρῆσθαι, καὶ πώγωνος ἤδη ὑποπιμπλάμενος.*

ΣΩ. *Εἶτα τί τοῦτο; οὐ σὺ μέντοι Ὁμήρου ἐπαινέτης εἶ, ὃς ἔφη χαριεστάτην ἥβην εἶναι ⟨τὴν⟩ τοῦ ⟨πρῶτον⟩ ὑπηνή-* B *του[, ἣν νῦν Ἀλκιβιάδης ἔχει];*

ΕΤ. *Τί οὖν τὰ νῦν; ἢ παρ' ἐκείνου φαίνει; καὶ πῶς πρὸς σὲ ὁ νεανίας διάκειται;*

ΣΩ. *Εὖ, ἔμοιγ' ἔδοξεν, οὐχ ἥκιστα δὲ καὶ τῇ νῦν ἡμέρᾳ· καὶ γὰρ πόλλ' ὑπὲρ ἐμοῦ εἶπε, βοηθῶν ἐμοί, καὶ οὖν καὶ ἄρτι ἀπ' ἐκείνου ἔρχομαι. ἄτοπον μέντοι τί σοι ἐθέλω εἰπεῖν· παρόντος γὰρ ἐκείνου οὔτε προσεῖχον τὸν νοῦν ἐπελανθανόμην τ' αὐτοῦ θαμά.*

ΕΤ. *Καὶ τί ἂν γεγονὸς εἴη περὶ σὲ κἀκεῖνον τοσοῦτον* C *πρᾶγμα; οὐ γὰρ δήπου τινὶ καλλίονι ἐνέτυχες ἄλλῳ ἔν γε τῇδε τῇ πόλει.*

---

3. *ἀνὴρ* Bekk. *ὁ ἀνὴρ* Athenaeus, *ἀνὴρ* BT. | 4. *ἡμῖν αὐτοῖς* Athenaeus, probavit Cobet nov. lect. 621. | 7. *τὴν* add. Zek. | *πρῶτον* add. Hir. e schol. ad h. l. et Hom. Od. X 279, Il. XXIV 347 sqq. | 8. *ἣν — ἔχει* del. Hartm.

ΣΩ. Καὶ πολύ γε.

ΕΤ. Τί φῄς; ἀστῷ ἢ ξένῳ;

ΣΩ. Ξένῳ.

ΕΤ. Ποδαπῷ;

ΣΩ. Ἀβδηρίτῃ.

ΕΤ. Καὶ οὕτω καλός τις ὁ ξένος ἔδοξέν σοι εἶναι, ὥστε τοῦ Κλεινίου ὑέος καλλίων σοι φανῆναι;

ΣΩ. Πῶς δ' οὐ μέλλει, ὦ μακάριε, τὸ σοφώτερον κάλλιον φαίνεσθαι;

ΕΤ. Ἀλλ' ἦ σοφῷ τινι ἡμῖν, ὦ Σώκρατες, ἐντυχὼν πάρει;

D ΣΩ. Σοφωτάτῳ μὲν οὖν δήπου τῶν γε νῦν, εἴ σοι δοκεῖ σοφώτατος εἶναι Πρωταγόρας.

ΕΤ. Ὦ τί λέγεις; Πρωταγόρας ἐπιδεδήμηκεν;

ΣΩ. Τρίτην γ' ἤδη ἡμέραν.

ΕΤ. Καὶ ἄρτι ἄρ' ἐκείνῳ συγγεγονὼς ἥκεις;

310 ΣΩ. Πάνυ γε πολλὰ καὶ εἰπὼν καὶ ἀκούσας.

ΕΤ. Τί οὖν οὐ διηγήσω ἡμῖν τὴν ξυνουσίαν, εἰ μή σέ τι κωλύει, καθεζόμενος ἐνταυθί, ἐξαναστήσας τὸν παῖδα τουτονί;

ΣΩ. Πάνυ μὲν οὖν· καὶ χάριν γ' εἴσομαι, ἐὰν ἀκούητε.

ΕΤ. Καὶ μὴν καὶ ἡμεῖς σοί, ἐὰν λέγῃς.

ΣΩ. Διπλῆ ἂν εἴη ἡ χάρις. ἀλλ' οὖν ἀκούετε.

II. Τῆς παρελθούσης νυκτὸς ταυτησί, ἔτι βαθέος ὄρθρου, Ἱπποκράτης ὁ Ἀπολλοδώρου ὑός, Φάσωνος δ' ἀδελφός,
B τὴν θύραν τῇ βακτηρίᾳ πάνυ σφόδρ' ἔκρουε, καὶ ἐπειδὴ αὐτῷ ἀνέῳξέ τις, εὐθὺς εἴσω ᾔειν ἐπειγόμενος, καὶ τῇ φωνῇ μέγα λέγων, Ὦ Σώκρατες, ἔφη, ἐγρήγορας ἢ καθεύδεις; καὶ ἐγὼ τὴν φωνὴν γνοὺς αὐτοῦ, Ἱπποκράτης, ἔφην, οὗτος· μή τι νεώτερον ἀγγέλλεις; Οὐδέν γ' ἦ δ' ὅς, εἰ μὴ ἀγαθά γε. Εὖ ἂν λέγοις, ἦν δ' ἐγώ· ἔστι δὲ τί, καὶ τοῦ ἕνεκα τηνικάδ' ἀφίκου; Πρωταγόρας, ἔφη, ἥκει, στὰς παρ' ἐμοί. Πρῴην, ἔφην ἐγώ· σὺ δ' ἄρτι πέπυσαι; Νὴ
C τοὺς θεούς, ἔφη, ἑσπέρας γε. καὶ ἅμ' ἐπιψηλαφήσας του

---

19. καθεζόμενος, capta sede vH.] καθιζόμενος. | 34. του vH.] τοῦ.

*σκίμποδος ἐκαθέζετο παρὰ τοὺς πόδας μου, καὶ εἶπεν·
Ἑσπέρας δῆτα, μάλα γ' ὄψ' ἀφικόμενος ἐξ Οἰνόης. ὁ γάρ
τοι παῖς μ' ὁ Σάτυρος ἀπέδρα· καὶ δῆτα μέλλων σοι φρά-
ζειν, ὅτι διωξοίμην αὐτόν, ὑπό τινος ἄλλου ἐπελαθόμην·
ἐπειδὴ δ' ἦλθον καὶ δεδειπνηκότες ἦμεν καὶ ἐμέλλομεν ἀνα-
παύεσθαι, τότε μοι ἁδελφὸς λέγει, ὅτι ἥκει Πρωταγόρας.
καὶ ἔτι μὲν ἐνεχείρησ' εὐθὺς παρὰ σὲ ἰέναι, ἔπειτά μοι λίαν* D
*πόρρω ἔδοξε τῶν νυκτῶν εἶναι· ἐπειδὴ δὲ τάχιστά μ' ἐκ
τοῦ κόπου ὁ ὕπνος ἀνῆκεν, εὐθὺς ἀναστὰς οὕτω δεῦρ'
ἐπορευόμην. καὶ ἐγὼ γιγνώσκων αὐτοῦ τὴν ἀνδρείαν καὶ
τὴν πτόησιν, Τί οὖν σοι, ἦν δ' ἐγώ, τοῦτο; μῶν τί σ'
ἀδικεῖ Πρωταγόρας; καὶ ὃς γελάσας, Νὴ τοὺς θεούς, ἔφη,
ὦ Σώκρατες, ὅτι γε μόνος ἐστὶ σοφός, ἐμὲ δ' οὐ ποιεῖ.
Ἀλλὰ ναὶ μὰ Δία, ἔφην ἐγώ, ἐὰν αὐτῷ διδῷς ἀργύριον
καὶ πείθῃς ἐκεῖνον, ποιήσει καὶ σὲ σοφόν. Εἰ γάρ, ἦ δ' ὅς,
ὦ Ζεῦ καὶ θεοί, ἐν τούτῳ εἴη· ὡς οὔτ' ἂν τῶν ἐμῶν ἐπι-
λίποιμ' οὐδὲν οὔτε τῶν φίλων· ἀλλ' αὐτὰ ταῦτα καὶ νῦν* E
*ἥκω παρὰ σέ, ἵν' ὑπὲρ ἐμοῦ διαλεχθῇς αὐτῷ. ἐγὼ γὰρ
ἅμα μὲν καὶ νεώτερός εἰμι, ἅμα δ' οὐδ' ἑόρακα Πρωτα-
γόραν πώποτ' οὐδ' ἀκήκο' οὐδέν· ἔτι γὰρ παῖς ἦ, ὅτε τὸ
πρότερον ἐπεδήμησεν. ἀλλὰ γάρ, ὦ Σώκρατες, πάντες τὸν
ἄνδρα ἐπαινοῦσιν καί φασιν σοφώτατον εἶναι λέγειν· ἀλλὰ
τί οὐ βαδίζομεν παρ' αὐτόν, ἵν' ἔνδον καταλάβωμεν; κατα-* 311
*λύει δ', ὡς ἐγὼ ἤκουσα, παρὰ Καλλίᾳ τῷ Ἱππονίκου· ἀλλ'
ἴωμεν. καὶ ἐγὼ εἶπον· Μήπω γ', ὠγαθέ, [ἐκεῖσε ἴωμεν,]
πρῲ γάρ ἐστιν, ἀλλὰ δεῦρ' ἐξαναστῶμεν εἰς τὴν αὐλήν,
καὶ περιιόντες αὐτοῦ διατρίψωμεν, ἕως ἂν φῶς γένηται·
εἶτ' ἴωμεν. καὶ γὰρ τὰ πολλὰ Πρωταγόρας ἔνδον διατρίβει,
ὥστε, θάρρει, καταληψόμεθ' αὐτόν, ὡς τὸ εἰκός, ἔνδον.*

III. *Μετὰ ταῦτ' ἀναστάντες [εἰς τὴν αὐλὴν] περιῇμεν·
καὶ ἐγὼ ἀποπειρώμενος τοῦ Ἱπποκράτους τῆς ῥώμης διε-* B
*σκόπουν αὐτὸν καὶ ἠρώτων, Εἰπέ μοι, ἔφην ἐγώ, ὦ Ἱππό-
κρατες, παρὰ Πρωταγόραν νῦν ἐπιχειρεῖς ἰέναι, ἀργύριον*

---

6. *ἁδελφὸς* Bekker: *ἀδελφὸς* BT, *ὁ ἀδελφὸς* apographa | 10. *ἀνδρείαν*, nos *voortvarendheid.* | 25. cum Cob. del. Sch. | 29. *ἔνδον* del. Rich. | 30. *εἰς τὴν αὐλὴν* delevi. | 31. *ῥώμης*, *perseverantiae*] *γνώμης* Hoen.

*τελῶν ἐκείνῳ μισθὸν ὑπὲρ σεαυτοῦ, ὡς παρὰ τίν᾽ ἀφι-
ξόμενος καὶ τίς γενησόμενος; ὥσπερ ἂν εἰ ἐπενόεις παρὰ
τὸν σαυτοῦ ὁμώνυμον ἐλθὼν [Ἱπποκράτη] τὸν Κῷον, τὸν
τῶν Ἀσκληπιαδῶν, ἀργύριον τελεῖν ὑπὲρ σαυτοῦ μισθὸν
ἐκείνῳ, εἴ τίς σ᾽ ἤρετο, Εἰπέ μοι, μέλλεις τελεῖν, ὦ Ἱππό-
C κρατες, Ἱπποκράτει μισθὸν ὡς τίνι ὄντι; τί ἂν ἀπεκρίνω;
Εἶπον ἄν, ἔφη, ὅτι ὡς ἰατρῷ. Ὡς τίς γενησόμενος; Ὡς
ἰατρός, ἔφη. Εἰ δὲ παρὰ Πολύκλειτον τὸν Ἀργεῖον ἢ Φειδίαν
τὸν Ἀθηναῖον ἐπενόεις ἀφικόμενος μισθὸν ὑπὲρ σαυτοῦ τελεῖν
ἐκείνοις, εἴ τίς σ᾽ ἤρετο· τελεῖν τοῦτο τἀργύριον ὡς τίνι
ὄντι ἐν νῷ ἔχεις Πολυκλείτῳ τε καὶ Φειδίᾳ; τί ἂν ἀπε-
κρίνω; Εἶπον ἂν ὡς ἀγαλματοποιοῖς. Ὡς τίς δὲ γενησόμενος
D αὐτός; Δῆλον ὅτι ἀγαλματοποιός. Εἶεν, ἦν δ᾽ ἐγώ· παρὰ
δὲ δὴ Πρωταγόραν νῦν ἀφικόμενοι ἐγώ τε καὶ σὺ ἀργύριον
ἐκείνῳ μισθὸν ἑτοῖμοι ἐσόμεθα τελεῖν ὑπὲρ σοῦ, ἐὰν μὲν
ἐξικνῆται τὰ ἡμέτερα χρήματα καὶ τούτοις πείθωμεν αὐτόν,
εἰ δὲ μή, καὶ τὰ τῶν φίλων προσαναλίσκοντες. εἰ οὖν τις
ἡμᾶς περὶ ταῦθ᾽ οὕτω σφόδρα σπουδάζοντας ἔροιτο· εἰπέ
μοι. ὦ Σώκρατές τε καὶ Ἱππόκρατες, ὡς τίνι ὄντι τῷ
Πρωταγόρᾳ ἐν νῷ ἔχετε χρήματα τελεῖν; τί ἂν αὐτῷ ἀπο-
E κριναίμεθα; τί ὄνομ᾽ ἄλλο γε λεγόμενον περὶ Πρωταγόρου
ἀκούομεν, ὥσπερ περὶ Φειδίου ἀγαλματοποιὸν καὶ περὶ
Ὁμήρου ποιητήν, τί τοιοῦτον περὶ Πρωταγόρου ἀκούομεν;
Σοφιστὴν δή τοι ὀνομάζουσί γε, ὦ Σώκρατες, τὸν ἄνδρα
εἶναι, ἔφη. Ὡς σοφιστῇ ἄρ᾽ ἐρχόμεθα τελοῦντες τὰ χρή-
ματα; Μάλιστα. Εἰ οὖν καὶ τοῦτό τίς σε προσέροιτο· αὐτὸς
δὲ δὴ ὡς τίς γενησόμενος ἔρχει παρὰ τὸν Πρωταγόραν;
312 καὶ ὃς εἶπεν ἐρυθριάσας — ἤδη γὰρ ὑπέφαινέν τι ἡμέρας,
ὥστε καταφανῆ αὐτὸν γενέσθαι — Εἰ μέν τι τοῖς ἔμπροσθεν
ἔοικεν, δῆλον ὅτι σοφιστὴς γενησόμενος. Σὺ δέ, ἦν δ᾽ ἐγώ,
πρὸς θεῶν, οὐκ ἂν αἰσχύνοι᾽ εἰς τοὺς Ἕλληνας σαυτὸν
σοφιστὴν παρέχων; Νὴ τὸν Δία, ὦ Σώκρατες, εἴπερ γ᾽ ἃ
διανοοῦμαι χρὴ λέγειν. Ἀλλ᾽ ἄρα, ὦ Ἱππόκρατες, μὴ οὐ
τοιαύτην ὑπολαμβάνεις σου τὴν παρὰ Πρωταγόρου μάθησιν*

---

3. nomen del. Naber. | 32. *Νὴ] Μὰ* Zek. iniuria.

ἔσεσθαι, ἀλλ' οἵαπερ ἡ παρὰ τοῦ γραμματιστοῦ ἐγένετο καὶ B κιθαριστοῦ καὶ παιδοτρίβου; τούτων γὰρ σὺ ἑκάστην οὐκ ἐπὶ τέχνῃ ἔμαθες, [ὡς δημιουργὸς ἐσόμενος,] ἀλλ' ἐπὶ παιδείᾳ, ὡς τὸν ἰδιώτην καὶ τὸν ἐλεύθερον πρέπει. Πάνυ μὲν οὖν μοι δοκεῖ, ἔφη, τοιαύτη μᾶλλον ⟨ἂν⟩ εἶναι ἡ παρὰ Πρωταγόρου μάθησις.

IV. Οἶσθ' οὖν ὃ μέλλεις νῦν πράττειν, ἤ σε λανθάνει; ἦν δ' ἐγώ. Τοῦ πέρι; Ὅτι μέλλεις τὴν ψυχὴν τὴν σαυτοῦ παρασχεῖν θεραπεῦσαι ἀνδρί, ὡς φῄς, σοφιστῇ· ὅ τι δέ C ποθ' ὁ σοφιστής ἐστιν, θαυμάζοιμ' ἂν εἰ οἶσθα. καίτοι εἰ τοῦτ' ἀγνοεῖς, οὐδ' ὅτῳ παραδίδως τὴν ψυχὴν οἶσθα, οὔτ' εἰ ἀγαθῷ οὔτ' εἰ κακῷ πράγματι. Οἶμαί γ', ἔφη, εἰδέναι. Λέγε δή, τί ἡγεῖ εἶναι τὸν σοφιστήν; Ἐγὼ μέν, ἦ δ' ὅς, ὥσπερ τοὔνομα λέγει, τοῦτον εἶναι τὸν τῶν σοφῶν ἐπιστήμονα. Οὐκοῦν, ἦν δ' ἐγώ, τοῦτο μὲν ἔξεστι λέγειν καὶ περὶ ζωγράφων καὶ περὶ τεκτόνων[, ὅτι οὗτοί εἰσιν οἱ τῶν σοφῶν ἐπιστήμονες]· ἀλλ' εἴ τις ἔροιθ' ἡμᾶς, τῶν τί σοφῶν εἰσιν D οἱ ζωγράφοι ἐπιστήμονες, εἴποιμεν ἄν που αὐτῷ, ὅτι τῶν πρὸς τὴν ἀπεργασίαν τὴν τῶν εἰκόνων, καὶ τἆλλ' οὕτως. εἰ δέ τις ἐκεῖν' ἔροιτο, ὁ δὲ σοφιστὴς τῶν τί σοφῶν ἐστιν; τί ἂν ἀποκρινοίμεθ' αὐτῷ; ποίας ἐργασίας ἐπιστάτης; Τί ἄν, ⟨εἰ⟩ εἴποιμεν αὐτὸν εἶναι, ὦ Σώκρατες, ἐπιστάτην τοῦ ποιῆσαι δεινὸν λέγειν; Ἴσως ἄν, ἦν δ' ἐγώ, ἀληθῆ λέγοιμεν, οὐ μέντοι ἱκανῶς γε· ἐρωτήσεως γὰρ ἔτι ἡ ἀπόκρισις ἡμῖν δεῖται. περὶ ὅτου ὁ σοφιστὴς δεινὸν ποιεῖ λέγειν· ὥσπερ ὁ κιθαριστὴς δεινὸν δήπου ποιεῖ λέγειν περὶ οὗπερ καὶ ἐπιστή- E μονα, περὶ κιθαρίσεως· ἦ γάρ; Ναί. Εἶεν· ὁ δὲ δὴ σοφιστὴς περὶ τίνος δεινὸν ποιεῖ λέγειν; ⟨ἢ⟩ δῆλον ὅτι περὶ οὗπερ καὶ ἐπίσταται; Εἰκός γε. Τί δή ἐστιν τοῦτο, περὶ οὗ αὐτός τ' ἐπιστήμων ἐστὶν ὁ σοφιστὴς καὶ τὸν μαθητὴν ποιεῖ; Μὰ Δί', ἔφη, οὐκέτι ἔχω σοι λέγειν.

V. Καὶ ἐγὼ εἶπον μετὰ τοῦτο· Τί οὖν; οἶσθ' εἰς οἷόν 313 τινα κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν; ἢ εἰ μὲν τὸ

---

3. interpretamentum del. Naber. | 5. addidi ἄν. Cf. ἔσεσθαι vs. 1. | 16 sq. seclusi ὅ τι — ἐπιστήμονες. | 21. sic Sch.; non male tamen Zek. τί ἂν ⟨ἄλλο⟩ — ⟨ἢ⟩ ἐπιστάτην κτἑ.

σῶμα ἐπιτρέπειν σ᾽ ἔδει τῳ, διακινδυνεύοντ᾽ ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ πονηρόν, πόλλ᾽ ἂν περιεσκέψω, εἴτ᾽ ἐπιτρεπτέον εἴτ᾽ οὔ, καὶ εἰς συμβουλὴν τούς τε φίλους ἂν παρεκάλεις καὶ τοὺς οἰκείους, σκοπούμενος ἡμέρας συχνάς· ὃ δὲ περὶ πλείονος τοῦ σώματος ἡγεῖ [τὴν ψυχήν] καὶ ἐν ᾧ πάντ᾽ ἐστὶν τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν, χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γενομένου, περὶ δὲ τούτου οὔτε τῷ πατρὶ οὔτε τἀδελφῷ B *ἐπεκοινώσω οὐθ᾽ ἡμῶν τῶν ἑταίρων οὐδενί, εἴτ᾽ ἐπιτρεπτέον εἴτε καὶ οὐ τῷ ⟨ἄρτι⟩ ἀφικομένῳ τούτῳ ξένῳ τὴν σὴν ψυχήν, ἀλλ᾽ ἑσπέρας ἀκούσας, ὡς φῄς, ὄρθριος ἥκων περὶ μὲν τούτου οὐδένα λόγον οὐδὲ συμβουλὴν ποιεῖ, εἴτε χρὴ ἐπιτρέπειν σαυτὸν αὐτῷ εἴτε μή, ἑτοῖμος δ᾽ εἶ ἀναλίσκειν τά τε σαυτοῦ καὶ τὰ τῶν φίλων χρήματα, ὡς ἤδη διεγνωκώς, ὅτι πάντως συνεστέον Πρωταγόρᾳ, ὃν οὔτε γιγνώσκεις, ὡς* C *φῄς, οὔτε διείλεξαι οὐδεπώποτε, σοφιστὴν δ᾽ ὀνομάζεις, τὸν δὲ σοφιστήν, ὅ τί ποτ᾽ ἔστιν, φαίνει ἀγνοῶν, ᾧ μέλλεις σαυτὸν ἐπιτρέπειν; καὶ ὃς ἀκούσας, Ἔοικεν, ἔφη, ὦ Σώκρατες, ἐξ ὧν σὺ λέγεις. Ἆρ᾽ οὖν, ὦ Ἱππόκρατες, ὁ σοφιστὴς τυγχάνει ὢν ἔμπορός τις ἢ κάπηλος τῶν ἀγωγίμων, ἀφ᾽ ὧν ψυχὴ τρέφεται; Φαίνεται γὰρ ἔμοιγε τοιοῦτός τις. Τρέφεται δέ, ἦν δ᾽ ἐγώ, ψυχὴ τίνι; Μαθήμασιν δήπου, ὦ Σώκρατες. καὶ ὅπως γε μή, ὦ ἑταῖρε, ὁ σοφιστὴς ἐπαινῶν ἃ πωλεῖ ἐξαπατήσει ἡμᾶς, ὥσπερ οἱ περὶ τὴν τοῦ σώματος τροφήν[,* D *ὁ ἔμπορός τε καὶ κάπηλος]. καὶ γὰρ οὗτοί που ὧν ἄγουσιν ἀγωγίμων οὔτ᾽ αὐτοὶ ἴσασιν ὅ τι χρηστὸν ἢ πονηρὸν πρὸς τὸ σῶμα, ἐπαινοῦσιν δὲ πάντα πωλοῦντες, οὔθ᾽ οἱ ὠνούμενοι παρ᾽ αὐτῶν, ἐὰν μή τις τύχῃ γυμναστικὸς ἢ ἰατρὸς ὤν. οὕτω δὲ καὶ οἱ τὰ μαθήματα περιάγοντες κατὰ τὰς πόλεις καὶ πωλοῦντες καὶ καπηλεύοντες τῷ ἀεὶ ἐπιθυμοῦντι ἐπαινοῦσιν μὲν πάνθ᾽ ἃ πωλοῦσιν, τάχα δ᾽ ἄν τινες, ὦ ἄριστε, καὶ τούτων ἀγνοοῖεν ὧν πωλοῦσιν ὅ τι χρηστὸν ἢ πονηρὸν* E *πρὸς τὴν ψυχήν· ὡς δ᾽ αὕτως καὶ οἱ ὠνούμενοι παρ᾽ αὐτῶν,*

---

5. *τὴν ψυχήν* del. Hartm. | 9. *ἄρτι* add. Nab. | 15. malim *διείλεξαι* ⟨*αὐτῷ*⟩. | 21. inverso ordine libri *ὦ Σώκρατες* et *ἦν δ᾽ ἐγώ*. Correxit Kroschel. | 24. *ὁ — κάπηλος* del. Naber. | 25. *πρὸς* Hir.] *περί*.

ἐάν μή τις τύχῃ περὶ τὴν ψυχὴν αὖ ἰατρικὸς ὤν. εἰ μὲν
οὖν σὺ τυγχάνεις ἐπιστήμων τούτων τί χρηστὸν καὶ πονηρόν,
ἀσφαλές σοι ὠνεῖσθαι μαθήματα καὶ παρὰ Πρωταγόρου
καὶ παρ' ἄλλου ὁτουοῦν· εἰ δὲ μή, ὅρα, ὦ μακάριε, μὴ
περὶ τοῖς φιλτάτοις κυβεύῃς [τε καὶ κινδυνεύῃς]. καὶ γὰρ 314
δὴ καὶ πολὺ μείζων κίνδυνος ἐν τῇ τῶν μαθημάτων ὠνῇ
ἢ ἐν τῇ τῶν σιτίων. σιτία μὲν γὰρ καὶ ποτὰ πριάμενον
[παρὰ τοῦ καπήλου καὶ ἐμπόρου] ἔξεστιν ἐν ἄλλοις ἀγγείοις
ἀποφέρειν, καὶ πρὶν δέξασθαι αὐτ' εἰς τὸ σῶμα πιόντ' ἢ
φαγόντα, καταθέμενον οἴκαδε [ἔξεστιν] συμβουλεύσασθαι,
παρακαλέσαντα τὸν ἐπαΐοντα, ὅ τι τε ἐδεστέον ἢ ποτέον καὶ
ὅ τι μή, καὶ ὁπόσον καὶ ὁπότε· ὥστ' ἐν τῇ ὠνῇ οὐ
μέγας ὁ κίνδυνος. μαθήματα δ' οὐκ ἔστιν ἐν ἄλλῳ ἀγγείῳ B
ἀπενεγκεῖν, ἀλλ' ἀνάγκη, καταθέντα τὴν τιμήν, τὸ μάθημ'
ἐν αὐτῇ τῇ ψυχῇ λαβόντα [καὶ μαθόντα] ἀπιέναι ἢ βεβλαμ-
μένον ἢ ὠφελημένον. ταῦτ' οὖν σκοπώμεθα καὶ μετὰ τῶν
πρεσβυτέρων ἡμῶν· ἡμεῖς γὰρ ἔτι νέοι ὥστε τοσοῦτον πρᾶγμα
διελέσθαι. νῦν μέντοι, ὥσπερ ὡρμήσαμεν, ἴωμεν καὶ ἀκού-
σωμεν τἀνδρός, ἔπειτ' ἀκούσαντες καὶ ἄλλοις ἀνακοινωσώ-
μεθα· καὶ γὰρ οὐ μόνος Πρωταγόρας αὐτόθι ἐστίν, ἀλλὰ
καὶ Ἱππίας ὁ Ἠλεῖος· οἶμαι δὲ καὶ Πρόδικον τὸν Κεῖον· C
καὶ ἄλλοι πολλοὶ καὶ σοφοί.

VI. Δόξανθ' ἡμῖν ταῦθ' ἐπορευόμεθα· ἐπειδὴ δ' ἐν τῷ
προθύρῳ ἐγενόμεθα, ἐπιστάντες περί τινος λόγου διελεγό-
μεθα, ὃς ἡμῖν κατὰ τὴν ὁδὸν ἐνέπεσεν· ἵν' οὖν μὴ ἀτελὴς
γένοιτο, ἀλλὰ διαπερανάμενοι οὕτως εἰσίοιμεν, [στάντες ἐν
τῷ προθύρῳ] διελεγόμεθα, ἕως συνωμολογήσαμεν ἀλλήλοις.
δοκεῖ οὖν μοι, ὁ θυρωρός, εὐνοῦχός τις, κατήκουεν ἡμῶν,
κινδυνεύει δὲ διὰ τὸ πλῆθος τῶν σοφιστῶν ἄχθεσθαι τοῖς D
φοιτῶσιν εἰς τὴν οἰκίαν· ἐπειδὴ γοῦν ἐκρούσαμεν τὴν θύραν,

---

5. expunxi glossema | 10. ἔξεστιν del. Hartm. | 21. sc. αὐτόθι εἶναι. Potuerat etiam Πρόδικος ὁ Κεῖος. | 23. δόξαντα Zek.] δόξαν. Sic aut τοῦτο pro ταῦτα requiri recte monet. p. 100. | 26. εἰσίοιμεν dedi pro ἐσίοιμεν. | 26 sq. στάντες T, ἑστάντες B, ἐπιστάντες Sch., delevi petita ex 23 sq. | 28. εὐνοῦχος, more Persico, quem imitabatur homo mollis et ditissimus.

ἀνοίξας καὶ ἰδὼν ἡμᾶς, Ἔα, ἔφη, σοφισταί τινες· οὐ σχολὴ αὐτῷ· καὶ ἅμ' ἀμφοῖν τοῖν χεροῖν τὴν θύραν πάνυ προθύμως ὡς οἷός τ' ἦν ἐπήραξεν. καὶ ἡμεῖς πάλιν ἐκρούομεν, καὶ ὃς ἐγκεκλῃμένης τῆς θύρας ἀποκρινόμενος εἶπεν, Ὦ ἄνθρωποι, ἔφη, οὐκ ἀκηκόατε, ὅτι οὐ σχολὴ αὐτῷ; Ἀλλ' ὠγαθέ, ἔφην ἐγώ, οὔτε παρὰ Καλλίαν ἥκομεν οὔτε σοφισταί ἐσμεν· ἀλλὰ θάρρει· Πρωταγόραν γάρ τοι δεόμενοι ἰδεῖν ἤλθομεν· εἰσάγγειλον οὖν. μόγις οὖν ποθ' ἡμῖν ἄνθρωπος ἀνέῳξεν τὴν θύραν.

VII. *Ἐπειδὴ δ' εἰσήλθομεν, κατελάβομεν Πρωταγόραν ἐν τῷ προστῴῳ περιπατοῦντα, ἑξῆς δ' αὐτῷ συμπεριεπάτουν ἐκ μὲν τοὐπὶ θάτερα Καλλίας ὁ Ἱππονίκου καὶ ἀδελφὸς*
315 *αὐτοῦ ὁ ὁμομήτριος, Παράλιος ὁ Περικλέους καὶ Χαρμίδης ὁ Γλαύκωνος, ἐκ δὲ τοὐπὶ θάτερ' ὁ ἕτερος τῶν Περικλέους Ξάνθιππος καὶ Φιλιππίδης ὁ Φιλομήλου καὶ Ἀντίμοιρος ὁ Μενδαῖος, ὅσπερ εὐδοκιμεῖ μάλιστα τῶν Πρωταγόρου μαθητῶν καὶ ἐπὶ τέχνῃ μανθάνει [ὡς σοφιστὴς ἐσόμενος]. τούτων δ' οἳ ὄπισθεν ἠκολούθουν ἐπακούοντες τῶν λεγομένων, τὸ μὲν πολὺ ξένοι ἐφαίνοντο, οὓς ἄγει ἐξ ἑκάστης τῶν πόλεων ὁ Πρωταγόρας, δι' ὧν διεξέρχεται, κηλῶν τῇ φωνῇ ὥσπερ Ὀρφεύς, οἳ δὲ κατὰ τὴν φωνὴν ἕπονται [κεκηλη-*
B *μένοι]· ἦσαν δέ τινες καὶ τῶν ἐπιχωρίων ἐν τῷ χορῷ. τοῦτον τὸν χορὸν μάλιστ' ἔγωγ' ἰδὼν ἥσθην, ὡς καλῶς ηὐλαβοῦντο μηδέποτ' ἐμποδὼν ἐν τῷ πρόσθεν εἶναι Πρωταγόρου, ἀλλ' ἐπειδὴ αὐτὸς ἀναστρέφοι καὶ οἱ μετ' ἐκείνου, εὖ πως καὶ ἐν κόσμῳ περιεσχίζονθ' οὗτοι [οἱ ἐπήκοοι] ἔνθεν καὶ ἔνθεν, καὶ ἐν κύκλῳ περιιόντες ἀεὶ εἰς τὤπισθεν καθίσταντο κάλλιστα.*

Τὸν δὲ μετ' εἰσενόησα, [ἔφη Ὅμηρος,] Ἱππίαν τὸν
C *Ἠλεῖον, καθήμενον ἐν τῷ καταντικρὺ προστῴῳ ἐν θρόνῳ· περὶ αὐτὸν δ' ἐκάθηντ' ἐπὶ βάθρων Ἐρυξίμαχός θ' ὁ Ἀκουμενοῦ καὶ Φαῖδρος ὁ Μυρρινούσιος καὶ Ἄνδρων ὁ*

---

2. *αὐτῷ*, *domino meo.* | 13. *Παράλιος* cf. ad Apol. 34 A] *Πάραλος.* | 17. interpretamentum del. Hir. | 19. *ἑκάστης* Hir.] *ἑκάστων.* | 21. delevi *κεκηλημένοι.* Debebat saltem scribi *κηλούμενοι.* | 26. *οἱ ἐπήκοοι* del. Zek. | 29. Hom. Od. XI 601. | 30. *κατ' ἀντικρὺ* codd. et vulgo.

Ἀνδροτίωνος καὶ τῶν ξένων πολῖταί τ' αὐτοῦ καὶ ἄλλοι τινές. ἐφαίνοντο δὲ περὶ φύσεώς τε καὶ τῶν μετεώρων [ἀστρονομικὰ] ἄττα διερωτᾶν τὸν Ἱππίαν, ὁ δ' [ἐν θρόνῳ καθήμενος] ἑκάστοις αὐτῶν διέκρινεν καὶ διεξῄει τὰ ἐρωτώμενα.

Καὶ μὲν δὴ καὶ Τάνταλόν γ' εἰσεῖδον. ἐπιδημεῖ γὰρ ἄρα καὶ Πρόδικος ὁ Κεῖος, ἦν δ' ἐν οἰκήματί τινι, ᾧ πρὸ D *τοῦ μὲν [ὡς] ταμιείῳ ἐχρῆθ' Ἱππόνικος, νῦν δ' ὑπὸ τοῦ πλήθους τῶν καταλυόντων ὁ Καλλίας καὶ τοῦτ' ἐκκενώσας ξένοις κατάλυσιν πεποίηκεν. ὁ μὲν οὖν Πρόδικος ἔτι κατέκειτο, ἐγκεκαλυμμένος ἐν κῳδίοις τισὶν [καὶ στρώμασιν] καὶ μάλα πολλοῖς, ὡς ἐφαίνετο· παρεκάθηντο δ' αὐτῷ ἐπὶ ταῖς πλησίον κλίναις Παυσανίας θ' ὁ ἐκ Κεραμέων καὶ μετὰ Παυσανίου νέον τι ἔτι μειράκιον, ὡς μὲν ἐγᾦμαι, καλόν τε* E *κἀγαθὸν τὴν φύσιν, τὴν δ' οὖν ἰδέαν πάνυ καλός. ἔδοξ' ἀκοῦσαι ὄνομ' αὐτῷ εἶναι Ἀγάθωνα, καὶ οὐκ ἂν θαυμάζοιμι, εἰ παιδικὰ Παυσανίου τυγχάνει ὤν. [τοῦτ' ἦν τὸ μειράκιον,] καὶ τὼ Ἀδειμάντω ἀμφοτέρω, ὅ τε Κήπιδος καὶ ὁ Λευκολοφίδου, καὶ ἄλλοι τινὲς ἐφαίνοντο· περὶ δ' ὧν διελέγοντ' οὐκ ἐδυνάμην ἔγωγε μαθεῖν ἔξωθεν, καίπερ λιπαρῶς ἔχων ἀκούειν τοῦ Προδίκου· — πάσσοφος γάρ μοι δοκεῖ ἀνὴρ εἶναι καὶ θεῖος· — ἀλλὰ διὰ τὴν βαρύτητα τῆς* 316 *φωνῆς βόμβος τις ἐν τῷ οἰκήματι γιγνόμενος ἀσαφῆ ἐποίει τὰ λεγόμενα.*

Καὶ ἡμεῖς μὲν ἄρτι εἰσεληλύθεμεν, κατόπιν δ' ἡμῶν ἐπεισῆλθον Ἀλκιβιάδης θ' ὁ καλός, ὡς φῂς σὺ καὶ ἐγὼ πείθομαι, καὶ Κριτίας ὁ Καλλαίσχρου.

VIII. *Ἡμεῖς οὖν ὡς εἰσήλθομεν, ἔτι σμίκρ' ἄττα διατρίψαντες καὶ ταῦτα διαθεασάμενοι προσῆμεν πρὸς τὸν Πρωταγόραν, καὶ ἐγὼ εἶπον· Ὦ Πρωταγόρα, πρός σέ τοι ἤλθομεν ἐγώ τε καὶ Ἱπποκράτης οὑτοσί. Πότερον, ἔφη,*

---

3. delevi petita ex p. 152, 30. | 5. Od. XI 582. De suo Plato add. *δὴ καὶ* et *γε*. | *ἐπιδημεῖ* Heind.] *ἐπεδήμει*. | 7. *ὡς* del. Hir. | 10. glossema ad *κῳδίοις* del. Hartm.; Prodicus mollis erat et delicatulus. Cf. Philostr. Vit. Soph. XII p. 496 Ol. | 12. De Pausania et Agathone cf. Platonis Symposion. | 16 sq. *τοῦτ'* — *μειράκιον* del. Kroschel. | 24. codd. et vulgo *εἰσεληλύθειμεν*, forma hellenistica. Correxi. | 28. *καὶ* del. Zek. | 30. *οὑτοσί* Hir.] *οὗτος*.

⟨μόνοι⟩ μόνῳ βουλόμενοι διαλεχθῆναι ἢ καὶ μετὰ τῶν
ἄλλων; Ἡμῖν μέν, ἦν δ' ἐγώ, οὐδὲν διαφέρει· ἀκούσας
δέ, οὗ ἕνεκα ἤλθομεν, αὐτὸς σκέψαι. Τί οὖν δή ἐστιν,
ἔφη, οὗ ἕνεχ' ἥκετε; Ἱπποκράτης ὅδ' ἐστὶν μὲν τῶν ἐπι-
χωρίων, Ἀπολλοδώρου ὑός, οἰκίας μεγάλης τε καὶ εὐδαί-
μονος, αὐτὸς δὲ τὴν φύσιν δοκεῖ ἐνάμιλλος εἶναι τοῖς
C ἡλικιώταις. ἐπιθυμεῖν δέ μοι δοκεῖ ἐλλόγιμος γενέσθαι ἐν
τῇ πόλει, τοῦτο δ' οἴεταί οἱ μάλιστ' ἂν γενέσθαι, εἰ σοὶ
συγγένοιτο· ταῦτ' οὖν ἤδη σὺ σκόπει, πότερον περὶ αὐτῶν
μόνος οἴει δεῖν διαλέγεσθαι πρὸς μόνους, ἢ μετ' ἄλλων.
Ὀρθῶς, ἔφη, προμηθεῖ, ὦ Σώκρατες, ὑπὲρ ἐμοῦ. ξένον
γὰρ ἄνδρα καὶ ἰόντ' εἰς πόλεις μεγάλας, καὶ ἐν ταύταις
πείθοντα τῶν νέων τοὺς βελτίστους ἀπολιπόντας τὰς τῶν
ἄλλων συνουσίας, καὶ οἰκείων καὶ ὀθνείων, καὶ πρεσβυτέ-
D ρων καὶ νεωτέρων. ἑαυτῷ συνεῖναι ὡς βελτίους ἐσομένους
διὰ τὴν ἑαυτοῦ συνουσίαν, χρὴ εὐλαβεῖσθαι [τὸν] ταῦτα
πράττοντα· οὐ γὰρ σμικροὶ περὶ αὐτὰ φθόνοι τε γίγνονται
καὶ ἄλλαι δυσμένειαί τε καὶ ἐπιβουλαί. ἐγὼ δὲ τὴν σοφιστι-
κὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν, τοὺς δὲ μεταχειριζομέ-
νους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν, φοβουμένους τὸ ἐπαχθὲς
αὐτῆς, [πρόσχημα ποιεῖσθαι καὶ] προκαλύπτεσθαι, τοὺς
μὲν ποίησιν, οἷον Ὅμηρόν τε καὶ Ἡσίοδον καὶ Σιμωνίδην,
τοὺς δ' αὖ τελετάς τε καὶ χρησμῳδίας, τοὺς ἀμφί τ' Ὀρφέα
καὶ Μουσαῖον· ἐνίους δέ τινας ᾔσθημαι καὶ γυμναστικήν,
E οἷον Ἴκκος θ' ὁ Ταραντῖνος καὶ ὁ νῦν ἔτι ὢν οὐδενὸς
ἥττων σοφιστὴς Ἡρόδικος ὁ Σηλυμβριανός, τὸ δ' ἀρχαῖον
Μεγαρεύς· μουσικὴν δ' Ἀγαθοκλῆς θ' ὁ ὑμέτερος πρόσχημα
ἐποιήσατο, μέγας ὢν σοφιστής, καὶ Πυθοκλείδης ὁ Κεῖος
καὶ ἄλλοι πολλοί. οὗτοι πάντες, ὥσπερ λέγω, φοβηθέντες
τὸν φθόνον ταῖς τέχναις ταύταις παραπετάσμασιν ἐχρήσαντο·
317 ἐγὼ δὲ τούτοις ἅπασιν κατὰ τοῦτ' εἶναι οὐ ξυμφέρομαι·
ἡγοῦμαι γὰρ αὐτοὺς οὔ τι διαπράξασθαι ὃ ἐβουλήθησαν·

---

12. ἀπολιπόντας Kroschel, coll. Apol. 19 E.] ἀπολείποντας. | 16. τὸν del. Cob. | 21. πρόσχημα — καὶ glossema videtur verbi sequentis, petitum ex 25 sq. Contra Hartm. del. καὶ προκαλύπτεσθαι. | 23. an ⟨οἷον⟩ τούς? | 26. malim ὁ ⟨νῦν⟩ vel ὁ ⟨νῦν μὲν⟩ Σ.

οὐ γὰρ λαθεῖν τῶν ἀνθρώπων τοὺς δυναμένους ἐν ταῖς πόλεσι πράττειν, ὧνπερ ἕνεκα ταῦτ' ἐστιν τὰ προσχήματα· ἐπεὶ οἵ γε πολλοὶ ὡς ἔπος εἰπεῖν οὐδὲν αἰσθάνονται, ἀλλ' ἅττ' ἂν οὗτοι διαγγέλλωσι, ταῦθ' ὑμνοῦσιν. τὸ οὖν ἀποδιδράσκοντα μὴ δύνασθαι ἀποδρᾶναι, ἀλλὰ καταφανῆ εἶναι, πολλὴ μωρία καὶ τοῦ ἐπιχειρήματος, καὶ πολὺ δυσμενεστέρους παρέχεσθαι ἀνάγκη τοὺς ἀνθρώπους· ἡγοῦνται γὰρ B *τὸν τοιοῦτον πρὸς τοῖς ἄλλοις καὶ πανοῦργον εἶναι. ἐγὼ οὖν τούτων τὴν ἐναντίαν ἅπασαν ὁδὸν ἐλήλυθα, καὶ ὁμολογῶ τε σοφιστὴς εἶναι καὶ παιδεύειν ἀνθρώπους, καὶ εὐλάβειαν ταύτην οἶμαι βελτίω ἐκείνης εἶναι, τὸ ὁμολογεῖν μᾶλλον ἢ ἔξαρνον εἶναι· καὶ ἄλλας πρὸς ταύτῃ ἔσκεμμαι, ὥστε, σὺν θεῷ εἰπεῖν, μηδὲν δεινὸν πάσχειν διὰ τὸ ὁμολογεῖν* C *σοφιστὴς εἶναι. καίτοι πολλά γ' ἔτη ἤδη εἶμ' ἐν τῇ τέχνῃ· καὶ γὰρ καὶ τὰ ξύμπαντα πολλά μοί ἐστιν· οὐδενὸς ὅτου οὐ [πάντων] ἂν ὑμῶν καθ' ἡλικίαν πατὴρ εἴην· ὥστε πολύ μοι ἥδιστόν ἐστιν, εἴ τι βούλεσθε, περὶ τούτων ἐναντίον ἁπάντων τῶν ἔνδον ὄντων τὸν λόγον ποιεῖσθαι. καὶ ἐγώ — ὑπώπτευσα γὰρ βούλεσθαι αὐτὸν τῷ τε Προδίκῳ καὶ τῷ Ἱππίᾳ ἐνδείξασθαι καὶ καλλωπίσασθαι, ὅτι ἐρασταὶ αὐτοῦ ἀφιγμένοι εἶμεν — Τί οὖν, ἔφην ἐγώ, οὐ καὶ Πρόδικον καὶ* D *Ἱππίαν ἐκαλέσαμεν καὶ τοὺς μετ' αὐτῶν, ἵν' ἐπακούσωσιν ἡμῶν; Πάνυ μὲν οὖν, ἔφη ὁ Πρωταγόρας. Βούλεσθ' οὖν, ὁ Καλλίας ἔφη, συνέδριον κατασκευάσωμεν, ἵνα καθιζόμενοι διαλέγησθε; Ἐδόκει χρῆναι· ἅσμενοι δὲ πάντες ἡμεῖς, ὡς ἀκουσόμενοι ἀνδρῶν σοφῶν, καὶ αὐτοὶ ἀντιλαβόμενοι τῶν βάθρων καὶ τῶν κλινῶν κατεσκευάζομεν παρὰ τῷ Ἱππίᾳ· ἐκεῖ γὰρ προϋπῆρχε [τὰ βάθρα]. ἐν δὲ τούτῳ Καλλίας τε* E *καὶ Ἀλκιβιάδης ἡκέτην ἄγοντε τὸν Πρόδικον, ἀναστήσαντ' ἐκ τῆς κλίνης, καὶ τοὺς μετὰ τοῦ Προδίκου.*

IX. *Ἐπεὶ δὲ πάντες συνεκαθεζόμεθα, ὁ Πρωταγόρας, Νῦν δὴ ἄν, ἔφη, λέγοις, ὦ Σώκρατες, ἐπειδὴ καὶ οἵδε*

---

2. *πράττειν* h. l. abesse malim, sed cf. 319 A. | 16. *πάντων* del. Cob. | 17. sq. *ἁπάντων ἐναντίων* codd. Transp. Heind. (aut *τούτου* pro *τούτων*?). | 28. *τὰ βάθρα* delevi. | 29. *ἀναστάντε* Heind.] *ἀναστάντες*.

πάρεισιν, περὶ ὧν ὀλίγον πρότερον μνείαν ἐποιοῦ πρὸς ἔμ' ὑπὲρ τοῦ νεανίσκου. καὶ ἐγὼ εἶπον ὅτι Ἡ αὐτή μοι ἀρχή 318 *ἐστιν, ὦ Πρωταγόρα, ἥπερ ἄρτι, περὶ ὧν ἀφικόμην. Ἱπποκράτης γὰρ ὅδε τυγχάνει ἐν ἐπιθυμίᾳ ὢν τῆς σῆς συνουσίας· ὅ τι οὖν αὐτῷ ἀποβήσεται, ἐάν σοι συνῇ, ἡδέως ἄν φησι πυθέσθαι. τοσοῦτος ὅ γ' ἡμέτερος λόγος. ὑπολαβὼν οὖν ὁ Πρωταγόρας εἶπεν· Ὦ νεανίσκε, ἔσται τοίνυν σοι, ἐὰν ἐμοὶ συνῇς, ᾗ ἂν ἡμέρᾳ ⟨πρώτῃ⟩ ἐμοὶ συγγένῃ, ἀπιέναι οἴκαδε βελτίονι γεγονότι, καὶ [ἐν] τῇ ὑστεραίᾳ ταὐτὰ ταῦτα· καὶ ἑκάστης ἡμέρας ἀεὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι. καὶ ἐγὼ ἀκούσας εἶπον·*
B *Ὦ Πρωταγόρα, τοῦτο μὲν οὐδὲν θαυμαστὸν λέγεις, [ἀλλὰ εἰκός,] ἐπεὶ κἂν σύ, καίπερ τηλικοῦτος ὢν καὶ οὕτως σοφός, εἴ τίς σε διδάξειεν ὃ μὴ τυγχάνοις ἐπιστάμενος, βελτίων ἂν γένοιο· ἀλλὰ μὴ οὕτως, ἀλλ' ὥσπερ ἂν εἰ αὐτίκα μάλα μεταβαλὼν τὴν ἐπιθυμίαν Ἱπποκράτης ὅδ' ἐπιθυμήσειεν τῆς συνουσίας τούτου τοῦ νεανίσκου τοῦ [νῦν] νεωστὶ ἐπιδημοῦντος, Ζευξίππου τοῦ Ἡρακλεώτου, καὶ ἀφικόμενος παρ' αὐτόν,*
C *ὥσπερ παρὰ σὲ νῦν, ἀκούσειεν αὐτοῦ ταὐτὰ ταῦτα, ἅπερ σοῦ, ὅτι ἑκάστης ἡμέρας ξυνὼν αὐτῷ βελτίων ἔσται καὶ ἐπιδώσει· εἰ αὐτὸν ἐπανέροιτο· τί δὴ φῂς βελτίω ἔσεσθαι καὶ εἰς τί ἐπιδώσειν; εἴποι ἂν αὐτῷ ὁ Ζεύξιππος, ὅτι πρὸς γραφικήν· κἂν εἰ Ὀρθαγόρᾳ τῷ Θηβαίῳ συγγενόμενος, ἀκούσας ἐκείνου ταὐτὰ ταῦτα, ἅπερ σοῦ, ἐπανέροιτ' αὐτὸν εἰς ὅ τι βελτίων καθ' ἡμέραν ἔσται συγγιγνόμενος ἐκείνῳ, εἴποι ἄν,*
D *ὅτι εἰς αὔλησιν· οὕτω δὴ καὶ σὺ εἰπὲ τῷ νεανίσκῳ καὶ ἐμοὶ ὑπὲρ τούτου ἐρωτῶντι, Ἱπποκράτης ὅδε Πρωταγόρᾳ συγγενόμενος, ᾗ ἂν αὐτῷ ἡμέρᾳ ⟨πρώτῃ⟩ συγγένηται, βελτίων ἄπεισι γενόμενος καὶ τῶν ἄλλων ἡμερῶν ἑκάστης οὕτως ἐπιδώσει εἰς τί, ὦ Πρωταγόρα, καὶ περὶ τοῦ; καὶ ὁ Πρωταγόρας ἐμοῦ ταῦτ' ἀκούσας, Σύ τε καλῶς ἐρωτᾷς, ἔφη, ὦ Σώκρατες, καὶ ἐγὼ τοῖς καλῶς ἐρωτῶσι χαίρω ἀποκρινόμενος. Ἱπποκράτης γὰρ παρ' ἔμ' ἀφικόμενος οὐ πείσεται, ἅπερ*
E *ἂν ἔπαθεν ἄλλῳ τῳ συγγενόμενος τῶν σοφιστῶν· οἱ μὲν*

---

8 et 27. *πρώτῃ (α')* add. Cob. | 11. *ἀλλὰ εἰκός* del. Hartm. | 13. *τυγχάνοις* Bek.] *-νεις*. | 16. *νῦν* seclusi. | 29. *τοῦ] τοῦτο*, sc. *τὴν σοφιστικήν* Zek.

*γὰρ ἄλλοι λωβῶνται τοὺς νέους· τὰς γὰρ τέχνας αὐτοὺς
πεφευγότας ἄκοντας πάλιν αὖ ἄγοντες ἐμβάλλουσιν εἰς τέχνας,
λογισμούς τε καὶ ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν
διδάσκοντες — καὶ ἅμ' εἰς τὸν Ἱππίαν ἀπέβλεψεν — παρὰ
δ' ἔμ' ἀφικόμενος μαθήσεται οὐ περὶ ἄλλου του ἢ περὶ οὗ
ἥκει. τὸ δὲ μάθημ' ἐστὶν εὐβουλία περὶ τῶν οἰκείων, ὅπως
ἂν ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοίη, καὶ περὶ τῶν τῆς
πόλεως, ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ* 319
*πράττειν καὶ λέγειν. Ἆρα, ἔφην ἐγώ, ἕπομαί σου τῷ λόγῳ;
δοκεῖς γάρ μοι λέγειν τὴν πολιτικὴν τέχνην καὶ ὑπισχνεῖσθαι
ποιήσειν ἄνδρας ἀγαθοὺς πολίτας. Αὐτὸ μὲν οὖν τοῦτ' ἐστιν,
ἔφη, ὦ Σώκρατες, τοὐπάγγελμα, ὃ ἐπαγγέλλομαι.*

Χ. *Ἦ καλόν, ἦν δ' ἐγώ, τέχνημ' ἄρα κέκτησαι, εἴπερ
ἔκτησαι· οὐ γάρ τι ἄλλο πρός γε σὲ εἰρήσεται ἢ ἅπερ νοῶ.
ἐγὼ γὰρ τοῦτο, ὦ Πρωταγόρα, οὐκ ᾤμην διδακτὸν εἶναι,
σοὶ δὲ λέγοντι οὐκ ἔχω ὅπως [ἂν] ἀπιστῶ. ὅθεν δ' αὔτ'* B
*οὐχ ἡγοῦμαι διδακτὸν εἶναι οὐδ' ὑπ' ἀνθρώπων παρασκευ-
αστον ἀνθρώποις, δίκαιός εἰμ' εἰπεῖν. ἐγὼ γὰρ Ἀθηναίους,
ὥσπερ καὶ οἱ ἄλλοι Ἕλληνες, φημὶ σοφοὺς εἶναι. ὁρῶ οὖν,
ὅταν συλλεγῶμεν εἰς τὴν ἐκκλησίαν, ἐπειδὰν μὲν περὶ οἰκο-
δομίας τι δέῃ πρᾶξαι τὴν πόλιν, τοὺς οἰκοδόμους μεταπεμ-
πομένους συμβούλους [περὶ τῶν οἰκοδομημάτων], ὅταν δὲ
περὶ ναυπηγίας, τοὺς ναυπηγούς, καὶ τἆλλα πάνθ' οὕτως,
ὅσ' ἡγοῦνται μαθητά τε καὶ διδάκτ' εἶναι· ἐὰν δέ τις ἄλλος* C
*ἐπιχειρῇ αὐτοῖς συμβουλεύειν, ὃν ἐκεῖνοι μὴ οἴονται δημι-
ουργὸν εἶναι, κἂν πάνυ καλὸς ᾖ καὶ πλούσιος καὶ τῶν
γενναίων, οὐδέν τι μᾶλλον ἀποδέχονται, ἀλλὰ καταγελῶσι
καὶ θορυβοῦσιν, ἕως ἂν ἢ αὐτὸς ἀποστῇ [ὁ ἐπιχειρῶν]
λέγειν καταθορυβηθείς, ἢ οἱ τοξόται αὐτὸν ἀφελκύσωσιν ἢ
ἐξάρωνται κελευόντων τῶν πρυτάνεων. περὶ μὲν οὖν ὧν
οἴονται ἔντεχν' εἶναι, οὕτω διαπράττονται· ἐπειδὰν δέ τι* D

---

11. *ποιήσειν* vH.] *ποιεῖν*. | 13. L. Rh. p 42 transposui *εἴπερ ἄρα ⟨κ⟩έκτησαι*. | 16 sq. codd. *ὅθεν δὲ αὐτὸ ἡγοῦμαι οὐ διδακτὸν εἶναι μηδ'*.] rescripsi quod vides. Cf. 320 B med. Naber: *ὅθεν δ' οὐχ ἡγοῦμαι αὐτὸ — μηδ'*. | 19. fort. *εἴπερ καί τινες ἄλλοι Ἕλληνες*. | 22. emblema del. Hir. | 28. expunxi L. Tr. p. 42 *ὁ — λέγειν*, hodie solum *ὁ ἐπιχειρῶν*. Cf. Zek. p. 101. | 31. *ἔντεχνα* Heind.] *ἐν τέχνῃ*.

*περὶ τῶν τῆς πόλεως [διοικήσεως] δέῃ βουλεύσασθαι,
συμβουλεύει αὐτοῖς ἀνιστάμενος περὶ τούτων ὁμοίως μὲν
τέκτων, ὁμοίως δὲ χαλκεὺς σκυτοτόμος, ἔμπορος ναύκληρος,
πλούσιος πένης, γενναῖος ἀγεννής, καὶ τούτοις οὐδεὶς τοῦτ'
ἐπιπλήττει ὥσπερ τοῖς πρότερον, ὅτι οὐδαμόθεν μαθών,
οὐδ' ὄντος διδασκάλου οὐδενὸς αὐτῷ, ἔπειτα συμβουλεύειν
ἐπιχειρεῖ[· δῆλον γάρ, ὅτι οὐχ ἡγοῦνται διδακτὸν εἶναι].*
E *μὴ τοίνυν ὅτι τὸ κοινὸν τῆς πόλεως οὕτως ἔχει, ἀλλ' ἰδίᾳ
ἡμῖν οἱ σοφώτατοι καὶ ἄριστοι τῶν πολιτῶν ταύτην τὴν
ἀρετὴν ἣν ἔχουσιν οὐχ οἷοί τ' ἄλλοις παραδιδόναι· ἐπεὶ
Περικλῆς, ὁ τουτωνὶ τῶν νεανίσκων πατήρ, τούτους ἃ μὲν
διδασκάλων εἴχετο καλῶς καὶ εὖ ἐπαίδευσεν, ἃ δ' αὐτὸς*
320 *σοφός ἐστιν, οὔτ' αὐτὸς παιδεύει οὔτε τῳ ἄλλῳ παραδίδωσιν,
ἀλλ' αὐτοὶ περιιόντες νέμονται ὥσπερ ἄφετοι, ἐάν που αὐτό-
ματοι περιτύχωσιν τῇ ἀρετῇ. εἰ δὲ βούλει, Κλεινίαν, τὸν
Ἀλκιβιάδου τουτουὶ νεώτερον ἀδελφόν, ἐπιτροπεύων αὐτὸς
οὗτος ἀνὴρ [Περικλῆς] δεδιὼς περὶ αὐτοῦ μὴ διαφθαρῇ
δὴ ὑπ' Ἀλκιβιάδου ἀποσπάσας ἀπὸ τούτου καταθέμενος ἐν
Ἀρίφρονος ἐπαίδευε· καὶ ⟨ὃς⟩ πρὶν ἓξ μῆνας γεγονέναι,*
B *ἀπέδωκε τούτῳ οὐκ ἔχων ὅ τι χρήσαιτ' αὐτῷ. καὶ ἄλλους
σοι παμπόλλους ἔχω λέγειν, οἳ αὐτοὶ ἀγαθοὶ ὄντες οὐδένα
πώποτε βελτίω ἐποίησαν οὔτε τῶν οἰκείων οὔτε τῶν ἀλλο-
τρίων. ἐγὼ οὖν, ὦ Πρωταγόρα, εἰς ταῦτ' ἀποβλέπων οὐχ
ἡγοῦμαι διδακτὸν εἶναι ἀρετήν· ἐπειδὴ δέ σου ἀκούω ταῦτα
λέγοντος, κάμπτομαι καὶ οἶμαί τί σε λέγειν διὰ τὸ ἡγεῖσθαί
σε πολλῶν μὲν ἔμπειρον γεγονέναι, πολλὰ δὲ μεμαθηκέναι,
τὰ δ' αὐτὸν ἐξηυρηκέναι. εἰ οὖν ἔχεις ἐναργέστερον ἡμῖν*
C *ἐπιδεῖξαι, ὡς διδακτόν ἐστιν ἡ ἀρετή, μὴ φθονήσῃς, ἀλλ'
ἐπίδειξον. Ἀλλ', ὦ Σώκρατες, ἔφη, οὐ φθονήσω· ἀλλὰ
πότερον ὑμῖν, ὡς πρεσβύτερος νεωτέροις, μῦθον λέγων
ἐπιδείξω ἢ λόγῳ διεξέλθω; Πολλοὶ οὖν αὐτῷ ὑπέλαβον τῶν
παρακαθημένων, ὁποτέρως βούλοιτο, οὕτως διεξιέναι. Δοκεῖ
τοίνυν μοι, ἔφη, χαριέστερον εἶναι μῦθον ὑμῖν λέγειν.*

---

1. *διοικήσεως* del. Sch., sed recte fortasse Kroschel transp. *τῶν περὶ*. | 7. *δῆλον — εἶναι* del. Hartm. | 11. Cf. Menon p. 93 D. | 14. *ἄφετοι* boves sacri, ab omni labore liberi, pascentes in lucis. | 17. nomen del. Cob. | 19. *ὅς* add. Cob.

XI. *Ἦν γάρ ποτε χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλθεν εἱμαρμένος* D *γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον ἐκ γῆς καὶ πυρὸς μείξαντες καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται. ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις ἑκάστοις ὡς πρέπει. Προμηθέα δὲ παραιτεῖται Ἐπιμηθεὺς αὐτὸς νεῖμαι, νείμαντος δ' ἐμοῦ ⟨σὺ⟩, ἔφη, ἐπίσκεψαι· καὶ οὕτως πείσας* E *νέμει. νέμων δὲ τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτεν, τὰ δ' ἀσθενέστερα τάχει ἐκόσμει· τὰ δ' ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχεν, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δ' ηὖξε μεγέθει, τῷδε αὐτῷ* 321 *αὔτ' ἔσῳζεν· καὶ τἆλλ' οὕτως ἐπανισῶν ἔνεμεν· ταῦτα δ' ἐμηχανᾶτ' εὐλάβειαν ἔχων μή τι γένος ἀϊστωθείη· ἐπειδὴ δ' αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμάρειαν ἐμηχανᾶτ' ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶν καὶ στερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι ταὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐτοφυὴς ἑκάστῳ· καὶ* B *ὑποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ [θριξὶν καὶ] δέρμασιν στερεοῖς καὶ ἀναίμοις. τοὐντεῦθεν τροφὰς ἄλλοις αλλας ἐξεπόριζεν, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλλοις δὲ δένδρων καρπούς, τοῖς δὲ ῥίζας· ἔστι δ' οἷς ἔδωκεν εἶναι τροφὴν ζῴων ἄλλων βοράν· καὶ τοῖς μὲν ὀλιγογονίαν προσῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων. ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὐτὸν καταναλώσας τὰς δυνάμεις· λοιπὸν δὴ ἀκόσμητον ἔτι* C *αὐτῷ ἦν τὸ ἀνθρώπων γένος, καὶ ἠπόρει ὅ τι χρήσαιτο. ἀποροῦντι δ' αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμεμος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῷα ἐμμελῶς πάντων ἔχοντα, τὸν δ' ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον*

---

4. *μείξαντες] μίξαντες.* | *καὶ — κεράννυται*, aqua et aere. Empedoclis (primi) doctrina. | 8. *σὺ* add. Naber. | 13. *τῷδε* (*τῷ δὲ* T)] *τούτῳ*? | 15. *ἀϊστωθείη*, poetice pro *ἀφανισθείη*. | 17. *εὐμάρειαν* Kroschel] *εὐμαρίαν*. | 19. *εἰς* dedi pro *ἐς*. | 22. *ἀναίμοις*. Fort. *ἀναιμ⟨άκτ⟩οις*, i. e. *ἀτρώτοις*. Ita saltem interpretandum.

καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ
ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. ἀπορίᾳ οὖν
D ἐχόμενος ὁ Προμηθεύς, ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ
εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν
σὺν πυρί — ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν
τῳ ἢ χρησίμην γενέσθαι — καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ.
τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχεν,
τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῷ Διί· τῷ δὲ
Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι
ἐνεχώρει εἰσελθεῖν· πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ
E ἦσαν· εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα το κοινόν,
ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται, καὶ κλέψας τήν τ'
ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου καὶ τὴν ἄλλην τὴν τῆς
Ἀθηνᾶς δίδωσιν ἀνθρώπῳ, καὶ ἐκ τούτου εὐπορία μὲν
ἀνθρώπῳ τοῦ βίου γίγνεται, Προμηθέα δὲ [δι' Ἐπιμηθέα]
322 ὕστερον, ἧπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν.

XII. Ἐπειδὴ δ' ἄνθρωπος θείας μετέσχε μοίρας,
πρῶτον μὲν [διὰ τὴν τοῦ θεοῦ συγγένειαν] ζῴων μόνον
θεοὺς ἐνόμισεν, καὶ ἐπεχείρει βωμούς τε ἱδρύσθαι καὶ
ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώ-
σατο [τῇ τέχνῃ], καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις
καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τροφὰς ηὕρετο. οὕτω δὴ
παρεσκευασμένοι κατ' ἀρχὰς ἄνθρωποι ᾤκουν σποράδην,
B πόλεις δ' οὐκ ἦσαν· ἀπώλλυντ' οὖν ὑπὸ τῶν θηρίων διὰ
τὸ πανταχῇ αὐτῶν ἀσθενέστεροι εἶναι, καὶ ἡ δημιουργικὴ
τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ
τὸν τῶν θηρίων πόλεμον ἐνδεής· [πολιτικὴν γὰρ τέχνην
οὔπω εἶχον, ἧς μέρος πολεμική.] ἐζήτουν δὴ ἀθροίζεσθαι
καὶ σῴζεσθαι κτίζοντες πόλεις· ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν
ἀλλήλους ἅτ' οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν
C σκεδαννύμενοι διεφθείροντο. Ζεὺς οὖν δείσας περὶ τῷ γένει
ἡμῶν, μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντ' εἰς ἀνθρώ-
πους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ

4—14. Ionicam dicendi ubertatem Plato hic imitari videtur. | 21. *τῇ τέχνῃ* del. Deuschle quocum iam Sch. del. *διὰ — συγγένειαν* (18). | 23. *ἄνθρωποι*? Sed cf. 32. | 27 sq. delevi emblema L. Rh. p. 42. Cf. vs. 30.

*δεσμοὶ φιλίας συναγωγοί. ἐρωτᾷ οὖν Ἑρμῆς Δία, τίν' οὖν
τρόπον δῶ δίκην καὶ αἰδῶ ἀνθρώποις· πότερον ὡς αἱ τέχναι
νενέμηνται, οὕτω καὶ ταύτας νείμω; νενέμηνται δ' ὧδε·
εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις καὶ** οἱ ἄλλοι
δημιουργοί· καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀν-
θρώποις, ἢ ἐπὶ πάντας νείμω; ἐπὶ πάντας, ἔφη ὁ Ζεύς,* D
*καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι
αὐτῶν μετέχοιεν ὥσπερ ἄλλων τεχνῶν· καὶ νόμον γε θὲς
παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν
κτείνειν ὡς νόσον πόλεως.*

*Οὕτω δή, ὦ Σώκρατες, καὶ διὰ ταῦθ' οἵ τ' ἄλλοι καὶ
Ἀθηναῖοι, ὅταν μὲν περὶ ἀρετῆς τεκτονικῆς ᾖ λόγος ἢ ἄλλης
τινὸς δημιουργικῆς, ὀλίγοις οἴονται μετεῖναι συμβουλῆς, καὶ
ἐάν τις ἐκτὸς ὢν τῶν ὀλίγων συμβουλεύῃ, οὐκ ἀνέχονται,
ὡς σὺ φῄς· εἰκότως, ὡς ἐγώ φημι· ὅταν δ' εἰς συμβουλὴν* E
πολιτικῆς ἀρετῆς ἴωσιν, ἣν δεῖ διὰ δικαιοσύνης πᾶσαν ἰέναι 323
*καὶ σωφροσύνης, εἰκότως παντὸς ἀνδρὸς ἀνέχονται, ὡς παντὶ
προσῆκον ταύτης γε μετέχειν τῆς ἀρετῆς, ἢ μὴ εἶναι πόλεις.
αὕτη, ὦ Σώκρατες, τούτου αἰτία.*

*Ἵνα δὲ μὴ οἴῃ ἀπατᾶσθαι, ὡς τῷ ὄντι ἡγοῦνται πάντες
ἄνθρωποι πάντ' ἄνδρα μετέχειν δικαιοσύνης τε καὶ τῆς
ἄλλης πολιτικῆς ἀρετῆς, τόδ' αὖ λαβὲ τεκμήριον. ἐν γὰρ
ταῖς ἄλλαις ἀρεταῖς, ὥσπερ σὺ λέγεις, ἐάν τις φῇ ἀγαθὸς
αὐλητὴς εἶναι, ἢ ἄλλην ἡντινοῦν τέχνην, ἣν μή ἐστιν, ἢ
καταγελῶσιν ἢ χαλεπαίνουσιν, καὶ οἱ οἰκεῖοι προσιόντες* B
*νουθετοῦσιν ὡς μαινόμενον· ἐν δὲ δικαιοσύνῃ καὶ ἐν τῇ
ἄλλῃ πολιτικῇ ἀρετῇ, ἐάν τινα καὶ εἰδῶσιν ὅτι ἄδικός ἐστιν,
ἐὰν οὗτος αὐτὸς καθ' αὑτοῦ τἀληθῆ λέγῃ ἐναντίον πολλῶν,
ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντ' εἶναι, [τἀληθῆ λέγειν,] ἐνταῦθα
μανίαν, καί φασιν πάντας δεῖν φάναι εἶναι δικαίους, ἐάν τ'
ὦσιν ἐάν τε μή, ἢ μαίνεσθαι τὸν μὴ προσποιούμενον δικαιο-
σύνην, ὡς ἀναγκαῖον ⟨ὂν⟩ οὐδέν' ὅντιν' οὐχὶ ἁμῶς γέ πως
μετέχειν αὐτῆς, ἢ μὴ εἶναι ἐν ἀνθρώποις.* C

---

2. *δῶ* Cob.] *δοίη*. | 4. posui signa lacunae; expectes fere *καὶ ⟨ἔχοντες ἄλλος ἄλλην τέχνην⟩ οἱ ἄ. δ.* vel simplicius *καὶ ⟨ὡσαύτως⟩*. | 29. interpretamentum del. Hartm. | 32. addidi *ὄν*.

XIII. Ὅτι μὲν οὖν πάντ' ἄνδρ' εἰκότως ἀποδέχονται
περὶ ταύτης τῆς ἀρετῆς σύμβουλον διὰ τὸ ἡγεῖσθαι παντὶ
μετεῖναι αὐτῆς, ταῦτα λέγω· ὅτι δ' αὐτὴν οὐ φύσει ἡγοῦν-
ται εἶναι οὐδ' ἀπὸ ταὐτομάτου, ἀλλὰ διδακτόν τε καὶ ἐξ
ἐπιμελείας παραγίγνεσθαι ᾧ ἂν παραγίγνηται, τοῦτό σοι
μετὰ τοῦτο πειράσομαι ἀποδεῖξαι. ὅσα γὰρ ἡγοῦνται ἀλλή-
D λους κάκ' ἔχειν ἄνθρωποι φύσει ἢ τύχῃ, οὐδεὶς θυμοῦται
οὐδὲ νουθετεῖ οὐδὲ διδάσκει οὐδὲ κολάζει τοὺς ταῦτ' ἔχον-
τας, ἵνα μὴ τοιοῦτοι ὦσιν, ἀλλ' ἐλεοῦσιν· οἷον τοὺς αἰσχροὺς
ἢ σμικροὺς ἢ ἀσθενεῖς τίς οὕτως ἀνόητος, ὥστε τι τούτων
ἐπιχειρεῖν ποιεῖν; ταῦτα μὲν γάρ, οἶμαι, ἴσασιν ὅτι φύσει τε
καὶ τύχῃ τοῖς ἀνθρώποις γίγνεται [τὰ καλὰ] καὶ τἀναντία
τούτοις· ὅσα δ' ἐξ ἐπιμελείας καὶ ἀσκήσεως καὶ διδαχῆς
E οἴονται γίγνεσθαι ἀγάθ' ἀνθρώποις, ἐάν τις ταῦτα μὴ ἔχῃ,
ἀλλὰ τἀναντία τούτων [κακά], ἐπὶ τούτοις που οἵ τε θυμοὶ
γίγνονται καὶ αἱ κολάσεις καὶ αἱ νουθετήσεις. ὧν ἐστιν ἓν
324 καὶ ἡ ἀδικία καὶ ἡ ἀσέβεια καὶ συλλήβδην πᾶν τοὐναντίον
τῆς πολιτικῆς ἀρετῆς· ἔνθα δὴ πᾶς παντὶ θυμοῦται καὶ
νουθετεῖ, δῆλον ὅτι ὡς ἐξ ἐπιμελείας καὶ μαθήσεως κτητῆς
οὔσης. εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὦ Σώκρατες,
τοὺς ἀδικοῦντας τί ποτε δύναται, αὐτό σε διδάξει, ὅτι οἵ γ'
ἄνθρωποι ἡγοῦνται παρασκευαστὸν εἶναι ἀρετήν. οὐδεὶς γὰρ
κολάζει τοὺς ἀδικοῦντας πρὸς τούτῳ τὸν νοῦν ἔχων καὶ
B τούτου ἕνεκα, ὅτι ἠδίκησεν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογί-
στως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν οὐ
τοῦ παρεληλυθότος ἕνεκ' ἀδικήματος τιμωρεῖται — οὐ γὰρ
ἂν τό γε πραχθὲν ἀγένητον θείη — ἀλλὰ τοῦ μέλλοντος
[χάριν], ἵνα μὴ αὖθις ἀδικήσῃ μήτ' αὐτὸς οὗτος μήτ' ἄλλος
ὁ τοῦτον ἰδὼν κολασθέντα· καὶ τοιαύτην διάνοιαν ἔχων
διανοεῖται παιδευτὸν εἶναι ἀρετήν[· ἀποτροπῆς γοῦν ἕνεκα
κολάζει]. ταύτην οὖν τὴν δόξαν πάντες ἔχουσιν, ὅσοιπερ
C τιμωροῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ· τιμωροῦνται δὲ καὶ
κολάζονται οἵ τ' ἄλλοι ἄνθρωποι οὓς ἂν οἴωνται ἀδικεῖν,

---

9. ἵνα — ἐλεοῦσιν del. Hir. | 15. κακά expunxi L. Rh. l.l. | 28. delevi χάριν, quod non est Platonicum pro ἕνεκα (repetendo e praegressis). | 30. παιδευτὸν vH.] -τήν. Delevi ἀποτροπῆς — κολάζει. L. Rh. p. 42.

*καὶ οὐχ ἥκιστα Ἀθηναῖοι[, οἱ σοὶ πολῖται]· ὥστε κατὰ τοῦτον
τὸν λόγον καὶ Ἀθηναῖοί εἰσι τῶν ἡγουμένων παρασκευαστὸν
εἶναι καὶ διδακτὸν ἀρετήν. ὡς μὲν οὖν εἰκότως ἀποδέχονται
οἱ σοὶ πολῖται καὶ χαλκέως καὶ σκυτοτόμου συμβουλεύοντος
τὰ πολιτικά, καὶ ὅτι διδακτὸν καὶ παρασκευαστὸν ἡγοῦνται
ἀρετήν, ἀποδέδεικταί σοι, ὦ Σώκρατες, ἱκανῶς, ὥς γ'* D
ἐμοὶ φαίνεται.

XIV. *Ἔτι δὴ λοιπὴ ἀπορία ἐστίν, ἣν ἀπορεῖς περὶ τῶν
ἀνδρῶν τῶν ἀγαθῶν, τί δήποθ' οἱ ἄνδρες οἱ ἀγαθοὶ τὰ
μὲν ἄλλα τοὺς αὑτῶν ὑεῖς διδάσκουσιν, ἃ διδασκάλων ἔχεται,
καὶ σοφοὺς ποιοῦσιν, ἣν δ' αὐτοὶ ἀρετὴν ἀγαθοί, οὐδενὸς
βελτίους ποιοῦσιν. τούτου δὴ πέρι, ὦ Σώκρατες, οὐκέτι
μῦθόν σοι ἐρῶ, ἀλλὰ λόγον. ὧδε γὰρ ἐννόησον· πότερον
ἔστιν τι ἕν, ἢ οὐκ ἔστιν, οὗ ἀναγκαῖον πάντας τοὺς πολίτας* E
*μετέχειν, εἴπερ μέλλει πόλις εἶναι; ἐν τούτῳ γὰρ αὕτη λύεται
ἡ ἀπορία, ἣν σὺ ἀπορεῖς, ἢ ἄλλοθι οὐδαμοῦ. εἰ μὲν γὰρ
ἔστιν καὶ τοῦτ' ἐστὶν τὸ ἓν οὐ τεκτονικὴ οὐδὲ χαλκεία οὐδὲ
κεραμεία, ἀλλὰ δικαιοσύνη καὶ σωφροσύνη καὶ τὸ ὅσιον* 325
*εἶναι, καὶ συλλήβδην ἓν αὐτὸ προσαγορεύω εἶναι ἀνδρὸς
ἀρετήν· εἰ τοῦτ' ἐστίν, οὗ δεῖ πάντας μετέχειν καὶ μετὰ
τούτου πάντ' ἄνδρα, ἐάν τι καὶ ἄλλο βούληται μανθάνειν
ἢ πράττειν, οὕτω πράττειν, ἄνευ δὲ τούτου μή, ἢ τὸν μὴ
μετέχοντα καὶ διδάσκειν καὶ κολάζειν, [καὶ παῖδα καὶ ἄνδρα
καὶ γυναῖκα,] ἕωσπερ ἂν κολαζόμενος βελτίων γένηται, ὃς
δ' ἂν μὴ ὑπακούῃ κολαζόμενος καὶ διδασκόμενος, ὡς
ἀνίατον ὄντα τοῦτον ἐκβάλλειν ἐκ τῶν πόλεων ἢ ἀποκτείνειν·
εἰ οὕτω μὲν ἔχει, οὕτω δ' αὐτοῦ πεφυκότος οἱ ἀγαθοὶ ἄν-* B
*δρες [εἰ] τὰ μὲν ἄλλα διδάσκονται τοὺς ὑεῖς, τοῦτο δὲ μή,
σκέψαι ὡς θαυμάσιοι γίγνονται [οἱ ἀγαθοί]. ὅτι μὲν γὰρ
διδακτὸν αὐτὸ ἡγοῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἀπεδείξαμεν·
διδακτοῦ δ' ὄντος καὶ θεραπευτοῦ τὰ μὲν ἄλλ' ἄρα τοὺς
ὑεῖς διδάσκονται, ἐφ' οἷς οὐκ ἔστι θάνατος ἡ ζημία, ἐὰν*

---

1. *Ἀθηναῖοι* secl. Hartm., ego potius *οἱ — πολῖται*, addita e vs. 6. | 25 sq. *καὶ — γυναῖκα* del. Deuschle. | 30. *εἰ* del. vHeusde. | 31. *θαυμάσιοι* Kroschel (*θαυμάσιοί σοι* Schleierm.)] *θαυμασίως*. | *οἱ ἀγαθοί* del. Dobr.

μὴ ἐπίστωνται, ἐφ᾽ οἷς δ᾽ ἥ τε ζημία θάνατος αὐτῶν τοῖς
C παισὶ καὶ φυγαὶ μὴ μαθοῦσι μηδὲ θεραπευθεῖσιν εἰς ἀρετήν,
καὶ πρὸς τῷ θανάτῳ χρημάτων τε δημεύσεις καὶ ὡς ἔπος
εἰπεῖν [ξυλλήβδην] τῶν οἴκων ἀνατροπαί, ταῦτα δ᾽ ἄρ᾽ οὐ
διδάσκονται οὐδ᾽ ἐπιμελοῦνται πᾶσαν ἐπιμέλειαν; Οἴεσθαί
γε χρή, ὦ Σώκρατες.

XV. Ἐκ παίδων σμικρῶν ἀρξάμενοι, μέχρι οὗπερ ἂν
ζῶσι, καὶ διδάσκουσι καὶ νουθετοῦσιν. ἐπειδὰν θᾶττον συνιῇ
τις τὰ λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ καὶ παιδαγωγὸς
D καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται, ὅπως βέλτιστος
ἔσται ὁ παῖς, παρ᾽ ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες
καὶ ἐνδεικνύμενοι, ὅτι τόδε μὲν δίκαιον, τόδε δ᾽ ἄδικον, καὶ
τόδε μὲν καλόν, τόδε δ᾽ αἰσχρόν, καὶ τόδε μὲν ὅσιον, τόδε
δ᾽ ἀνόσιον, καὶ τάδε μὲν ποίει, τάδε δὲ μὴ ποίει· καὶ ἐὰν μὲν
ἑκὼν πείθηται· εἰ δὲ μή, ὥσπερ ξύλον διαστρεφόμενον καὶ
καμπτόμενον εὐθύνουσιν ἀπειλαῖς καὶ πληγαῖς. μετὰ δὲ ταῦτ᾽
εἰς διδασκάλων πέμποντες πολὺ μᾶλλον ἐντέλλονται ⟨τούτοις⟩
E ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμμάτων τε καὶ κιθα-
ρίσεως· οἱ δὲ διδάσκαλοι τούτων τ᾽ ἐπιμελοῦνται, καὶ ἐπειδὰν
αὖ γράμματα μάθωσιν καὶ μέλλωσιν συνήσειν τὰ γεγραμμένα,
ὥσπερ τότε τὴν φωνήν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βάθρων
ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα καὶ ἐκμανθάνειν
326 ἀναγκάζουσιν, ἐν οἷς πολλαὶ μὲν νουθετήσεις ἔνεισιν, πολλαὶ
δὲ διέξοδοι καὶ ἔπαινοι καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγα-
θῶν, ἵν᾽ ὁ παῖς ζηλῶν μιμῆται καὶ ὀρέγηται τοιοῦτος
γενέσθαι. οἵ τ᾽ αὖ κιθαρισταί, ἕτερα τοιαῦτα, σωφροσύνης
τ᾽ ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσιν·
πρὸς δὲ τούτοις, ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ
ποιητῶν ἀγαθῶν ποιήματα διδάσκουσι [μελοποιῶν], εἰς τὰ
B κιθαρίσματα ἐντείνοντες, καὶ τοὺς ῥυθμούς τε καὶ τὰς ἁρμο-
νίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων, ἵν᾽
ἡμερώτεροί τ᾽ ὦσιν, καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι
γιγνόμενοι χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν· πᾶς

---

1. οἷς v.H.] ᾧ B, ὧν TW(Sch.). | 4. ξυλλήβδην del. Hir. | 12. τόδε — τόδε v.H.] τὸ — τὸ. | 14. τάδε — τάδε T] τὰ — τὰ B (Sch.). | 17. addidi τούτοις. | 29. μελοποιῶν del. Hartm.

*γὰρ ὁ βίος τἀνθρώπου εὐρυθμίας τε καὶ εὐαρμοστίας δεῖται.
ἔτι τοίνυν πρὸς τούτοις εἰς παιδοτρίβου πέμπουσιν, ἵνα τὰ
σώματα βέλτιον ἔχοντες ὑπηρετῶσι τῇ διανοίᾳ χρηστῇ οὔσῃ,
καὶ μὴ ἀναγκάζωνται ἀποδειλιᾶν διὰ τὴν πονηρίαν τῶν* C
*σωμάτων καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς ἄλλαις πράξεσιν·
καὶ ταῦτα ποιοῦσιν οἱ μάλιστα δυνάμενοι ⟨μάλιστα⟩· μάλιστα
δὲ δύνανται οἱ πλουσιώτατοι· καὶ οἱ τούτων υἱεῖς, πρῳαίτατα
[εἰς διδασκάλων] τῆς ἡλικίας ἀρξάμενοι φοιτᾶν, ὀψιαίτατ'
ἀπαλλάττονται. ἐπειδὰν δ' [ἐκ διδασκάλων] ἀπαλλαγῶσιν,
ἡ πόλις αὖ τούς τε νόμους ἀναγκάζει μανθάνειν καὶ κατὰ* D
*τούτους ζῆν [κατὰ παράδειγμα], ἵνα μὴ αὐτοὶ ἐφ' αὑτῶν
εἰκῇ πράττωσιν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ γραμματισταὶ τοῖς
μήπω δεινοῖς γράφειν τῶν παίδων ὑπογράψαντες γραμμὰς
τῇ γραφίδι οὕτω τὸ γραμματεῖον διδόασιν καὶ ἀναγκάζουσι
γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμῶν, ὣς δὲ καὶ ἡ
πόλις νόμους ὑπογράψασα, ἀγαθῶν καὶ παλαιῶν νομοθετῶν
εὑρήματα, κατὰ τούτους ἀναγκάζει καὶ ἄρχειν καὶ ἄρχεσθαι· ὃς δ' ἂν ἐκτὸς βαίνῃ τούτων, κολάζει, καὶ ὄνομα τῇ
κολάσει ταύτῃ καὶ παρ' ὑμῖν καὶ ἄλλοθι πολλαχοῦ, ὡς
εὐθυνούσης τῆς δίκης, εὐθῦναι. τοσαύτης οὖν τῆς ἐπιμελείας* E
*οὔσης περὶ ἀρετῆς ἰδίᾳ καὶ δημοσίᾳ, θαυμάζεις, ὦ Σώκρατες,
καὶ ἀπορεῖς, εἰ διδακτόν ἐστιν ἀρετή; ἀλλ' οὐ χρὴ θαυμάζειν, ἀλλὰ πολὺ μᾶλλον, εἰ μὴ διδακτόν.*

XVI. *Διὰ τί οὖν τῶν ἀγαθῶν πατέρων πολλοὶ υἱεῖς
φαῦλοι γίγνονται; τοῦτ' αὖ μάθε· οὐδὲν γὰρ θαυμαστόν,
εἴπερ ἀληθῆ ἐγὼ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι τούτου τοῦ
πράγματος, τῆς ἀρετῆς, εἰ μέλλει πόλις εἶναι, οὐδένα δεῖ* 327
*ἰδιωτεύειν. εἰ γὰρ δὴ ὃ λέγω οὕτως ἔχει — ἔχει δὲ μάλιστα
πάντων οὕτως — ἐνθυμήθητι ἄλλο τῶν ἐπιτηδευμάτων
ὁτιοῦν καὶ μαθημάτων προελόμενος. εἰ μὴ οἷόν τ' ἦν πόλιν
εἶναι, εἰ μὴ πάντες αὐληταὶ ἦμεν, ὁποῖός τις ἐδύναθ' ἕκαστος, καὶ τοῦτο καὶ ἰδίᾳ καὶ δημοσίᾳ πᾶς πάντα καὶ ἐδίδασκε
καὶ ἐπέπληττε τὸν μὴ καλῶς αὐλοῦντα, καὶ μὴ ἐφθόνει
τούτου, ὥσπερ νῦν τῶν δικαίων καὶ τῶν νομίμων οὐδεὶς* B

---

3. *βέλτιον* e Cobeti praecepto N. L. p. 270 dedi pro *βελτίω*. | 5 sq. cf. L. Rh. p. 42. | 8. *εἰς διδασκάλων* del. Nab., 9. *ἐκ διδασκάλων* ego delevi.

*φθονεῖ οὐδ' ἀποκρύπτεται ὥσπερ τῶν ἄλλων τεχνημάτων·
λυσιτελεῖ γὰρ οἶμαι ἡμῖν ἡ ἀλλήλων δικαιοσύνη καὶ ἀρετή·
διὰ ταῦτα πᾶς παντὶ προθύμως λέγει καὶ διδάσκει [καὶ] τὰ
δίκαια καὶ τὰ νόμιμα. εἰ οὖν οὕτω καὶ ἐν αὐλήσει πᾶσαν
προθυμίαν καὶ ἀφθονίαν εἴχομεν ἀλλήλους διδάσκειν, οἴει
ἄν τι, ἔφη, μᾶλλον, ὦ Σώκρατες, τῶν ἀγαθῶν αὐλητῶν
ἀγαθοὺς αὐλητὰς τοὺς ὑεῖς γίγνεσθαι ἢ τῶν φαύλων; οἶμαι*
C *μὲν οὔ, ἀλλ' ὅτου ἔτυχεν ὁ ὑὸς εὐφυέστατος γενόμενος εἰς
αὔλησιν, οὗτος ἂν ἐλλόγιμος ηὐξήθη, ὅτου δ' ἀφυής, ἀκλεής·
καὶ πολλάκις μὲν ἀγαθοῦ αὐλητοῦ ⟨ὑὸς⟩ φαῦλος ἂν ἀπέβη,
πολλάκις δ' ἂν φαύλου ἀγαθός· ἀλλ' οὖν αὐληταί γ' ἂν
πάντες ἦσαν ἱκανοὶ ὡς πρὸς τοὺς ἰδιώτας καὶ μηδὲν αὐλή-
σεως ἐπαΐοντας. οὕτως ᾤου κἂν νῦν, ὅστις σοι ἀδικώτατος
φαίνεται ἄνθρωπος τῶν ἐν νομίμοις ἀνθρώποις τεθραμ-
μένων, δίκαιον αὐτὸν εἶναι καὶ δημιουργὸν τούτου τοῦ*
D *πράγματος, εἰ δέοι αὐτὸν κρίνεσθαι πρὸς ἀνθρώπους, οἷς
μήτε παιδεία ἐστὶν μήτε δικαστήρια μήτε νόμοι μηδ' ἀνάγκη
μηδεμία διὰ παντὸς ἀναγκάζουσ' ἀρετῆς ἐπιμελεῖσθαι, ἀλλ'
εἶεν ἄγριοί τινες, οἵους περ πέρυσιν Φερεκράτης [ὁ ποιητὴς]
ἐδίδαξεν ἐπὶ Ληναίῳ. ἦ σφόδρ' ἐν τοῖς τοιούτοις ἀνθρώποις
γενόμενος, [ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι]
ἀγαπήσαις ἄν, εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυνώνδᾳ, καὶ
ἀνολοφύραι' ἂν ποθῶν τὴν τῶν ἐνθάδ' ἀνθρώπων πονη-*
E *ρίαν· νῦν δὲ τρυφᾷς, ὦ Σώκρατες, διότι πάντες διδάσκαλοί
εἰσιν ἀρετῆς, καθ' ὅσον δύνανται ἕκαστος, καὶ οὐδείς σοι
φαίνεται. ἔσθ' ὥσπερ ἂν εἰ ζητοίης τίς διδάσκαλος τοῦ*
328 *ἑλληνίζειν, οὐδ' ἂν εἷς φανείη, οὐδέ γ' ἄν, οἶμαι, εἰ ζητοίης
τίς ἂν ἡμῖν διδάξειεν τοὺς τῶν χειροτεχνῶν ὑεῖς αὐτὴν ταύτην
τὴν τέχνην, ἣν δὴ παρὰ τοῦ πατρὸς μεμαθήκασιν, καθ'
ὅσον οἷός τ' ἦν ὁ πατὴρ καὶ οἱ τοῦ πατρὸς φίλοι ὄντες
ὁμότεχνοι, τούτους ἔτι τίς ἂν διδάξειεν; οὐ ῥᾴδιον οἶμαι*

---

3. *καὶ* del. Kroschel. | 10. addidi *ὑός*. | 13. *ᾤου κἂν* Sauppe] *οἷον καὶ*. | 14. *νομίμοις* Cob.] *ἐννόμοις* Sch. Cf. Zek. p. 102. Codd. *νόμοις καί*, quae servans Liebh. coni *ἀνθρωπίνοις τρόποις*. | 19. *ὁ ποιητὴς* del. Cob. | 21. *ὥσπερ — μισάνθρωποι* suspectavi LRh. p. 43. | 26. *ἔσθ'* Kroschel] *εἶθ'* B, *εἶθ'* T (*εἶναι* Sch. cum Heind.).

εἶναι, ὦ Σώκρατες, τούτων διδάσκαλον φανῆναι, τῶν δ' ἀπείρων παντάπασι ῥᾴδιον, οὕτω δ' ἀρετῆς καὶ τῶν ἄλλων πάντων· ἀλλὰ κἂν εἰ ὀλίγον ἔστιν τις ὅστις διαφέρει ἡμῶν προβιβάσαι εἰς ἀρετήν, ἀγαπητόν. ὧν δὴ ἐγὼ οἶμαι εἷς εἶναι, B *καὶ διαφερόντως ἂν [τῶν ἄλλων ἀνθρώπων] ὀνῆσαί τινα πρὸς τὸ καλὸν κἀγαθὸν γενέσθαι, καὶ ἀξίως τοῦ μισθοῦ ὃν πράττομαι, καὶ ἔτι πλείονος, ὥστε καὶ αὐτῷ δοκεῖν τῷ μαθόντι. διὰ ταῦτα καὶ τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι· ἐπειδὰν γάρ τις παρ' ἐμοῦ μάθῃ, ἐὰν μὲν βούληται, [ἀποδέδωκεν] ὃ ἐγὼ πράττομαι ἀργύριον· ἐὰν δὲ μή, ἐλθὼν εἰς ἱερόν, ὀμόσας, ὅσον ἂν φῇ ἄξια εἶναι τὰ* C *μαθήματα, τοσοῦτον κατέθηκε.*

Τοιοῦτόν σοι, ἔφη, ὦ Σώκρατες, ἐγὼ καὶ μῦθον καὶ λόγον εἴρηκα, ὡς διδακτὸν ἀρετὴ καὶ Ἀθηναῖοι οὕτως ἡγοῦνται, καὶ ὅτι οὐδὲν θαυμαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους ὑεῖς γίγνεσθαι καὶ τῶν φαύλων ἀγαθούς, ἐπεὶ καὶ οἱ Πολυκλείτου ὑεῖς, Παραλίου καὶ Ξανθίππου τοῦδε ἡλικιῶται, οὐδὲν πρὸς τὸν πατέρα εἰσίν, καὶ ἄλλοι ἄλλων δημιουργῶν. τῶνδε δ' οὔπω ἄξιον τοῦτο κατηγορεῖν· ἔτι γὰρ ἐν αὐτοῖς εἰσιν ἐλπίδες· νέοι γάρ. D

XVII. *Πρωταγόρας μὲν τοσαῦτα καὶ τοιαῦτ' ἐπιδειξάμενος ἀπεπαύσατο τοῦ λόγου. καὶ ἐγὼ ἐπὶ μὲν πολὺν χρόνον κεκηλημένος ἔτι πρὸς αὐτὸν ἔβλεπον ὡς ἐροῦντ' ἔτι, ἐπιθυμῶν ἀκούειν· ἐπεὶ δὲ δὴ ᾐσθόμην ὅτι τῷ ὄντι πεπαυμένος εἴη, μόγις πως ἐμαυτὸν ὡσπερεὶ συναγείρας εἶπον, βλέψας πρὸς τὸν Ἱπποκράτη· Ὦ παῖ Ἀπολλοδώρου, ὡς χάριν σοι ἔχω ὅτι προὔτρεψάς μ' ὧδ' ἀφικέσθαι· πολλοῦ γὰρ ποιοῦμαι ἀκηκοέναι ἃ ἀκήκοα Πρωταγόρου. ἔγωγ' ἐν μὲν τῷ ἔμ-* E *προσθεν χρόνῳ ἡγούμην οὐκ εἶναι ἀνθρωπίνην ἐπιμέλειαν, ᾗ ἀγαθοὶ οἱ ἀγαθοὶ γίγνονται· νῦν δὲ πέπεισμαι. πλὴν σμικρόν τι ⟨ἔτι⟩ μοι ἐμποδών, ὃ δῆλον ὅτι Πρωταγόρας ῥᾳδίως ἐπεκδιδάξει, ἐπειδὴ καὶ τὰ πολλὰ ταῦτ' ἐξεδίδαξεν. καὶ γὰρ εἰ μέν τις περὶ ⟨τῶν⟩ αὐτῶν τούτων συγγένοιθ' ὁτῳοῦν τῶν δημηγόρων, τάχ' ἂν καὶ ⟨τούτου⟩ τοιούτους λόγους ἀκούσειεν* 329

---

5. seclusi emblema. | 17. *Παραλίου*. Cf. ad Apol. 34 A] *Παράλου*. | 23. *ἔτι* (alterum) Hertl.] *τι*. | 31. *ἔτι* add. Zek. | 33. *τῶν* add. Rich.

ἢ Περικλέους ἢ ἄλλου τινὸς τῶν ἱκανῶν εἰπεῖν· εἰ δ' ἐπανέροιτό τινά τι, ὥσπερ βιβλία, οὐδὲν ἔχουσιν οὔτ' ἀποκρίνασθαι οὔτ' αὐτοὶ ἐρέσθαι, ἀλλ' ἐάν τις καὶ σμικρὸν ἐπερωτήσῃ τι τῶν ῥηθέντων, ὥσπερ τὰ χαλκεῖα πληγέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει, ἐὰν μὴ ἐπιλάβηταί τις, καὶ οἱ ῥήτορες οὕτω B *σμίκρ' ἐρωτηθέντες δόλιχον κατατείνουσι τοῦ λόγου. Πρωταγόρας δ' ὅδ' ἱκανὸς μὲν μακροὺς λόγους καὶ καλοὺς εἰπεῖν, ὡς αὐτὸ δηλοῖ, ἱκανὸς δὲ καὶ ἐρωτηθεὶς ἀποκρίνασθαι κατὰ βραχὺ καὶ ἐρόμενος περιμεῖναί τε καὶ ἀποδέξασθαι τὴν ἀπόκρισιν, ἃ ὀλίγοις ἐστὶ παρεσκευασμένα. νῦν οὖν, ὦ Πρωταγόρα, σμικροῦ τινος ἐνδεής εἰμι πάντ' ἔχειν, εἴ μοι ἀποκρίναιο τόδε. τὴν ἀρετὴν φῂς διδακτὸν εἶναι, καὶ ἐγὼ εἴπερ ἄλλῳ τῳ ἀνθρώπων, πειθοίμην ἂν καὶ σοὶ [πείθομαι]·* C *ὃ δ' ἐθαύμασά σου λέγοντος, τοῦτό μοι ἐν τῇ ψυχῇ ἀποπλήρωσον. ἔλεγες γὰρ ὅτι ὁ Ζεὺς τὴν δικαιοσύνην καὶ τὴν αἰδῶ πέμψειεν τοῖς ἀνθρώποις καὶ αὖ πολλαχοῦ ἐν τοῖς λόγοις ἐλέγεθ' ὑπὸ σοῦ ἡ δικαιοσύνη καὶ σωφροσύνη καὶ ὁσιότης καὶ πάντα ταῦθ' ὡς ἕν τι εἴη συλλήβδην, ἀρετή· ταῦτ' οὖν αὐτὰ δίελθέ μοι ἀκριβῶς τῷ λόγῳ, πότερον ἓν μέν τί ἐστιν ἡ ἀρετή, μόρια δ' αὐτῆς ἐστιν ἡ δικαιοσύνη καὶ σωφροσύνη καὶ ὁσιότης, ἢ ταῦτ' ἐστὶν ἃ νυνδὴ ἐγὼ* D *ἔλεγον πάντ' ὀνόματα τοῦ αὐτοῦ ἑνὸς ὄντος· τοῦτ' ἐστὶν ὃ ἔτι ἐπιποθῶ.*

XVIII. *Ἀλλὰ ῥᾴδιον τοῦτό γ', ἔφη, ὦ Σώκρατες, ἀποκρίνασθαι, ὅτι ἑνὸς ὄντος τῆς ἀρετῆς μόριά ἐστιν ἃ ἐρωτᾷς. Πότερον, ἔφην, ὥσπερ προσώπου τὰ μόρια μόριά ἐστιν, στόμα τε καὶ ῥὶς καὶ ὀφθαλμοὶ καὶ ὦτα, ἢ ὥσπερ τὰ τοῦ χρυσοῦ μόρια οὐδὲν διαφέρει [τὰ ἕτερα τῶν ἑτέρων] ἀλλήλων καὶ τοῦ ὅλου, ἀλλ' ἢ μεγέθει καὶ σμικρότητι; Ἐκείνως μοι* E *φαίνεται, ὦ Σώκρατες, ὥσπερ τὰ τοῦ προσώπου μόρια ἔχει πρὸς τὸ ὅλον πρόσωπον. Πότερον οὖν, ἦν δ' ἐγώ, καὶ μεταλαμβάνουσιν οἱ ἄνθρωποι τούτων τῶν τῆς ἀρετῆς μορίων οἱ μὲν ἄλλο, οἱ δ' ἄλλο, ἢ ἀνάγκη, ἐάνπερ τις ἓν λάβῃ, ἅπαντ' ἔχειν; Οὐδαμῶς, ἔφη, ἐπεὶ πολλοὶ ἀνδρεῖοί εἰσιν, ἄδικοι δέ, καὶ δίκαιοι αὖ, σοφοὶ δ' οὔ. Ἔστιν γὰρ* 330 *οὖν καὶ ταῦτα μόρια τῆς ἀρετῆς, ἔφην ἐγώ, σοφία τε καὶ ἀνδρεία; Πάντων μάλιστα δήπου, ἔφη· καὶ μέγιστόν γ' ἡ*

σοφία τῶν μορίων. Ἕκαστον δ' αὐτῶν ἐστιν, ἦν δ' ἐγώ, ἄλλο, τὸ δ' ἄλλο; Ναί. Ἦ καὶ δύναμιν αὐτῶν ἕκαστον ἰδίαν ἔχει, ὥσπερ τὰ τοῦ προσώπου; οὐκ ἔστιν ὀφθαλμὸς οἷον τὰ ὦτα, οὐδ' ἡ δύναμις αὐτοῦ ἡ αὐτή· οὐδὲ τῶν ἄλλων οὐδέν ἐστιν οἷον θάτερον οὔτε κατὰ τὴν δύναμιν οὔτε κατὰ τἆλλα· ἆρ' οὖν οὕτω καὶ τὰ τῆς ἀρετῆς μόρια οὐκ ἔστιν θάτερον οἷον θάτερον, οὔτ' αὐτὸ οὔθ' ἡ δύναμις αὐτοῦ; ἢ B *δῆλα δὴ ὅτι οὕτως ἔχει, εἴπερ τῷ παραδείγματί γ' ἔοικεν; Ἀλλ' οὕτως, ἔφη. καὶ ἐγὼ εἶπον· Οὐδὲν ἄρ' ἐστὶν τῶν τῆς ἀρετῆς μορίων ἄλλ' οἷον ἐπιστήμη, οὐδ' οἷον δικαιοσύνη, οὐδ' οἷον ἀνδρεία, οὐδ' οἷον σωφροσύνη, οὐδ' οἷον ὁσιότης. Οὐκ ἔφη. Φέρε δή, ἔφην ἐγώ, κοινῇ σκεψώμεθα ποῖόν τι αὐτῶν ἐστὶν ἕκαστον. πρῶτον μὲν τὸ τοιόνδε· ἡ δικαιοσύνη* C *πρᾶγμά τί ἐστιν ἢ οὐδὲν [πρᾶγμα]; ἐμοὶ μὲν γὰρ δοκεῖ· τί δὲ σοί; Κἀμοί, ἔφη. Τί οὖν; εἴ τις ἔροιτ' ἐμέ τε καὶ σέ· ὦ Πρωταγόρα τε καὶ Σώκρατες; εἴπετον δή μοι, τοῦτο τὸ πρᾶγμα, ὃ ὠνομάσατ' ἄρτι, [ἡ δικαιοσύνη], αὐτὸ τοῦτο δίκαιόν ἐστιν ἢ ἄδικον; ἐγὼ μὲν ἂν αὐτῷ ἀποκριναίμην ὅτι δίκαιον· σὺ δὲ τίν' ἂν ψῆφον θεῖο; τὴν αὐτὴν ἐμοὶ ἢ ἄλλην; Τὴν αὐτήν, ἔφη. Ἔστιν ἄρα τοιοῦτον ἡ δικαιοσύνη οἷον δίκαιον εἶναι, φαίην ἂν ἔγωγ' ἀποκρινόμενος τῷ ἐρωτῶντι·* D *οὐκοῦν καὶ σύ; Ναί, ἔφη. Εἰ οὖν μετὰ τοῦθ' ἡμᾶς ἔροιτο· οὐκοῦν καὶ ὁσιότητά τινά φατ' εἶναι; φαῖμεν ἄν, ὡς ἐγᾦμαι. Ναί, ἦ δ' ὅς. Οὐκοῦν φατὲ καὶ τοῦτο πρᾶγμά τι εἶναι; φαῖμεν ἄν· ἢ οὔ; Καὶ τοῦτο συνέφη. Πότερον δὲ τοῦτ' αὐτὸ τὸ πρᾶγμά φατε τοιοῦτον πεφυκέναι οἷον ἀνόσιον εἶναι ἢ οἷον ὅσιον; ἀγανακτήσαιμ' ἂν ἔγωγ', ἔφην, τῷ ἐρωτήματι, καὶ εἴποιμ' ἄν· εὐφήμει, ὦ ἄνθρωπε· σχολῇ μεντἂν τι ἄλλο* E *ὅσιον εἴη, εἰ μὴ αὐτή γ' ἡ ὁσιότης ὅσιον ἔσται. τί δὲ σύ; οὐχ οὕτως ἂν ἀποκρίναιο; Πάνυ μὲν οὖν, ἔφη.*

XIX. *Εἰ οὖν μετὰ τοῦτ' εἴποι ἐρωτῶν ἡμᾶς· πῶς οὖν ὀλίγον πρότερον ἐλέγετε; ἆρ' οὐκ ὀρθῶς ὑμῶν κατήκουσα; ἐδόξατέ μοι φάναι ⟨τὰ⟩ τῆς ἀρετῆς μόρια εἶναι οὕτως ἔχοντα πρὸς ἄλληλα, ὡς οὐκ εἶναι θάτερον αὐτῶν οἷον θάτερον· εἴποιμ' ἂν ἔγωγ' ὅτι τὰ μὲν ἄλλ' ὀρθῶς ἤκουσας, ὅτι δὲ*

---

14. delevi *πρᾶγμα*. | 17. delevi *ἡ δικαιοσύνη*.

καὶ ἐμὲ οἴει εἰπεῖν τοῦτο, παρήκουσας· Πρωταγόρας γὰρ
331 ὅδε ταῦτ' ἀπεκρίνατο, ἐγὼ δ' ἠρώτων. εἰ οὖν εἴποι· ἀληθῆ
ὅδε λέγει, ὦ Πρωταγόρα; σὺ φῂς οὐκ εἶναι θἄτερον μόριον
οἷον θἄτερον τῶν τῆς ἀρετῆς; σὸς οὗτος ὁ λόγος ἐστίν; τί
ἂν αὐτῷ ἀποκρίναιο; Ἀνάγκη, ἔφη, ὦ Σώκρατες, ὁμολο-
γεῖν. Τί οὖν, ὦ Πρωταγόρα, ἀποκρινούμεθ' αὐτῷ, ταῦθ'
ὁμολογήσαντες, ἐὰν ἡμᾶς ἐπανέρηται· οὐκ ἄρ' ἐστὶν ὁσιότης
οἷον δίκαιον εἶναι πρᾶγμα, οὐδὲ δικαιοσύνη οἷον ὅσιον,
B ἀλλ' οἷον μὴ δίκαιον, ἀλλ' ἄδικον ἄρα, τὸ δ' ἀνόσιον; τί
αὐτῷ ἀποκρινούμεθα; ἐγὼ μὲν γὰρ αὐτὸς ὑπέρ γ' ἐμαυτοῦ
φαίην ἂν καὶ τὴν δικαιοσύνην ὅσιον εἶναι καὶ τὴν ὁσιότητα
δίκαιον· καὶ ὑπὲρ σοῦ δέ, εἴ μ' ἐῴης, ταὔτ' ἂν ταῦτ' ἀπο-
κρινοίμην, ὅτι ἤτοι ταὐτόν γ' ἐστὶν δικαιοσύνη ὁσιότητι ἢ
ὅ τι ὁμοιότατον[, καὶ μάλιστα πάντων ἥ τε δικαιοσύνη οἷον
ὁσιότης καὶ ἡ ὁσιότης οἷον δικαιοσύνη]. ἀλλ' ὅρα, εἰ δια-
κωλύεις ἀποκρίνεσθαι, ἢ καὶ σοὶ συνδοκεῖ οὕτως. Οὐ πάνυ
C μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, οὕτως ἁπλοῦν εἶναι, ὥστε
συγχωρῆσαι τήν τε δικαιοσύνην ὅσιον εἶναι καὶ τὴν ὁσιότητα
δίκαιον, ἀλλά τί μοι δοκεῖ ἐν αὐτῷ διάφορον εἶναι. ἀλλὰ τί
τοῦτο διαφέρει; ἔφη· εἰ γὰρ βούλει, ἔστω ἡμῖν καὶ δικαιο-
σύνη ὅσιον καὶ ὁσιότης δίκαιον. Μή μοι, ἦν δ' ἐγώ· οὐδὲν
γὰρ δέομαι τὸ εἰ βούλει τοῦτο καὶ εἴ σοι δοκεῖ ἐλέγχε-
σθαι, ἀλλ' ἐμέ τε καὶ σέ· τὸ δ' ἐμέ τε καὶ σέ τοῦτο λέγω,
οἰόμενος οὕτω τὸν λόγον βέλτιστ' ἂν ἐλέγχεσθαι, εἴ τις τὸ
D εἴ ἀφέλοι αὐτοῦ. Ἀλλὰ μέντοι, ἦ δ' ὅς, προσέοικέν τι
δικαιοσύνη ὁσιότητι· καὶ γὰρ ὁτιοῦν ὁτῳοῦν ἁμῇ γέ πῃ
προσέοικεν. τὸ γὰρ λευκὸν τῷ μέλανι ἔστιν ὅπῃ προσέοικεν,
καὶ τὸ σκληρὸν τῷ μαλακῷ, καὶ τἆλλ' ἃ δοκεῖ ἐναντιώτατ'
εἶναι ἀλλήλοις· καὶ ἃ τότ' ἔφαμεν ἄλλην δύναμιν ἔχειν καὶ
οὐκ εἶναι θἄτερον οἷον θἄτερον, τὰ τοῦ προσώπου μόρια,
E ἁμῇ γέ πῃ προσέοικεν καὶ ἔστιν θἄτερον οἷον θἄτερον· ὥστε
τούτῳ γε τῷ τρόπῳ κἂν ταῦτ' ἐλέγχοις, εἰ βούλοιο, ὡς
ἅπαντ' ἐστὶν ὅμοι' ἀλλήλοις. ἀλλ' οὐχὶ τὰ ὅμοιόν τι ἔχονθ'
ὅμοια δίκαιον καλεῖν, οὐδὲ τἀνόμοιόν τι ἔχοντ' ἀνόμοια,

13. *δικαιοσύνη* dedi pro *δικαιότης*, forma vix Platonica, quamvis redeat Gorg. 508 A. | 14 sq. *καὶ — δικαιοσύνη* suspectat Kroschel. | 23 sq. *τοῦτο* et *οἰόμενος οὕτω* et *ἂν ἐλέγχεσθαι* del. Hartm.

κῆν πάνυ σμικρὸν ἔχῃ [τὸ ὁμοῖον]. καὶ ἐγὼ θαυμάσας
εἶπον πρὸς αὐτόν, Ἦ γὰρ οὕτω σοι τὸ δίκαιον καὶ τὸ ὅσιον
πρὸς ἄλληλ' ἔχει, ὥσθ' ὁμοῖόν τι σμικρὸν ἔχειν ἀλλήλοις;
Οὐ πάνυ, ἔφη, οὕτως, οὐ μέντοι οὐδ' αὖ ὡς σύ μοι δοκεῖς 332
οἴεσθαι. Ἀλλὰ μήν, ἔφην ἐγώ, ἐπειδὴ δυσχερῶς δοκεῖς μοι
ἔχειν πρὸς τοῦτο, τοῦτο μὲν ἐάσωμεν, τόδε δ' ἄλλ' ὧν
ἔλεγες ἐπισκεψώμεθα.

XX. Ἀφροσύνην τι καλεῖς; Ἔφη. Τούτῳ τῷ πράγματι
οὐ πᾶν τοὐναντίον ἐστὶν ἡ σοφία; Ἔμοιγε δοκεῖ, ἔφη. Πό-
τερον δ' ὅταν πράττωσιν ἄνθρωποι ὀρθῶς τε καὶ ὠφελίμως,
τότε σωφρονεῖν σοι δοκοῦσιν οὕτω πράττοντες, ἢ [εἰ] τοὐ-
ναντίον [ἔπραττον]; Σωφρονεῖν, ἔφη. Οὔκουν σωφροσύνῃ
σωφρονοῦσιν; Ἀνάγκη. Οὔκουν οἱ μὴ ὀρθῶς πράττοντες B
ἀφρόνως πράττουσιν καὶ οὐ σωφρονοῦσιν οὕτω πράττοντες;
Συνδοκεῖ μοι, ἔφη. Τοὐναντίον ἄρ' ἐστὶν τὸ ἀφρόνως πράτ-
τειν τῷ σωφρόνως; Ἔφη. Οὔκουν τὰ μὲν ἀφρόνως πραττό-
μεν' ἀφροσύνῃ πράττεται, τὰ δὲ σωφρόνως σωφροσύνῃ;
Ὡμολόγει. Οὔκουν εἴ τι ἰσχύϊ πράττεται, ἰσχυρῶς πράττεται,
καὶ εἴ τι ἀσθενείᾳ, ἀσθενῶς; Ἐδόκει. Καὶ εἴ τι μετὰ τάχους,
ταχέως, καὶ εἴ τι μετὰ βραδυτῆτος, βραδέως; Ἔφη. Καὶ εἴ C
τι δὴ ὡσαύτως πράττεται, ὑπὸ τοῦ αὐτοῦ πράττεται, καὶ εἴ
τι ἐναντίως, ὑπὸ τοὐναντίου; Συνέφη. Φέρε δή, ἦν δ' ἐγώ,
ἔστιν τι καλόν; Συνεχώρει. Τούτῳ ἔστιν τι ἐναντίον πλὴν τὸ
αἰσχρόν; Οὐκ ἔστιν. Τί δέ; ἔστιν τι ἀγαθόν; Ἔστιν. Τούτῳ
ἔστιν τι ἐναντίον πλὴν τὸ κακόν; Οὐκ ἔστιν. Τί δέ; ἔστιν τι
ὀξὺ ἐν φωνῇ; Ἔφη. Τούτῳ μὴ ἔστιν τι ἐναντίον ἄλλο πλὴν
τὸ βαρύ; Οὐκ ἔφη. Οὔκουν, ἦν δ' ἐγώ, ἑνὶ ἑκάστῳ τῶν
ἐναντίων ἓν μόνον ἐστὶν ἐναντίον καὶ οὐ πολλά; Συνωμο- D
λόγει. Ἴθι δή, ἦν δ' ἐγώ, ἀναλογισώμεθα τὰ ὡμολογημένα
ἡμῖν. ὡμολογήκαμεν ἓν ἑνὶ μόνον ἐναντίον εἶναι, πλείω δὲ
μή; Ὡμολογήκαμεν. Τὸ δ' ἐναντίως πραττόμενον ὑπ' ἐναν-
τίων πράττεσθαι; Ἔφη. Ὡμολογήκαμεν δ' ἐναντίως πράτ-
τεσθαι ὃ ἂν ἀφρόνως πράττηται τῷ σωφρόνως πραττομένῳ;
Ἔφη. Τὸ δὲ σωφρόνως πραττόμενον ὑπὸ σωφροσύνης
πράττεσθαι, τὸ δ' ἀφρόνως ὑπ' ἀφροσύνης; Συνεχώρει. E

---

1. κῆν dedi pro κἄν.

Οὔκουν εἴπερ ἐναντίως πράττεται, ὑπ' ἐναντίου πράττοιτ' ἄν; Ναί. Πράττεται δὲ τὸ μὲν ὑπὸ σωφροσύνης, τὸ δ' ὑπ' ἀφροσύνης; Ναί. Ἐναντίως; Πάνυ γε. Οὔκουν ὑπ' ἐναντίων ὄντων; Ναί. Ἐναντίον ἄρ' ἐστὶν ἀφροσύνη σωφροσύνῃ; Φαίνεται. Μέμνησαι οὖν ὅτι ἐν τοῖς ἔμπροσθεν ὡμολόγηται ἡμῖν ἀφροσύνη σοφίᾳ ἐναντίον εἶναι; Συνωμολόγει. Ἓν δὲ ἑνὶ μόνον ἐναντίον εἶναι; Φημί. Πότερον οὖν, ὦ Πρωταγόρα,
333 *λύσωμεν τῶν λόγων; τὸ ἓν ἑνὶ μόνον ἐναντίον εἶναι, ἢ ἐκεῖνον ἐν ᾧ ἐλέγεθ' ἕτερον εἶναι σωφροσύνης σοφία, μόριον δ' ἑκάτερον ἀρετῆς, καὶ πρὸς τῷ ἕτερον εἶναι καὶ ἀνόμοια καὶ αὐτὰ καὶ αἱ δυνάμεις αὐτῶν, ὥσπερ τὰ τοῦ προσώπου μόρια; πότερον οὖν δὴ λύσωμεν; οὗτοι γὰρ οἱ λόγοι ἀμφότεροι οὐ πάνυ μουσικῶς λέγονται· οὐ γὰρ συνᾴδουσιν οὐδὲ συναρμόττουσιν ἀλλήλοις. πῶς γὰρ ἂν συνᾴδοιεν, εἴπερ γ'*
B *ἀνάγκη ἑνὶ μὲν ἓν μόνον ἐναντίον εἶναι, πλείω δὲ μή, τῇ δ' ἀφροσύνῃ ἑνὶ ὄντι σοφία ⟨τ'⟩ ἐναντία καὶ σωφροσύνη αὖ φαίνεται· ἦ γάρ, ὦ Πρωταγόρα, ἔφην ἐγώ, ἢ ἄλλως πως; Ὡμολόγησεν καὶ μάλ' ἀκόντως. Οὔκουν ἓν ἂν εἴη ἡ σωφροσύνη καὶ ἡ σοφία; τὸ δὲ πρότερον αὖ ἐφάνη ἡμῖν ἡ δικαιοσύνη καὶ ἡ ὁσιότης σχεδόν τι ταὐτὸν ὄν. ἴθι δή, ἦν δ' ἐγώ, ὦ Πρωταγόρα, μὴ ἀποκάμωμεν, ἀλλὰ καὶ τὰ λοιπὰ διασκεψώμεθα. ἆρά τίς σοι δοκεῖ ἀδικῶν ἄνθρωπος*
C *σωφρονεῖν, ὅτι ἀδικεῖ; Αἰσχυνοίμην ἂν ἔγωγ', ἔφη, ὦ Σώκρατες, τοῦθ' ὁμολογεῖν, ἐπεὶ ⟨οἵ⟩ πολλοί γέ φασιν τῶν ἀνθρώπων. Πότερον οὖν πρὸς ἐκείνους τὸν λόγον ποιήσωμαι, ἔφην, ἢ πρὸς σέ; Εἰ βούλει, ἔφη, πρὸς τοῦτον [πρῶτον] τὸν λόγον διαλέχθητι τὸν τῶν πολλῶν. Ἀλλ' οὐδέν μοι διαφέρει, ἐὰν μόνον σύ γ' ἀποκρίνῃ, εἴτ' οὖν δοκεῖ σοι ταῦτα, εἴτε μή. τὸν γὰρ λόγον ἔγωγε μάλιστ' ἐξετάζω, συμβαίνει μέντοι ἴσως καὶ ἐμὲ τὸν ἐρωτῶντα καὶ ⟨σὲ⟩ τὸν ἀποκρινόμενον ἐξετάζεσθαι.*

D *Τὸ μὲν οὖν πρῶτον ἐκαλλωπίζεθ' ἡμῖν ὁ Πρωταγόρας· τὸν γὰρ λόγον ᾐτιᾶτο δυσχερῆ εἶναι· ἔπειτα μέντοι συνεχώρησεν ἀποκρινεῖσθαι.*

---

16. *τ'* add. Richards. | 24. *οἵ* add. Heind. | 25. *ποιήσωμαι* idem] *-ομαι.* | 26. expunxi *πρῶτον.* | 30. *σὲ* addidi. | 34. *ἀποκρινεῖσθαι* Hir.] *-νεσθαι.*

XXI. *Ἴθι δή, ἔφην ἐγώ, ἐξ ἀρχῆς μοι ἀπόκριναι. δοκοῦσί
τινες σοι σωφρονεῖν ἀδικοῦντες; Ἔστω, ἔφη. Τὸ δὲ σωφρο-
νεῖν λέγεις εὖ φρονεῖν; Ἔφη. Τὸ δ' εὖ φρονεῖν εὖ βουλεύεσθαι
[ὅτι ἀδικοῦσιν]; Ἔστω, ἔφη. Πότερον, ἦν δ' ἐγώ, εἰ εὖ
πράττουσιν ἀδικοῦντες ἢ εἰ κακῶς; Εἰ εὖ. Λέγεις οὖν ἀγάθ'
ἄττ' εἶναι; Λέγω. Ἆρ' οὖν, ἦν δ' ἐγώ, ταῦτ' ἐστὶν ἀγαθά,
ἅ ἐστιν ὠφέλιμα τοῖς ἀνθρώποις; Καὶ ναὶ μὰ Δί', ἔφη,* E
*κἢν μὴ τοῖς ἀνθρώποις ὠφέλιμ' ᾖ, ἔγωγε καλῶ ἀγαθά.
καὶ μοι ἐδόκει ὁ Πρωταγόρας ἤδη τετραχύνθαι τε καὶ
ἀγωνιᾶν καὶ παρατετάσθαι πρὸς τὸ ἀποκρίνεσθαι· ἐπειδὴ
οὖν ἑώρων αὐτὸν οὕτως ἔχοντα, εὐλαβούμενος ἠρέμ' ἠρόμην.
Πότερον, ἦν δ' ἐγώ, λέγεις, ὦ Πρωταγόρα, ἃ μηδενὶ* 334
*ἀνθρώπων ὠφέλιμ' ἐστίν, ἢ ἃ μηδὲ τὸ παράπαν ὠφέλιμα;
καὶ τὰ τοιαῦτα σὺ ἀγαθὰ καλεῖς; Οὐδαμῶς, ἔφη· ἀλλ' ἔγωγε
πόλλ' οἶδ' ἃ ἀνθρώποις ⟨τὰ⟩ μὲν ἀνωφελῆ ἐστι, καὶ σιτία
καὶ ποτὰ καὶ φάρμακα καὶ ἄλλα μυρία, τὰ δέ γ' ὠφέλιμα·
τὰ δ' ἀνθρώποις μὲν οὐδέτερα, ἵπποις δέ· τὰ δὲ βουσὶν
μόνον, τὰ δὲ κυσίν· τὰ δέ γε τούτων μὲν οὐδέσι, δένδροις
δέ· τὰ δὲ τοῦ δένδρου ταῖς μὲν ῥίζαις ἀγαθά, ταῖς δὲ
βλάσταις πονηρά, οἷον καὶ ἡ κόπρος, πάντων τῶν φυτῶν* B
*ταῖς μὲν ῥίζαις ἀγαθὸν παραβαλλομένη, εἰ δ' ἐθέλοις ἐπὶ
τοὺς πτόρθους καὶ τοὺς νέους κλῶνας ἐπιβάλλειν, πάντ'
ἀπόλλυσιν· ἐπεὶ καὶ τοὔλαιον τοῖς μὲν φυτοῖς ἅπασίν ἐστιν
πάγκακον καὶ ταῖς θριξὶν πολεμιώτατον ταῖς τῶν ἄλλων
ζῴων πλὴν ταῖς τἀνθρώπου, ταῖς δὲ τἀνθρώπου ἀρωγὸν
καὶ τῷ ἄλλῳ σώματι. οὕτω δὲ ποικίλον τί ἐστιν τἀγαθὸν
καὶ παντοδαπόν, ὥστε κἀνταῦθα τοῖς μὲν ἔξωθεν τοῦ σώ-
ματος ἀγαθόν ἐστιν τῷ ἀνθρώπῳ, τοῖς δ' ἐντὸς ταὐτὸν* C
*τοῦτο κάκιστον· καὶ διὰ τοῦθ' οἱ ἰατροὶ πάντες ἀπαγορεύουσιν
τοῖς ἀσθενοῦσιν μὴ χρῆσθαι ἐλαίῳ, ἀλλ' ἢ ὅ τι σμικροτάτῳ
ἐν τούτοις οἷς μέλλει ἔδεσθαι, ὅσον μόνον τὴν δυσχέρειαν
κατασβέσαι τὴν ἐπὶ ταῖς αἰσθήσεσι [ταῖς διὰ τῶν ῥινῶν]
γιγνομένην ἐν τοῖς σιτίοις τε καὶ ὄψοις.*

---

8. *κἢν* dedi pro *κἂν*. | 15. *τὰ* vel *τοῖς* add. Rich. | 21. *ἐθέλεις* Heind. | 32. olim delevi *ταῖς* — *ῥινῶν* et nuperrime Zek., contra Torstrik *τὴν* — *αἰσθήσεσι*, Kroschel vero *χυμῶν* coni. pro *ῥινῶν*.

XXII. *Εἰπόντος οὖν ταῦτ᾽ αὐτοῦ οἱ παρόντες ἀνεθορύβησαν ὡς εὖ λέγοι· καὶ ἐγὼ εἶπον· Ὦ Πρωταγόρα, ἐγὼ*
D *τυγχάνω ἐπιλήσμων τις ὢν ἄνθρωπος, καὶ ἐάν τίς μοι μακρὰ λέγῃ, ἐπιλανθάνομαι περὶ οὗ ἂν ᾖ ὁ λόγος. ὥσπερ οὖν, εἰ ἐτύγχανον ὑπόκωφος ὤν, ᾤου ἂν χρῆναι, εἴπερ ἔμελλές μοι διαλέξεσθαι, μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους, οὕτω καὶ νῦν, ἐπειδὴ ἐπιλήσμονι ἐνέτυχες, σύντεμνέ μοι τὰς ἀποκρίσεις καὶ βραχυτέρας ποίει, εἰ μέλλω σοι ἕπεσθαι. Πῶς οὖν κελεύεις με βραχέα ἀποκρίνεσθαι; ἢ βραχύτερά σοι, ἔφη, ἀποκρίνωμαι ἢ δεῖ; Μηδαμῶς, ἦν δ᾽*
E *ἐγώ. Ἀλλ᾽ ὅσα δεῖ; ἔφη. Ναί, ἦν δ᾽ ἐγώ. Πότερα οὖν ὅσ᾽ ἐμοὶ δοκεῖ δεῖν ἀποκρίνεσθαι, τοσαῦτά σοι ἀποκρίνωμαι, ἢ ὅσα σοί; Ἀκήκοα γοῦν, ἦν δ᾽ ἐγώ, ὅτι σὺ οἷός τ᾽ εἶ καὶ αὐτὸς καὶ ἄλλον διδάξαι περὶ τῶν αὐτῶν καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως, ὥστε τὸν λόγον μηδέποτ᾽ ἐπιλιπεῖν, καὶ αὖ βραχέα οὕτως, ὥστε μηδέν᾽ ἂν σοῦ ἐν βραχυτέροις εἰπεῖν·*
335 *εἰ οὖν μέλλεις ἐμοὶ διαλέξεσθαι, τῷ ἑτέρῳ χρῶ τρόπῳ πρός με, τῇ βραχυλογίᾳ. Ὦ Σώκρατες, ἔφη, ἐγὼ πολλοῖς ἤδη εἰς ἀγῶνα λόγων ἀφικόμην ἀνθρώποις, καὶ εἰ τοῦτ᾽ ἐποίουν ὃ σὺ κελεύεις, ὡς ὁ ἀντιλέγων ἐκέλευέν με διαλέγεσθαι, οὕτω διελεγόμην, οὐδενὸς ἂν βελτίων ἐφαινόμην οὐδ᾽ ἂν ἐγένετο Πρωταγόρου ὄνομ᾽ ἐν τοῖς Ἕλλησιν. καὶ ἐγώ — ἔγνων γὰρ ὅτι οὐκ ἤρεσεν αὐτὸς αὑτῷ ταῖς ἀποκρίσεσιν*
B *ταῖς ἔμπροσθεν, καὶ ὅτι οὐκ ἐθελήσοι ἑκὼν εἶναι ἀποκρινόμενος διαλέγεσθαι — ἡγησάμενος οὐκέτι ἐμὸν ἔργον εἶναι παρεῖναι ἐν ταῖς συνουσίαις, Ἀλλά τοι, ἔφην, ὦ Πρωταγόρα, οὐδ᾽ ἐγὼ λιπαρῶς ἔχω παρὰ τὰ σοὶ δοκοῦντα τὴν συνουσίαν ἡμῖν γίγνεσθαι, ἀλλ᾽ ἐπειδὰν σὺ βούλῃ διαλέγεσθαι ὡς ἐγὼ δύναμαι ἕπεσθαι, τότε σοι διαλέξομαι. σὺ μὲν γάρ, ὡς λέγεται περὶ σοῦ, φῂς δὲ καὶ αὐτός, καὶ ἐν μακρολογίᾳ καὶ ἐν βραχυλογίᾳ οἷός τ᾽ εἶ συνουσίας ποιεῖσθαι· σοφὸς*
C *γὰρ εἶ· ἐγὼ δὲ τὰ μακρὰ ταῦτ᾽ ἀδύνατος, ἐπεὶ ἐβουλόμην ἂν οἷός τ᾽ εἶναι. ἀλλὰ σὲ ἐχρῆν ἡμῖν συγχωρεῖν τὸν ἀμφότερα δυνάμενον, ἵνα συνουσία ἐγίγνετο· νῦν δ᾽ ἐπειδὴ οὐκ ἐθέλεις*

---

16. *μηδέν᾽ ἂν* v.H.] *μηδέν᾽*. | 17. *τρόπῳ χρῶ* T. | 22. *ἐλέγετο* Kroschel] *ἐγένετο*. Nisi forte legendum ⟨*μέγα*⟩ *ἐγένετο*?

καὶ ἐμοί τις ἀσχολία ἐστὶν καὶ οὐκ ἂν οἷός τ' εἴην σοι παραμεῖναι ἀποτείνοντι μακροὺς λόγους — ἐλθεῖν γάρ ποί με δεῖ — εἶμι· εἰ καὶ ταῦτ' ἂν ἴσως οὐκ ἀηδῶς σου ἤκουον.

Καὶ ἅμα ταῦτ' εἰπὼν ἀνιστάμην ὡς ἀπιών· καὶ μου ἀνισταμένου ἐπιλαμβάνεται ὁ Καλλίας τῆς χειρὸς τῇ δεξιᾷ, D *τῇ δ' ἀριστερᾷ ἀντελάβετο τοῦ τρίβωνος τουτουί, καὶ εἶπεν· Οὐκ ἀφήσομέν σε, ὦ Σώκρατες· ἐὰν γὰρ σὺ ἐξέλθῃς, οὐχ ὁμοίως ἡμῖν ἔσονται οἱ διάλογοι. δέομαι οὖν σου παραμεῖναι ἡμῖν· ὡς ἐγὼ οὐδ' ἂν ἑνὸς ἥδιον ἀκούσαιμ' ἢ σοῦ τε καὶ Πρωταγόρου διαλεγομένων· ἀλλὰ χάρισαι ἡμῖν πᾶσιν. καὶ ἐγὼ εἶπον — ἤδη δ' ἀνειστήκη ὡς ἐξιών — Ὦ παῖ Ἱππονίκου, ἀεὶ μὲν ἔγωγέ σου τὴν φιλοσοφίαν ἄγαμαι, ἀτὰρ καὶ νῦν ἐπαινῶ καὶ φιλῶ, ὥστε βουλοίμην ἂν χαρίζεσθαί σοι, εἴ μου δυνατὰ δέοιο· νῦν δ' ἐστίν, ὥσπερ ἂν εἰ δέοιό μου* E *Κρίσωνι τῷ Ἱμεραίῳ [δρομεῖ ἀκμάζοντι] ἕπεσθαι, ἢ τῶν δολιχοδρόμων τῳ ἢ τῶν ἡμεροδρόμων διαθεῖν [τε καὶ ἕπεσθαι]· εἴποιμ' ⟨οὖν⟩ ἄν σοι ὅτι πολὺ σοῦ μᾶλλον ἐγὼ* 336 *ἐμαυτοῦ δέομαι θέουσιν τούτοις ἀκολουθεῖν, ἀλλ' οὐ γὰρ δύναμαι, ἀλλ' εἴ τι δέει θεάσασθαι ἐν ταὐτῷ ἐμέ τε καὶ Κρίσωνα θέοντας, τουτουὶ δέου συγκαθεῖναι· ἐγὼ μὲν γὰρ οὐ δύναμαι ταχὺ θεῖν, οὗτος δὲ δύναται ⟨καὶ⟩ βραδέως. εἰ οὖν ἐπιθυμεῖς ἐμοῦ καὶ Πρωταγόρου ἀκούειν, τουτουὶ δέου, ὥσπερ τὸ πρῶτόν μοι ἀπεκρίνατο διὰ βραχέων τε καὶ αὐτὰ τὰ ἐρωτώμενα, οὕτω καὶ νῦν ἀποκρίνεσθαι· εἰ δὲ μή, τίς ὁ τρόπος ἔσται τῶν διαλόγων; χωρὶς γὰρ ἔγωγ'* B *ᾤμην εἶναι τὸ συνεῖναί τ' ἀλλήλοις διαλεγομένους καὶ τὸ δημηγορεῖν. Ἀλλ' ὁρᾷς, ἔφη, ὦ Σώκρατες· δίκαια δοκεῖ λέγειν Πρωταγόρας ἀξιῶν αὑτῷ τ' ἐξεῖναι διαλέγεσθαι ὅπως βούλεται καὶ σοὶ ὅπως ἂν αὖ σὺ βούλῃ.*

XXIII. *Ὑπολαβὼν οὖν ὁ Ἀλκιβιάδης, Οὐ καλῶς λέγεις, ἔφη, ὦ Καλλία· Σωκράτης μὲν γὰρ ὅδ' ὁμολογεῖ μὴ μετεῖναι οἱ μακρολογίας καὶ παραχωρεῖ Πρωταγόρᾳ, τοῦ δὲ διαλέγεσθαι οἷός τ' εἶναι καὶ ἐπίστασθαι λόγον τε δοῦναι καὶ* C

---

14. *ἐστίν* del. Hartm. | 16 sq. *τε — ἕπεσθαι* del. Cob. | addito semicolo, *οὖν* inserit Zek. | 20. *θέοντας*] fort. *διαθέοντας*. | 20 et 22. *τουτουὶ* vH.] *τοῦτον*. | 23. ⟨*καὶ*⟩ *βραδέως* Hartm. et Zek.

*δέξασθαι θαυμάζοιμ' ἂν εἴ τῳ ἀνθρώπων παραχωρεῖ. εἰ
μὲν οὖν καὶ Πρωταγόρας ὁμολογεῖ φαυλότερος εἶναι Σω-
κράτους διαλεχθῆναι, ἐξαρκεῖ Σωκράτει· εἰ δ' ἀντιποιεῖται,
διαλεγέσθω ἐρωτῶν τε καὶ ἀποκρινόμενος, μὴ ἐφ' ἑκάστῃ
ἐρωτήσει μακρὸν λόγον ἀποτείνων, ἐκκρούων τοὺς λόγους
καὶ οὐκ ἐθέλων διδόναι λόγον, ἀλλ' ἀπομηκύνων ἕως ἂν*
D *ἐπιλάθωνται περὶ ὅτου τὸ ἐρώτημ' ἦν οἱ πολλοὶ τῶν ἀκου-
όντων· ἐπεὶ Σωκράτη γ' ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι,
οὐχ ὅτι παίζει καὶ φησιν ἐπιλήσμων εἶναι. ἐμοὶ μὲν οὖν
δοκεῖ ἐπιεικέστερα Σωκράτης λέγειν· χρὴ γὰρ ἕκαστον τὴν
ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι.*

*Μετὰ δὲ τὸν Ἀλκιβιάδην, ὡς ἐγᾦμαι, Κριτίας ἦν ὁ εἰπών·
Ὦ Πρόδικε καὶ Ἱππία, Καλλίας μὲν δοκεῖ μοι μάλα πρὸς
Πρωταγόρου εἶναι, Ἀλκιβιάδης δ' ἀεὶ φιλόνικός ἐστι πρὸς*
E *ὃ ἂν ὁρμήσῃ· ἡμᾶς δ' οὐδὲν δεῖ συμφιλονικεῖν οὔτε Σω-
κράτει οὔτε Πρωταγόρᾳ, ἀλλὰ κοινῇ ἀμφοτέρων δεῖσθαι
μὴ μεταξὺ διαλῦσαι τὴν ξυνουσίαν.*

337 *Εἰπόντος δ' αὐτοῦ ταῦθ' ὁ Πρόδικος, Καλῶς μοι, ἔφη,
δοκεῖς λέγειν, ὦ Κριτία· χρὴ γὰρ τοὺς ἐν τοιοῖσδε λόγοις
παραγιγνομένους κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομέ-
νοιν ἀκροατάς, ἴσους δὲ μή. ἔστιν γὰρ οὐ ταὐτόν· κοινῇ
μὲν γὰρ ἀκοῦσαι δεῖ ἀμφοτέρων, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ,
ἀλλὰ τῷ μὲν σοφωτέρῳ πλέον, τῷ δ' ἀμαθεστέρῳ ἔλαττον.
ἐγὼ μὲν καὶ αὐτός, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, ἀξιῶ
ὑμᾶς συγχωρεῖν καὶ ἀλλήλοις περὶ τῶν λόγων ἀμφισβητεῖν*
B *μέν, ἐρίζειν δὲ μή· ἀμφισβητοῦσι μὲν γὰρ καὶ δι' εὔνοιαν
οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσιν δ' οἱ διάφοροί τε καὶ ἐχθροὶ
ἀλλήλοις. καὶ οὕτως ἂν καλλίστη ἡμῖν ἡ συνουσία γίγνοιτο·
ὑμεῖς τε γὰρ οἱ λέγοντες μάλιστ' ἂν οὕτως ἐν ἡμῖν τοῖς
ἀκούουσιν εὐδοκιμοῖτε καὶ οὐκ ἐπαινοῖσθε· εὐδοκιμεῖν μὲν
γὰρ ἔστιν παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης,*

---

9. *οὐχ ὅτι*, *daargelaten dat.* Cf. Gorg. 250 E, Theaet. 157 B, Legg. 219 E, al. | 17. forma *ξύν* in Protagora etiam rarior quam in Phaedone. Vid. ad. Phaed. p. 132. | 19 sqq. suaviter Plato ridet Prodici studia de synonymis, de quibus studiis aequius iudicavit Thucydides. Cf. infra p. 180, 7 sqq., p. 201, 15 sqq., p. 202, 4 sqq.

ἐπαινεῖσθαι δ' ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων· ἡμεῖς τ' αὖ οἱ ἀκούοντες μάλιστ' ἂν οὕτως εὐφραινοίμεθα, C *οὐχ ἡδοίμεθα· εὐφραίνεσθαι μὲν γάρ ἐστιν μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντ' αὐτῇ τῇ διανοίᾳ, ἥδεσθαι δ' ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντ' αὐτῷ τῷ σώματι. Ταῦτ' οὖν εἰπόντος τοῦ Προδίκου πολλοὶ πάνυ τῶν παρόντων ἀπεδέξαντο.*

XXIV. *Μετὰ δὲ τὸν Πρόδικον Ἱππίας ὁ σοφὸς εἶπεν, Ὦ ἄνδρες, ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ἡμᾶς συγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι φύσει, οὐ νόμῳ·* D *τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ φύσει συγγενές ἐστιν, ὁ δὲ νόμος, τύραννος ὢν τῶν ἀνθρώπων, πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ἡμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δ' ὄντας τῶν Ἑλλήνων, καὶ κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας τῆς θ' Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὐτῆς τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε, μηδὲν τούτου τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι, ἀλλ' ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ συμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, συμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν συμβιβαζόντων εἰς τὸ μέσον,* 338 *καὶ μήτε σὲ τἀκριβὲς τοῦτ' εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ βραχὺ λίαν, εἰ μὴ ἡδὺ Πρωταγόρᾳ, ἀλλ' ἐφεῖναι [καὶ χαλάσαι] τὰς ἡνίας τοῖς λόγοις, ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέστεροι ἡμῖν φαίνωνται, μήτ' αὖ Πρωταγόραν πάντα κάλων ἐκτείναντα, οὐρίᾳ ἐφέντα, φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων, ἀποκρύψαντα γῆν, ἀλλὰ μέσον τι ἀμφοτέρους τεμεῖν. ὡς οὖν ποιήσατε καὶ πιθέσθε μοι ῥαβδοῦχον καὶ ἐπιστάτην καὶ πρύτανιν ἑλέσθε, ὃς ὑμῖν φυλάξει τὸ μέτριον* B *μῆκος τῶν λόγων ἑκατέρου.*

XXV. *Ταῦτ' ἤρεσε τοῖς παροῦσι, καὶ πάντες ἐπῄνεσαν, καὶ ἐμέ γ' ὁ Καλλίας οὐκ ἔφη ἀφήσειν καὶ ἑλέσθαι ἐδέοντ' ἐπιστάτην. εἶπον οὖν ἐγὼ ὅτι αἰσχρὸν εἴη βραβευτὴν ἑλέσθαι*

---

12. *τύραννος.* Cf. Pindari fr. Gorg. 484 B et Herod. III 38. | 16. *αὐτῆς]* *αὖ* Bekk. An *αὖ τῇσδε*? | 23. *καὶ χαλάσαι* del. Cob. | 28 sq. codd. *πείθεσθε* et *ἕλεσθαι.* Corr. Nab. | 32. *γε* pro *τε* Heind.

τῶν λόγων. εἴτε γὰρ χείρων ἔσται ἡμῶν ὁ αἱρεθείς, οὐκ
ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστατεῖν, εἴθ'
ὅμοιος, οὐδ' οὕτως ὀρθῶς· ὁ γὰρ ὅμοιος ἡμῖν ὅμοια καὶ
ποιήσει, ὥστ' ἐκ περιττοῦ ᾑρήσεται. ἀλλὰ δὴ βελτίω ἡμῶν
C *αἱρήσεσθε. τῇ μὲν ἀληθείᾳ, ὡς ἐγᾦμαι, ἀδύνατον ὑμῖν ἔσται*
Πρωταγόρου τοῦδε σοφώτερόν τιν' ἑλέσθαι· εἰ δ' αἱρήσεσθε
μὲν μηδὲν βελτίω, φήσετε δέ, αἰσχρὸν καὶ τοῦτο τῷδε γίγνε-
ται, ὥσπερ φαύλῳ ἀνθρώπῳ ἐπιστάτην αἱρεῖσθαι, ἐπεὶ τό γ'
ἐμὸν οὐδέν †μοι διαφέρει. ἀλλ' οὑτωσὶ ἐθέλω ποιῆσαι, ἵν' ὃ
προθυμεῖσθε συνουσία τε καὶ διάλογοι ἡμῖν γίγνωνται· εἰ μὴ
βούλεται Πρωταγόρας ἀποκρίνεσθαι, οὗτος μὲν ἐρωτάτω,
D *ἐγὼ δ' ἀποκρινοῦμαι, καὶ ἅμα πειράσομαι αὐτῷ δεῖξαι,*
ὡς ἐγώ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι·
ἐπειδὰν δ' ἐγὼ ἀποκρίνωμαι ὁπόσ' ἂν οὗτος βούληται ἐρωτᾶν,
πάλιν οὗτος ἐμοὶ λόγον ὑποσχέτω ὁμοίως. ἐὰν οὖν μὴ δοκῇ
πρόθυμος εἶναι πρὸς αὐτὸ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι,
καὶ ἐγὼ καὶ ὑμεῖς κοινῇ δεησόμεθ' αὐτοῦ ἅπερ ὑμεῖς ἐμοῦ,
μὴ διαφθείρειν τὴν συνουσίαν· καὶ οὐδὲν δεῖ τούτου ἕνεχ'
E *ἕν' ἐπιστάτην γενέσθαι, ἀλλὰ πάντες κοινῇ ἐπιστατήσετε.*
ἐδόκει πᾶσιν οὕτω ποιητέον εἶναι· καὶ ὁ Πρωταγόρας πάνυ
μὲν οὐκ ἤθελεν, ὅμως δ' ἠναγκάσθη ὁμολογῆσαι ἐρωτήσειν,
καὶ ἐπειδὰν ἱκανῶς ἐρωτήσῃ, πάλιν δώσειν λόγον κατὰ
σμικρὸν ἀποκρινόμενος. ἤρξατ' οὖν ἐρωτᾶν οὑτωσί πως.

XXVI. *Ἡγοῦμαι, ἔφη, ὦ Σώκρατες, ἐγὼ ἀνδρὶ παι-*
339 *δείας μέγιστον μέρος εἶναι περὶ ἐπῶν δεινὸν εἶναι· ἔστιν δὲ*
τοῦτο τὰ ὑπὸ τῶν ποιητῶν λεγόμεν' οἷόν τ' εἶναι συνιέναι
ἅ τ' ὀρθῶς πεποίηται καὶ ἃ μή, καὶ ἐπίστασθαι διελεῖν τε
καὶ ἐρωτώμενον λόγον δοῦναι. καὶ δὴ καὶ νῦν ἔσται τὸ
ἐρώτημα περὶ τοῦ αὐτοῦ μέν, περὶ οὗπερ ἐγώ τε καὶ σὺ
νυνδὴ διελεγόμεθα, περὶ ἀρετῆς, μετενηνεγμένον δ' εἰς
ποίησιν· τοσοῦτον μόνον διοίσει. λέγει γάρ που Σιμωνίδης
πρὸς Σκόπαν, τὸν Κρέοντος [υἱὸν] τοῦ Θετταλοῦ, ὅτι

---

4. *βελτίω* vH.] *βελτίονα.* | 5. *ἔσται* (vel *ἐστι*) Zek.] *ὥστε.* Badh. ⟨*ὃν*⟩ *ὑμῖν ἴστε.* | 9. *μοι διαφέρει* [illegible] *κωλύει* coni. Cob. | 32. expunxi *υἱόν*, quod suadet etiam [illegible]

ἄνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπόν, B
χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ
[ψόγου τετυγμένον.

*τοῦτ' ἐπίστασαι τὸ ᾆσμα, ἢ πᾶν σοι διεξέλθω; καὶ ἐγὼ
εἶπον ὅτι Οὐδὲν δεῖ· ἐπίσταμαί τε γάρ, καὶ πάνυ μοι τυγ-
χάνει μεμεληκὸς τοῦ ᾄσματος. Εὖ, ἔφη, λέγεις. πότερον
οὖν καλῶς σοι δοκεῖ πεποιῆσθαι καὶ ὀρθῶς, ἢ οὔ; Πάνυ,
ἔφην ἐγώ, ⟨καλῶς⟩ τε καὶ ὀρθῶς. Δοκεῖ δέ σοι καλῶς
πεποιῆσθαι, εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής; Οὐ
καλῶς, ἦν δ' ἐγώ. Ὅρα δή, ἔφη, βέλτιον. Ἀλλ', ὠγαθέ,* C
*ἔσκεμμαι ἱκανῶς. Οἶσθ' οὖν, ἔφη, ὅτι προϊόντος τοῦ ᾄσ-
ματος λέγει που·*

οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται,
καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν
[φάτ' ἐσθλὸν ἔμμεναι.

*ἐννοεῖς ὅτι αὐτὸς οὗτος καὶ τάδε λέγει κἀκεῖνα τἄμπροσθεν;
Οἶδα, ἦν δ' ἐγώ. Δοκεῖ οὖν σοι, ἔφη, ταῦτ' ἐκείνοις ὁμο-
λογεῖσθαι; Φαίνεταί ἔμοιγε. καὶ ἅμα μέντοι ἐφοβούμην μὴ
τὶ λέγοι. Ἀτάρ, ἔφην ἐγώ, σοὶ οὐ φαίνεται; Πῶς γὰρ ἂν* D
*φαίνοιθ' ὁμολογεῖν αὐτὸς ἑαυτῷ ὁ ταῦτ' ἀμφότερα λέγων,
ὅς γε τὸ μὲν πρῶτον αὐτὸς ὑπέθετο χαλεπὸν εἶναι ἄνδρ'
ἀγαθὸν γενέσθαι ἀληθείᾳ, ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ
πρόσθεν προελθὼν ἐπελάθετο, καὶ Πιττακὸν τὸν ταὐτὰ λέγονθ'
ἑαυτῷ, ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, τοῦτον μέμφεταί
τε καὶ οὔ φησιν ἀποδέχεσθαι αὐτοῦ ταὐθ' ἑαυτῷ λέγοντος.
καίτοι ὁπότε τὸν ταὐτὰ λέγονθ' αὑτῷ μέμφεται, δῆλον ὅτι
καὶ ἑαυτὸν [μέμφεται], ὥστ' ἤτοι τὸ πρότερον ἢ ⟨τὸ⟩ ὕστερον
οὐκ ὀρθῶς λέγει. εἰπὼν οὖν ταῦτα πολλοῖς θόρυβον παρέσχεν
καὶ ἔπαινον τῶν ἀκουόντων· καὶ ἐγὼ τὸ μὲν πρῶτον,* E
*ὡσπερεὶ ὑπ' ἀγαθοῦ πύκτου πληγείς, ἐσκοτώθην τε καὶ
εἰλιγγίασα εἰπόντος αὐτοῦ ταῦτα καὶ τῶν ἄλλων ἐπιθορυβη-
σάντων· ἔπειτα, ὥς γε πρὸς σὲ εἰρῆσθαι τἀληθῆ· ἵνα μοι*

---

15. *ἐσλὸν* Boeckh. | 27. seclusi *μέμφεται.* | *τὸ* add. Hir. | 29. *καὶ ἔπαινον* fort. recte del. Sauppe.

χρόνος ἐγγένηται τῇ σκέψει τί λέγοι ὁ ποιητής, τρέπομαι πρὸς τὸν Πρόδικον, καὶ καλέσας αὐτόν, Ὦ Πρόδικε, ἔφην ἐγώ, σός μέντοι Σιμωνίδης πολίτης· δίκαιος εἶ βοηθεῖν τῷ
340 *ἀνδρί. δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σέ, ὥσπερ ἔφη Ὅμηρος τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως τὸν Σιμόεντα παρακαλεῖν εἰπόντα·*

> *φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ*
> *σχῶμεν.*

ἀτὰρ καὶ ἐγὼ σὲ παρακαλῶ, μὴ ἡμῖν ὁ Πρωταγόρας τὸν Σιμωνίδην ἐκπέρσῃ. καὶ γὰρ οὖν καὶ δεῖται τὸ ὑπὲρ Σιμωνίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς, ᾗ τό τε βούλεσθαι
B *καὶ ἐπιθυμεῖν διαιρεῖς ὡς οὐ ταὐτὸν ὄν, καὶ ἃ νυνδὴ εἶπες πολλά τε καὶ καλά. καὶ νῦν σκόπει, εἴ σοι συνδοκεῖ ὅπερ ἐμοί. οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὑτῷ Σιμωνίδης. σὺ γάρ, ὦ Πρόδικε, προαπόφηναι τὴν σὴν γνώμην· ταὐτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι καὶ τὸ εἶναι, ἢ ἄλλο; Ἄλλο νὴ Δί', ἔφη ὁ Πρόδικος. Οὐκοῦν, ἔφην ἐγώ, ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ Σιμωνίδης τὴν ἑαυτοῦ γνώμην ἀπεφήνατο, ὅτι ἄνδρ' ἀγαθὸν ἀληθείᾳ γενέσθαι χαλεπὸν*
C *εἴη; Ἀληθῆ λέγεις, ἔφη ὁ Πρόδικος. Τὸν δέ γε Πιττακόν, ἦν δ' ἐγώ, μέμφεται, οὐχ ὡς οἴεται Πρωταγόρας, ταὐτὸν ἑαυτῷ λέγοντα, ἀλλ' ἄλλο. οὐ γὰρ τοῦθ' ὁ Πιττακὸς ἔλεγεν χαλεπόν, τὸ γενέσθαι ἐσθλόν, ὥσπερ ὁ Σιμωνίδης, ἀλλὰ τὸ ἔμμεναι· ἔστιν δ' οὐ ταὐτόν, ὦ Πρωταγόρα, ὥς φησιν Πρόδικος ὅδε, τὸ εἶναι καὶ τὸ γενέσθαι· εἰ δὲ μὴ ταὔτ' ἐστιν [τὸ εἶναι τῷ γενέσθαι], οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης αὐτὸς αὑτῷ. καὶ ἴσως ἂν φαίη Πρόδικος ὅδε καὶ ἄλλοι*
D *πολλοί, καθ' Ἡσίοδον, γενέσθαι μὲν ἀγαθὸν χαλεπὸν εἶναι· τῆς γὰρ ἀρετῆς ἔμπροσθεν τοὺς θεοὺς ἱδρῶτα θεῖναι· ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται, ῥηϊδίην δήπειτα πέλειν, χαλεπήν περ ἐοῦσαν [ἐκτῆσθαι].*

---

6 sq. *εἰπόντα — σχῶμεν* del. Nab. Cf. Hom. Il. XXI. 300. | 10. *ἐκπέρσῃ* poetice = *ἐκπορθήσῃ*. | 26. seclusi *τὸ — γενέσθαι*. | 29—32. Hes. Op. 288 sqq.; 32. seclusi *ἐκτῆσθαι*, suadente v. Wageningen. Intellegi saltem posset *κτᾶσθαι*.



XXVII. Ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτ' ἐπήνεσέν με· ὁ δὲ Πρωταγόρας, Τὸ ἐπανόρθωμά σοι, ἔφη, ὦ Σώκρατες, μεῖζον ἁμάρτημ' ἔχει ἢ ὃ ἐπανορθοῖς. καὶ ἐγὼ εἶπον, Κακὸν ἄρα μοι εἴργασται, ὡς ἔοικεν, ὦ Πρωταγόρα, καὶ εἰμί τις γελοῖος ἰατρός, ἰώμενος μεῖζον τὸ νόσημα ποιῶν. Ἀλλ' οὕτως E ἔχει, ἔφη. Πῶς δή; ἦν δ' ἐγώ. Πολλὴ ἄν, ἔφη, ἀμαθία εἴη τοῦ ποιητοῦ, εἰ οὕτω φαῦλόν τί φησιν εἶναι τὴν ἀρετὴν ἐκτῆσθαι, ὅ ἐστιν πάντων χαλεπώτατον, ὡς ἅπασιν δοκεῖ ἀνθρώποις. καὶ ἐγὼ εἶπον, Νὴ τὸν Δία, εἰς καιρόν γε παρατετύχηκεν ἡμῖν [ἐν τοῖς λόγοις] Πρόδικος ὅδε. κινδυνεύει γάρ τοι, ὦ Πρωταγόρα, ἡ Προδίκου σοφία θεία τις εἶναι πάλαι, ἤτοι ἀπὸ Σιμωνίδου ἀρξαμένη, ἢ καὶ ἔτι παλαιτέρα. 341 σὺ δ' ἄλλων πολλῶν ἔμπειρος ὢν ταύτης ἄπειρος εἶναι φαίνει, οὐχ ὥσπερ ἐγὼ ἔμπειρος διὰ τὸ μαθητὴς εἶναι Προδίκου τουτουί· καὶ νῦν μοι δοκεῖς οὐ μανθάνειν, ὅτι καὶ τὸ χαλεπὸν τοῦτ' ἴσως οὐχ οὕτως Σιμωνίδης ὑπελάμβανεν, ὥσπερ σὺ ὑπολαμβάνεις, ἀλλ' ὥσπερ περὶ τοῦ δεινοῦ Πρόδικός μ' οὑτοσὶ νουθετεῖ ἑκάστοτε, ὅταν ἐπαινῶν ἐγὼ ἢ σὲ ἢ ἄλλον τινὰ λέγω ὅτι [Πρωταγόρας] σοφὸς καὶ δεινός ἐστιν ἀνήρ, ἐρωτᾷ εἰ οὐκ αἰσχύνομαι τἀγαθὰ δεινὰ καλῶν. τὸ γὰρ δεινόν, B φησίν, κακόν ἐστιν· οὐδεὶς γοῦν λέγει ἑκάστοτε δεινοῦ πλούτου οὐδὲ δεινῆς εἰρήνης οὐδὲ δεινῆς ὑγιείας, ἀλλὰ δεινῆς νόσου καὶ δεινοῦ πολέμου καὶ δεινῆς πενίας[, ὡς τοῦ δεινοῦ κακοῦ ὄντος]. ἴσως οὖν καὶ τὸ χαλεπὸν αὖ οἱ Κεῖοι καὶ ὁ Σιμωνίδης ἢ κακὸν ὑπολαμβάνουσιν ἢ ἄλλο τι ὃ σὺ οὐ μανθάνεις· ἐρώμεθ' οὖν Πρόδικον· δίκαιον γὰρ τὴν Σιμωνίδου φωνὴν τοῦτον ἐρωτᾶν· τί ἔλεγεν, ὦ Πρόδικε, τὸ χαλεπὸν Σιμωνίδης; Κακόν, ἔφη. Διὰ ταῦτ' ἄρα καὶ C μέμφεται, ἦν δ' ἐγώ, ὦ Πρόδικε, τὸν Πιττακὸν λέγοντα χαλεπὸν ἐσθλὸν ἔμμεναι, ὥσπερ ἂν εἰ ἤκουεν αὐτοῦ λέγοντος ὅτι ἐστὶν κακὸν ἐσθλὸν ἔμμεναι. Ἀλλὰ τί οἴει,

---

5. *ποιῶν* Hir.] *ποιῶ*. Possis etiam cum Zek. *ἰατρός, ⟨ὃς⟩ — ποιῶ*. | 12. *παλαίτερα* vH.] *παλαιότερα*. | 18. *νουθετεῖ* del. aut in *νουθετῶν* mut. Zek. | 19. expunxi nomen. | 23 sq. *ὡς — ὄντος* fort. spuria. | 28. *διὰ* del. Hir., Cob., fort. recte. Similiter attice dici solet *ταῦτ' οὖν* sine praepositione. | 31. fort. delendum *ἐσθλὸν ἔμμεναι*.

ἔφη, λέγειν, ὦ Σώκρατες, Σιμωνίδην ἀλλ' ἢ τοῦτο, καὶ
ὀνειδίζειν τῷ Πιττακῷ, ὅτι τὠνόματ' οὐκ ἠπίστατ' ὀρθῶς
διαιρεῖν ἅτε Λέσβιος ὢν καὶ ἐν φωνῇ βαρβάρῳ τεθραμμένος;
Ἀκούεις δή, ἔφην ἐγώ, ὦ Πρωταγόρα, Προδίκου τοῦδε.
D ἔχεις τι πρὸς ταῦτα λέγειν; καὶ ὁ Πρωταγόρας, Πολλοῦ γε
δεῖ, ἔφη, οὕτως ἔχειν, ὦ Πρόδικε· ἀλλ' ἐγὼ εὖ οἶδ' ὅτι
καὶ Σιμωνίδης τὸ χαλεπὸν ἔλεγεν ὅπερ ἡμεῖς οἱ ἄλλοι, οὐ
[τὸ] κακόν, ἀλλ' ὃ ἂν μὴ ῥᾴδιον ᾖ, ἀλλὰ διὰ πολλῶν
πραγμάτων γίγνηται. Ἀλλὰ καὶ ἐγὼ οἶμαι, ἔφην, ὦ Πρω-
ταγόρα, τοῦτο λέγειν Σιμωνίδην, καὶ Πρόδικόν γε τόνδε
εἰδέναι, ἀλλὰ παίζειν καὶ σοῦ [δοκεῖν] ἀποπειρᾶσθαι, εἰ
E οἷός τ' ἔσει τῷ σαυτοῦ λόγῳ βοηθεῖν· ἐπεὶ ὅτι γε Σιμωνίδης
οὐ λέγει τὸ χαλεπὸν κακόν, μέγα τεκμήριόν ἐστιν εὐθὺς τὸ
μετὰ τοῦτο ῥῆμα· λέγει γὰρ ὅτι

θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας,

οὐ δήπου τοῦτό γε λέγων, κακὸν ἐσθλὸν ἔμμεναι, εἶτα τὸν
θεόν φησιν μόνον τοῦτ' ἂν ἔχειν καὶ τῷ θεῷ τοῦτο γέρας
ἀπένειμε μόνῳ· ἀκόλαστον γὰρ ἄν τινα λέγοι Σιμωνίδην
Πρόδικος καὶ οὐδαμῶς Κεῖον. ἀλλ' ἅ μοι δοκεῖ διανοεῖσθαι
Σιμωνίδης ἐν τούτῳ τῷ ᾄσματι, ἐθέλω σοι εἰπεῖν, εἰ βούλει
342 λαβεῖν μου πεῖραν ὅπως ἔχω, ὃ σὺ λέγεις τοῦτο, περὶ ἐπῶν·
ἐὰν δὲ βούλῃ, σοῦ ἀκούσομαι. ὁ μὲν οὖν Πρωταγόρας
ἀκούσας μου ταῦτα λέγοντος, Εἰ σὺ βούλει, ἔφη, ὦ Σώ-
κρατες· ὁ δὲ Πρόδικός τε καὶ ὁ Ἱππίας ἐκελευέτην πάνυ,
καὶ οἱ ἄλλοι.

XXVIII. Ἐγὼ τοίνυν, ἦν δ' ἐγώ, ἅ γ' ἐμοὶ δοκεῖ περὶ
τοῦ ᾄσματος τούτου, πειράσομαι ὑμῖν διεξελθεῖν. φιλοσοφία
γάρ ἐστιν παλαιτάτη τε καὶ πλείστη τῶν Ἑλλήνων ἐν Κρήτῃ
B τε καὶ ἐν Λακεδαίμονι, καὶ σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσίν·
ἀλλ' ἐξαρνοῦνται καὶ σχηματίζονται ἀμαθεῖς εἶναι, ἵνα μὴ
κατάδηλοι ὦσιν ὅτι σοφίᾳ τῶν Ἑλλήνων περίεισιν, ὥσπερ
οὓς Πρωταγόρας ἔλεγε [τοὺς σοφιστάς], ἀλλὰ δοκῶσιν τῷ

---

1 sq. λέγειν et καὶ ante ὀνειδίζειν suspectat Zek. | 8. τὸ del. Hir. | 11. δοκεῖν del. Hartm. | 28. παλαιοτάτη codd. Vid. supra p. 341 A init. | 32. expunxi τοὺς σοφιστάς.

μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖναι, ἡγούμενοι, εἰ γνωσθεῖεν ᾧ περίεισιν, πάντας τοῦτ' ἀσκήσειν. νῦν δ' ἀποκρυψάμενοι ἐκεῖν' ἐξηπατήκασιν τοὺς ἐν ταῖς πόλεσι λακωνίζοντας, καὶ οἱ μὲν ὦτά τε κατάγνυνται μιμούμενοι αὐτούς, καὶ ἱμάντας C
περιειλίττονται καὶ φιλογυμναστοῦσιν καὶ βραχείας ἀναβολὰς φοροῦσιν, ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους· οἱ δὲ Λακεδαμόνιοι ἐπειδὰν βούλωνται ἀνέδην τοῖς παρ' αὐτοῖς συγγενέσθαι σοφισταῖς, καὶ ἤδη ἄχθωνται λάθρᾳ ξυγγιγνόμενοι, ξενηλασίας ποιοῦνται τῶν τε λακωνιζόντων τούτων καὶ ἐάν τις ἄλλος ξένος ὢν ἐπιδημήσῃ, [συγγίγνονται τοῖς σοφισταῖς λανθάνοντες τοὺς ξένους] καὶ αὐτοὶ οὐδέν' ἐῶσιν τῶν νέων εἰς τὰς ἄλλας πόλεις ἐξιέ- D
ναι, ὥσπερ οὐδὲ Κρῆτες, ἵνα μὴ απομανθάνωσιν ἃ αὐτοὶ διδάσκουσιν. εἰσὶν δ' ἐν ταύταις ταῖς πόλεσιν οὐ μόνον ἄνδρες ἐπὶ παιδεύσει μέγα φρονοῦντες, ἀλλὰ καὶ γυναῖκες. γνοῖτε δ' ἄν, ὅτι ἐγὼ ταῦτ' ἀληθῆ λέγω καὶ Λακεδαιμόνιοι πρὸς φιλοσοφίαν καὶ λόγους ἄριστα πεπαίδευνται, ὧδε· εἰ γὰρ ἐθέλει τις Λακεδαιμονίων τῷ φαυλοτάτῳ συγγενέσθαι, E
τὰ μὲν πρῶτ' ἐν τοῖς λόγοις εὑρήσει αὐτὸν φαῦλόν τινα φαινόμενον, ἔπειτα, ὅπου ἂν τύχῃ τῶν λεγομένων, ἐνέβαλεν ῥῆμ' ἄξιον λόγου βραχὺ καὶ συνεστραμμένον ὥσπερ δεινὸς ἀκοντιστής, ὥστε φαίνεσθαι τὸν προσδιαλεγόμενον παιδὸς μηδὲν βελτίω. τοῦτ' οὖν αὐτὸ καὶ τῶν νῦν εἰσὶν οἳ κατανενοήκασι καὶ τῶν πάλαι, ὅτι τὸ λακωνίζειν πολὺ μᾶλλόν ἐστιν φιλοσοφεῖν ἢ φιλογυμναστεῖν, εἰδότες ὅτι τοιαῦθ' οἷόν τ' εἶναι ῥήματα φθέγγεσθαι τελέως πεπαιδευμένου ἐστὶν ἀνθρώπου. τούτων ἦν καὶ Θαλῆς ὁ Μιλήσιος καὶ Πιττακὸς 343
ὁ Μυτιληναῖος καὶ Βίας ὁ Πριηνεὺς καὶ Σόλων ὁ ἡμέτερος καὶ Κλεόβουλος ὁ Λίνδιος καὶ Μύσων ὁ Χηνεύς, καὶ ἕβδομος ἐν τούτοις ἐλέγετο ⟨ὁ⟩ Λακεδαιμόνιος Χίλων. οὗτοι πάντες ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς Λακεδαιμονίων

---

2. τοῦτο male suspectat Zek. | 5. De forma εἱλίττω fort. ubique Platoni reddenda pro ἑλίττω cf. Meist. p. 87, 4. | 8. αὑτοῖς Zek.] αὐτοῖς. | 9. ποιοῦνται dedi pro ποιούμενοι, deleto emblemate συγγίγνονται — ξένους. Zek. del. sola verba λανθάνοντες τ. ξ. | 19. πρῶτα Herm.] πολλά. | 30. inserui ὁ.

παιδείας· καὶ καταμάθοι ἄν τις αὐτῶν τὴν σοφίαν τοιαύτην B οὖσαν, ῥήματα βραχέα ἀξιομνημόνευθ' ἑκάστῳ εἰρημέν' ἃ οὗτοι καὶ κοινῇ ξυνελθόντες ἀπαρχὴν τῆς σοφίας ἀνέθεσαν τῷ Ἀπόλλωνι εἰς τὸν νεὼν τὸν ἐν Δελφοῖς, γράψαντες ταῦτα, ἃ δὴ πάντες ὑμνοῦσιν, γνῶθι σαυτόν καὶ μηδὲν ἄγαν.

Τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας, βραχυλογία τις Λακωνική· καὶ δὴ καὶ τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα ἐγκωμιαζόμενον ὑπὸ τῶν σοφῶν, τὸ χαλεπὸν ἐσθλὸν ἔμ- C μεναι. ὁ οὖν Σιμωνίδης, ἅτε φιλότιμος ὢν ἐπὶ σοφίᾳ, ἔγνω ὅτι, εἰ καθέλοι τοῦτο τὸ ῥῆμα ὥσπερ εὐδοκιμοῦντ' ἀθλητὴν [καὶ περιγένοιτ' αὐτοῦ], αὐτὸς εὐδοκιμήσει ἐν τοῖς τότ' ἀνθρώποις. εἰς τοῦτ' οὖν τὸ ῥῆμα καὶ τούτου ἕνεκα τούτῳ ἐπιβουλεύων [κολοῦσαι αὐτὸ] ἅπαν τὸ ᾆσμα πεποίηκεν, ὥς μοι φαίνεται.

XXIX. Ἐπισκεψώμεθα δὴ αὐτὸ κοινῇ ἅπαντες, εἰ ἄρ' ἐγὼ ἀληθῆ λέγω. εὐθὺς γὰρ τὸ πρῶτον τοῦ ᾄσματος D μανικὸν ἂν φανείη, εἰ βουλόμενος λέγειν, ὅτι ἄνδρ' ἀγαθὸν γενέσθαι χαλεπόν, ἔπειτ' ἐνέβαλε τὸ μέν. τοῦτο γὰρ οὐδὲ πρὸς ἕνα λόγον φαίνεται ἐμβεβλῆσθαι, ἐὰν μή τις ὑπολάβῃ πρὸς τὸ τοῦ Πιττακοῦ ῥῆμ' ὥσπερ ἐρίζοντα λέγειν τὸν Σιμωνίδην, λέγοντος τοῦ Πιττακοῦ ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, ἀμφισβητοῦντ' εἰπεῖν ὅτι Οὔκ, ἀλλὰ γενέσθαι μὲν χαλεπὸν ἄνδρ' ἀγαθόν ἐστιν, ὦ Πιττακέ, ὡς ἀληθῶς, οὐκ ἀληθείᾳ ἀγαθόν, οὐδ' ἐπὶ τούτῳ λέγει τὴν ἀλήθειαν, E ὡς ἄρ' ὄντων τινῶν τῶν μὲν ὡς ἀληθῶς ἀγαθῶν, τῶν δ' ἀγαθῶν μέν, οὐ μέντοι ἀληθῶς· εὔηθες γὰρ τοῦτό γε φανείη ἂν καὶ οὐ Σιμωνίδου· ἀλλ' ὑπερβατὸν δεῖ θεῖναι [ἐν τῷ ᾄσματι] τὸ ἀλαθέως, οὑτωσί πως ὑπειπόντα τὸ τοῦ Πιττακοῦ, ὥσπερ ἂν εἰ θεῖμεν αὐτὸν λέγοντα τὸν Πιττακὸν [καὶ Σιμωνίδην ἀποκρινόμενον, εἰπόντα] ὦ ἄνθρωποι, χαλεπὸν

---

2 sq. ἃ οὗτοι] ὅτι Kroschel, Zek. malit: εἰρημένα ⟨ὧδε⟩· οὗτοι ⟨γὰρ⟩ κτέ. Debuerat εἰρημένα ⟨οὕτω⟩. | 12. καὶ — αὐτοῦ del. Cob. | 14. delevi κολοῦσαι αὐτό, solum verbum Ast. An αὐτός? | 25. οὐδ' Herm.] οὐκ. | 27. fort. ⟨ὡς⟩ ἀληθῶς. | 28 sq. seclusi ἐν τῷ ᾄσματι. | 30 sq. καὶ — εἰπόντα del. Hartm.

ἐσθλὸν ἔμμεναι, τὸν δ' ἀποκρινόμενον ὅτι ὦ Πιττακέ, οὐκ ἀληθῆ λέγεις· οὐ γαρ εἶναι ἀλλὰ γενέσθαι μέν ἐστιν ἄνδρ' ἀγαθὸν χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον, χαλεπὸν ἀλαθέως. οὕτω φαίνεται [τὸ] πρὸς λόγον τὸ μὲν ἐμβεβλημένον καὶ τὸ ἀλαθέως ὀρθῶς ἐπ' ἐσχάτῳ κείμενον· καὶ τἄπιόντα πάντα τούτῳ μαρτυρεῖ, ὅτι οὕτως εἴρηται. πολλὰ μὲν γὰρ ἔστι καὶ περὶ ἑκάστου τῶν ἐν τῷ ᾄσματι εἰρημένων B *ἀποδεῖξαι ὡς εὖ πεποίηται· πάνυ γὰρ χαριέντως καὶ μεμελημένως ἔχει. ἀλλὰ μακρὸν ἂν εἴη αὔθ' οὕτω διελθεῖν· ἀλλὰ τὸν τύπον αὐτοῦ τὸν ὅλον διεξέλθωμεν καὶ τὴν βούλησιν, ὅτι παντὸς μᾶλλον ἔλεγχός ἐστιν τοῦ Πιττακείου ῥήματος διὰ παντὸς τοῦ ᾄσματος.*

XXX. *Λέγει γὰρ μετὰ τοῦτ' ὀλίγα διελθών, ὡς ἂν εἰ λέγοι [λόγον], ὅτι γενέσθαι μὲν ἄνδρ' ἀγαθὸν χαλεπὸν ἀλαθέως, οἷόν τε μέντοι ἐπί γε χρόνον τινά· γενόμενον δὲ διαμένειν ἐν ταύτῃ τῇ ἕξει καὶ εἶναι ἄνδρ' ἀγαθόν, ὡς* C *σὺ λέγεις, ὦ Πιττακέ, ἀδύνατον καὶ οὐκ ἀνθρώπειον, ἀλλὰ θεὸς ἂν μόνος τοῦτ' ἔχοι [τὸ] γέρας,*

ἄνδρα δ' οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι,
ὃν ἂν ἀμήχανος συμφορὰ καθέλῃ.

τίν' οὖν ἀμήχανος συμφορὰ καθαιρεῖ [ἐν πλοίου ἀρχῇ]; δῆλον ὅτι οὐ τὸν ἰδιώτην· ὁ μὲν γὰρ ἰδιώτης ἀεὶ καθήρηται· ὥσπερ οὖν οὐ τὸν κείμενόν τις ἂν καταβάλοι, ἀλλὰ τὸν μὲν ἑστῶτά ποτε [καταβάλοι ἄν τις, ὥστε κείμενον ποιῆσαι, τὸν δὲ κείμενον οὔ], οὕτω καὶ τὸν εὐμήχανον ὄντα ποτ' ἀμήχανος ἂν συμφορὰ καθέλοι, τὸν δ' ἀεὶ D *ἀμήχανον ὄντ' οὔ· καὶ τον κυβερνήτην μέγας χειμὼν ἐπιπεσὼν ἀμήχανον ἂν ποιήσειεν, καὶ γεωργὸν χαλεπὴ ὥρα ἐπελθοῦσ' ἀμήχανον ἂν θείη, καὶ ἰατρὸν ταὐτὰ ταῦτα. τῷ μὲν γὰρ ἐσθλῷ ἐγχωρεῖ κακῷ γενέσθαι, ὥσπερ καὶ παρ' ἄλλου ποιητοῦ μαρτυρεῖται τοῦ εἰπόντος*

αὐτὰρ ἀνὴρ ἀγαθὸς τότε μὲν κακός, ἄλλοτε δ' ἐσθλός·

---

15. seclusi *λόγον.* | 19. *τὸ* del. Hir. | 22. *ἐν — ἀρχῃ* del. Hartm. | 25 sq. *καταβάλοι — οὔ* olim delevi LRh. p. 43. | 33. *τότε* dedi pro *τοτὲ.*

δέξασθαι θαυμάζοιμ᾽ ἂν εἴ τῳ ἀνθρώπων παραχωρεῖ. εἰ μὲν οὖν καὶ Πρωταγόρας ὁμολογεῖ φαυλότερος εἶναι Σωκράτους διαλεχθῆναι, ἐξαρκεῖ Σωκράτει· εἰ δ᾽ ἀντιποιεῖται, διαλεγέσθω ἐρωτῶν τε καὶ ἀποκρινόμενος, μὴ ἐφ᾽ ἑκάστῃ ἐρωτήσει μακρὸν λόγον ἀποτείνων, ἐκκρούων τοὺς λόγους καὶ οὐκ ἐθέλων διδόναι λόγον, ἀλλ᾽ ἀπομηκύνων ἕως ἂν
D *ἐπιλάθωνται περὶ ὅτου τὸ ἐρώτημ᾽ ἦν οἱ πολλοὶ τῶν ἀκουόντων· ἐπεὶ Σωκράτη γ᾽ ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καὶ φησιν ἐπιλήσμων εἶναι. ἐμοὶ μὲν οὖν δοκεῖ ἐπιεικέστερα Σωκράτης λέγειν· χρὴ γὰρ ἕκαστον τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι.*

Μετὰ δὲ τὸν Ἀλκιβιάδην, ὡς ἐγᾦμαι, Κριτίας ἦν ὁ εἰπών· Ὦ Πρόδικε καὶ Ἱππία, Καλλίας μὲν δοκεῖ μοι μάλα πρὸς Πρωταγόρου εἶναι, Ἀλκιβιάδης δ᾽ ἀεὶ φιλόνικός ἐστι πρὸς
E *ὃ ἂν ὁρμήσῃ· ἡμᾶς δ᾽ οὐδὲν δεῖ συμφιλονικεῖν οὔτε Σωκράτει οὔτε Πρωταγόρᾳ, ἀλλὰ κοινῇ ἀμφοτέρων δεῖσθαι μὴ μεταξὺ διαλῦσαι τὴν ξυνουσίαν.*

337 *Εἰπόντος δ᾽ αὐτοῦ ταῦθ᾽ ὁ Πρόδικος, Καλῶς μοι, ἔφη, δοκεῖς λέγειν, ὦ Κριτία· χρὴ γὰρ τοὺς ἐν τοιοῖσδε λόγοις παραγιγνομένους κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς, ἴσους δὲ μή. ἔστιν γὰρ οὐ ταὐτόν· κοινῇ μὲν γὰρ ἀκοῦσαι δεῖ ἀμφοτέρων, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ, ἀλλὰ τῷ μὲν σοφωτέρῳ πλέον, τῷ δ᾽ ἀμαθεστέρῳ ἔλαττον. ἐγὼ μὲν καὶ αὐτός, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, ἀξιῶ ὑμᾶς συγχωρεῖν καὶ ἀλλήλοις περὶ τῶν λόγων ἀμφισβητεῖν*
B *μέν, ἐρίζειν δὲ μή· ἀμφισβητοῦσι μὲν γὰρ καὶ δι᾽ εὔνοιαν οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσιν δ᾽ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις. καὶ οὕτως ἂν καλλίστη ἡμῖν ἡ συνουσία γίγνοιτο· ὑμεῖς τε γὰρ οἱ λέγοντες μάλιστ᾽ ἂν οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε καὶ οὐκ ἐπαινοῖσθε· εὐδοκιμεῖν μὲν γάρ ἐστιν παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης,*

---

9. *οὐχ ὅτι*, *daargelaten dat.* Cf. Gorg. 250 E, Theaet. 157 B, Legg. 219 E, al. | 17. forma *ξύν* in Protagora etiam rarior quam in Phaedone. Vid. ad. Phaed. p. 132. | 19 sqq. suaviter Plato ridet Prodici studia de synonymis, de quibus studiis aequius iudicavit Thucydides. Cf. infra p. 180, 7 sqq., p. 201, 15 sqq., p. 202, 4 sqq.

ἐπαινεῖσθαι δ' ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων· ἡμεῖς τ' αὖ οἱ ἀκούοντες μάλιστ' ἂν οὕτως εὐφραινοίμεθα, C οὐχ ἡδοίμεθα· εὐφραίνεσθαι μὲν γάρ ἐστιν μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντ' αὐτῇ τῇ διανοίᾳ, ἥδεσθαι δ' ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντ' αὐτῷ τῷ σώματι. Ταῦτ' οὖν εἰπόντος τοῦ Προδίκου πολλοὶ πάνυ τῶν παρόντων ἀπεδέξαντο.

XXIV. Μετὰ δὲ τὸν Πρόδικον Ἱππίας ὁ σοφὸς εἶπεν, Ὦ ἄνδρες, ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ἡμᾶς συγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι φύσει, οὐ νόμῳ· D τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ φύσει συγγενές ἐστιν, ὁ δὲ νόμος, τύραννος ὢν τῶν ἀνθρώπων, πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ἡμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δ' ὄντας τῶν Ἑλλήνων, καὶ κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας τῆς θ' Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὐτῆς τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε, μηδὲν τούτου τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι, ἀλλ' ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ συμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, συμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν συμβιβαζόντων εἰς τὸ μέσον, 338 καὶ μήτε σὲ τἀκριβὲς τοῦτ' εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ βραχὺ λίαν, εἰ μὴ ἡδὺ Πρωταγόρᾳ, ἀλλ' ἐφεῖναι [καὶ χαλάσαι] τὰς ἡνίας τοῖς λόγοις, ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέστεροι ἡμῖν φαίνωνται, μήτ' αὖ Πρωταγόραν πάντα κάλων ἐκτείναντα, οὐρίᾳ ἐφέντα, φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων, ἀποκρύψαντα γῆν, ἀλλὰ μέσον τι ἀμφοτέρους τεμεῖν. ὡς οὖν ποιήσατε καὶ πιθέσθε μοι ῥαβδοῦχον καὶ ἐπιστάτην καὶ πρύτανιν ἑλέσθε, ὃς ὑμῖν φυλάξει τὸ μέτριον B μῆκος τῶν λόγων ἑκατέρου.

XXV. Ταῦτ' ἤρεσε τοῖς παροῦσι, καὶ πάντες ἐπῄνεσαν, καὶ ἐμέ γ' ὁ Καλλίας οὐκ ἔφη ἀφήσειν καὶ ἑλέσθαι ἐδέοντ' ἐπιστάτην. εἶπον οὖν ἐγὼ ὅτι αἰσχρὸν εἴη βραβευτὴν ἑλέσθαι

---

12. *τύραννος*. Cf. Pindari fr. Gorg. 484 B et Herod. III 38. | 16. *αὐτῆς]* *αὖ* Bekk. An *αὖ τῆσδε*? | 23. *καὶ χαλάσαι* del. Cob. | 28 sq. codd. *πείθεσθε* et *ἑλέσθαι*. Corr. Nab. | 32. *γε* pro *τε* Heind.

τῶν λόγων. εἴτε γὰρ χείρων ἔσται ἡμῶν ὁ αἱρεθείς, οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστατεῖν, εἴθ' ὅμοιος, οὐδ' οὕτως ὀρθῶς· ὁ γὰρ ὅμοιος ἡμῖν ὅμοια καὶ ποιήσει, ὥστ' ἐκ περιττοῦ ᾑρήσεται. ἀλλὰ δὴ βελτίω ἡμῶν
C αἱρήσεσθε. τῇ μὲν ἀληθείᾳ, ὡς ἐγᾦμαι, ἀδύνατον ὑμῖν ἔσται Πρωταγόρου τοῦδε σοφώτερόν τιν' ἑλέσθαι· εἰ δ' αἱρήσεσθε μὲν μηδὲν βελτίω, φήσετε δέ, αἰσχρὸν καὶ τοῦτο τῷδε γίγνεται, ὥσπερ φαύλῳ ἀνθρώπῳ ἐπιστάτην αἱρεῖσθαι, ἐπεὶ τό γ' ἐμὸν οὐδέν †μοι διαφέρει. ἀλλ' οὑτωσὶ ἐθέλω ποιῆσαι, ἵν' ὃ προθυμεῖσθε συνουσία τε καὶ διάλογοι ἡμῖν γίγνωνται· εἰ μὴ βούλεται Πρωταγόρας ἀποκρίνεσθαι, οὗτος μὲν ἐρωτάτω,
D ἐγὼ δ' ἀποκρινοῦμαι, καὶ ἅμα πειράσομαι αὐτῷ δεῖξαι, ὡς ἐγώ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι· ἐπειδὰν δ' ἐγὼ ἀποκρίνωμαι ὁπόσ' ἂν οὗτος βούληται ἐρωτᾶν, πάλιν οὗτος ἐμοὶ λόγον ὑποσχέτω ὁμοίως. ἐὰν οὖν μὴ δοκῇ πρόθυμος εἶναι πρὸς αὐτὸ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, καὶ ἐγὼ καὶ ὑμεῖς κοινῇ δεησόμεθ' αὐτοῦ ἅπερ ὑμεῖς ἐμοῦ, μὴ διαφθείρειν τὴν συνουσίαν· καὶ οὐδὲν δεῖ τούτου ἕνεχ'
E ἕν' ἐπιστάτην γενέσθαι, ἀλλὰ πάντες κοινῇ ἐπιστατήσετε. ἐδόκει πᾶσιν οὕτω ποιητέον εἶναι· καὶ ὁ Πρωταγόρας πάνυ μὲν οὐκ ἤθελεν, ὅμως δ' ἠναγκάσθη ὁμολογῆσαι ἐρωτήσειν, καὶ ἐπειδὰν ἱκανῶς ἐρωτήσῃ, πάλιν δώσειν λόγον κατὰ σμικρὸν ἀποκρινόμενος. ἤρξατ' οὖν ἐρωτᾶν οὑτωσί πως.

XXVI. Ἡγοῦμαι, ἔφη, ὦ Σώκρατες, ἐγὼ ἀνδρὶ παι-
339 δείας μέγιστον μέρος εἶναι περὶ ἐπῶν δεινὸν εἶναι· ἔστιν δὲ τοῦτο τὰ ὑπὸ τῶν ποιητῶν λεγόμεν' οἷόν τ' εἶναι συνιέναι ἅ τ' ὀρθῶς πεποίηται καὶ ἃ μή, καὶ ἐπίστασθαι διελεῖν τε καὶ ἐρωτώμενον λόγον δοῦναι. καὶ δὴ καὶ νῦν ἔσται τὸ ἐρώτημα περὶ τοῦ αὐτοῦ μέν, περὶ οὗπερ ἐγώ τε καὶ σὺ νυνδὴ διελεγόμεθα, περὶ ἀρετῆς, μετενηνεγμένον δ' εἰς ποίησιν· τοσοῦτον μόνον διοίσει. λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν, τὸν Κρέοντος [υἱὸν] τοῦ Θετταλοῦ, ὅτι

---

4. βελτίω vH.] βελτίονα. | 5. ἔσται (vel ἐστι) Zek.] ὥστε. Badh. ⟨ὂν⟩ ὑμῖν ἴστε. | 9. μοι διαφέρει vix sana, κωλύει coni. Cob. | 32. expunxi υἱόν, quod suadet etiam Zek. p. 107.

ἄνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπόν, B
χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ
[ψόγου τετυγμένον.

τοῦτ' ἐπίστασαι τὸ ᾆσμα, ἢ πᾶν σοι διεξέλθω; καὶ ἐγὼ εἶπον ὅτι Οὐδὲν δεῖ· ἐπίσταμαί τε γάρ, καὶ πάνυ μοι τυγχάνει μεμεληκὸς τοῦ ᾄσματος. Εὖ, ἔφη, λέγεις. πότερον οὖν καλῶς σοι δοκεῖ πεποιῆσθαι καὶ ὀρθῶς, ἢ οὔ; Πάνυ, ἔφην ἐγώ, ⟨καλῶς⟩ τε καὶ ὀρθῶς. Δοκεῖ δέ σοι καλῶς πεποιῆσθαι, εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής; Οὐ καλῶς, ἦν δ' ἐγώ. Ὅρα δή, ἔφη, βέλτιον. Ἀλλ', ὠγαθέ, C *ἔσκεμμαι ἱκανῶς. Οἶσθ' οὖν, ἔφη, ὅτι προϊόντος τοῦ ᾄσματος λέγει που·*

οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται,
καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν
[φάτ' ἐσθλὸν ἔμμεναι.

ἐννοεῖς ὅτι αὐτὸς οὗτος καὶ τάδε λέγει κἀκεῖνα τἄμπροσθεν; Οἶδα, ἦν δ' ἐγώ. Δοκεῖ οὖν σοι, ἔφη, ταῦτ' ἐκείνοις ὁμολογεῖσθαι; Φαίνεταί ἔμοιγε. καὶ ἅμα μέντοι ἐφοβούμην μή τι λέγοι. Ἀτάρ, ἔφην ἐγώ, σοὶ οὐ φαίνεται; Πῶς γὰρ ἂν D *φαίνοιθ' ὁμολογεῖν αὐτὸς ἑαυτῷ ὁ ταῦτ' ἀμφότερα λέγων, ὅς γε τὸ μὲν πρῶτον αὐτὸς ὑπέθετο χαλεπὸν εἶναι ἄνδρ' ἀγαθὸν γενέσθαι ἀληθείᾳ, ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ πρόσθεν προελθὼν ἐπελάθετο, καὶ Πιττακὸν τὸν ταὐτὰ λέγονθ' ἑαυτῷ, ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, τοῦτον μέμφεταί τε καὶ οὔ φησιν ἀποδέχεσθαι αὐτοῦ ταὖθ' ἑαυτῷ λέγοντος. καίτοι ὁπότε τὸν ταὐτὰ λέγονθ' αὑτῷ μέμφεται, δῆλον ὅτι καὶ ἑαυτὸν [μέμφεται], ὥστ' ἤτοι τὸ πρότερον ἢ ⟨τὸ⟩ ὕστερον οὐκ ὀρθῶς λέγει. εἰπὼν οὖν ταῦτα πολλοῖς θόρυβον παρέσχεν καὶ ἔπαινον τῶν ἀκουόντων· καὶ ἐγὼ τὸ μὲν πρῶτον,* E *ὡσπερεὶ ὑπ' ἀγαθοῦ πύκτου πληγείς, ἐσκοτώθην τε καὶ εἰλιγγίασα εἰπόντος αὐτοῦ ταῦτα καὶ τῶν ἄλλων ἐπιθορυβησάντων· ἔπειτα, ὥς γε πρὸς σὲ εἰρῆσθαι τἀληθῆ· ἵνα μοι*

---

15. *ἐσλὸν* Boeckh. | 27. seclusi *μέμφεται.* | *τὸ* add. Hir. | 29. *καὶ ἔπαινον* fort. recte del. Sauppe.

χρόνος ἐγγένηται τῇ σκέψει τί λέγοι ὁ ποιητής, τρέπομαι
πρὸς τὸν Πρόδικον, καὶ καλέσας αὐτόν, Ὦ Πρόδικε, ἔφην
ἐγώ, σὸς μέντοι Σιμωνίδης πολίτης· δίκαιος εἶ βοηθεῖν τῷ
340 ἀνδρί. δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σέ, ὥσπερ ἔφη Ὅμη-
ρος τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως
τὸν Σιμόεντα παρακαλεῖν εἰπόντα·

φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
σχῶμεν.

ἀτὰρ καὶ ἐγὼ σὲ παρακαλῶ, μὴ ἡμῖν ὁ Πρωταγόρας τὸν
Σιμωνίδην ἐκπέρσῃ. καὶ γὰρ οὖν καὶ δεῖται τὸ ὑπὲρ Σιμω-
νίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς, ᾗ τό τε βούλεσθαι
B καὶ ἐπιθυμεῖν διαιρεῖς ὡς οὐ ταὐτὸν ὄν, καὶ ἃ νυνδὴ
εἶπες πολλά τε καὶ καλά. καὶ νῦν σκόπει, εἴ σοι συνδοκεῖ
ὅπερ ἐμοί. οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὑτῷ
Σιμωνίδης. σὺ γάρ, ὦ Πρόδικε, προαπόφηναι τὴν σὴν
γνώμην· ταὐτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι καὶ τὸ εἶναι,
ἢ ἄλλο; Ἄλλο νὴ Δί', ἔφη ὁ Πρόδικος. Οὐκοῦν, ἔφην ἐγώ,
ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ Σιμωνίδης τὴν ἑαυτοῦ γνώμην
ἀπεφήνατο, ὅτι ἄνδρ' ἀγαθὸν ἀληθείᾳ γενέσθαι χαλεπὸν
C εἴη; Ἀληθῆ λέγεις, ἔφη ὁ Πρόδικος. Τὸν δέ γε Πιττακόν,
ἦν δ' ἐγώ, μέμφεται, οὐχ ὡς οἴεται Πρωταγόρας, ταὐτὸν
ἑαυτῷ λέγοντα, ἀλλ' ἄλλο. οὐ γὰρ τοῦθ' ὁ Πιττακὸς ἔλεγεν
χαλεπόν, τὸ γενέσθαι ἐσθλόν, ὥσπερ ὁ Σιμωνίδης, ἀλλὰ
τὸ ἔμμεναι· ἔστιν δ' οὐ ταὐτόν, ὦ Πρωταγόρα, ὥς φησιν
Πρόδικος ὅδε, τὸ εἶναι καὶ τὸ γενέσθαι· εἰ δὲ μὴ ταὐτ'
ἐστιν [τὸ εἶναι τῷ γενέσθαι], οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης
αὐτὸς αὑτῷ. καὶ ἴσως ἂν φαίη Πρόδικος ὅδε καὶ ἄλλοι
D πολλοί, καθ' Ἡσίοδον, γενέσθαι μὲν ἀγαθὸν χαλεπὸν εἶναι·
τῆς γὰρ ἀρετῆς ἔμπροσθεν τοὺς θεοὺς ἱδρῶτα
θεῖναι· ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται,
ῥηϊδίην δἤπειτα πέλειν, χαλεπήν περ ἐοῦσαν
[ἐκτῆσθαι].

---

6 sq. εἰπόντα — σχῶμεν del. Nab. Cf. Hom. Il. XXI. 300. | 10. ἐκπέρσῃ poetice = ἐκπορθήσῃ. | 26. seclusi τὸ — γενέσθαι. | 29—32. Hes. Op. 288 sqq.; 32. seclusi ἐκτῆσθαι, suadente v. Wageningen. Intellegi saltem posset κτᾶσθαι.

XXVII. *Ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτ᾽ ἐπῄνεσέν με·
ὁ δὲ Πρωταγόρας, Τὸ ἐπανόρθωμά σοι, ἔφη, ὦ Σώκρατες,
μεῖζον ἁμάρτημ᾽ ἔχει ἢ ὃ ἐπανορθοῖς. καὶ ἐγὼ εἶπον, Κακὸν
ἄρα μοι εἴργασται, ὡς ἔοικεν, ὦ Πρωταγόρα, καὶ εἰμί τις
γελοῖος ἰατρός, ἰώμενος μεῖζον τὸ νόσημα ποιῶν. Ἀλλ᾽ οὕτως* E
*ἔχει, ἔφη. Πῶς δή; ἦν δ᾽ ἐγώ. Πολλὴ ἄν, ἔφη, ἀμαθία
εἴη τοῦ ποιητοῦ, εἰ οὕτω φαῦλόν τί φησιν εἶναι τὴν ἀρετὴν
ἐκτῆσθαι, ὅ ἐστιν πάντων χαλεπώτατον, ὡς ἅπασιν δοκεῖ
ἀνθρώποις. καὶ ἐγὼ εἶπον, Νὴ τὸν Δία, εἰς καιρόν γε
παρατετύχηκεν ἡμῖν [ἐν τοῖς λόγοις] Πρόδικος ὅδε. κινδυνεύει
γάρ τοι, ὦ Πρωταγόρα, ἡ Προδίκου σοφία θεία τις εἶναι
πάλαι, ἤτοι ἀπὸ Σιμωνίδου ἀρξαμένη, ἢ καὶ ἔτι παλαιτέρα.* 341
*σὺ δ᾽ ἄλλων πολλῶν ἔμπειρος ὢν ταύτης ἄπειρος εἶναι φαίνει,
οὐχ ὥσπερ ἐγὼ ἔμπειρος διὰ τὸ μαθητὴς εἶναι Προδίκου
τουτουί· καὶ νῦν μοι δοκεῖς οὐ μανθάνειν, ὅτι καὶ τὸ χαλε-
πὸν τοῦτ᾽ ἴσως οὐχ οὕτως Σιμωνίδης ὑπελάμβανεν, ὥσπερ
σὺ ὑπολαμβάνεις, ἀλλ᾽ ὥσπερ περὶ τοῦ δεινοῦ Πρόδικός μ᾽
οὑτοσὶ νουθετεῖ ἑκάστοτε, ὅταν ἐπαινῶν ἐγὼ ἢ σὲ ἢ ἄλλον
τινὰ λέγω ὅτι [Πρωταγόρας] σοφὸς καὶ δεινός ἐστιν ἀνήρ,
ἐρωτᾷ εἰ οὐκ αἰσχύνομαι τἀγαθὰ δεινὰ καλῶν. τὸ γὰρ δεινόν,* B
*φησίν, κακόν ἐστιν· οὐδεὶς γοῦν λέγει ἑκάστοτε δεινοῦ πλού-
του οὐδὲ δεινῆς εἰρήνης οὐδὲ δεινῆς ὑγιείας, ἀλλὰ δεινῆς
νόσου καὶ δεινοῦ πολέμου καὶ δεινῆς πενίας[, ὡς τοῦ δεινοῦ
κακοῦ ὄντος]. ἴσως οὖν καὶ τὸ χαλεπὸν αὖ οἱ Κεῖοι καὶ ὁ
Σιμωνίδης ἢ κακὸν ὑπολαμβάνουσιν ἢ ἄλλο τι ὃ σὺ οὐ
μανθάνεις· ἐρώμεθ᾽ οὖν Πρόδικον· δίκαιον γὰρ τὴν Σιμω-
νίδου φωνὴν τοῦτον ἐρωτᾶν· τί ἔλεγεν, ὦ Πρόδικε, τὸ
χαλεπὸν Σιμωνίδης; Κακόν, ἔφη. Διὰ ταῦτ᾽ ἄρα καὶ* C
*μέμφεται, ἦν δ᾽ ἐγώ, ὦ Πρόδικε, τὸν Πιττακὸν λέγοντα
χαλεπὸν ἐσθλὸν ἔμμεναι, ὥσπερ ἂν εἰ ἤκουεν αὐτοῦ
λέγοντος ὅτι ἐστὶν κακὸν ἐσθλὸν ἔμμεναι. Ἀλλὰ τί οἴει,*

---

5. *ποιῶν* Hir.] *ποιῶ*. Possis etiam cum Zek. *ἰατρός*, ⟨*ὃς*⟩ — *ποιῶ*. | 12. *παλαίτερα* vH.] *παλαιότερα*. | 18. *νουθετεῖ* del. aut in *νουθετῶν* mut. Zek. | 19. expunxi nomen. | 23 sq. *ὡς* — *ὄντος* fort. spuria. | 28. *διὰ* del. Hir., Cob., fort. recte. Similiter attice dici solet *ταῦτ᾽ οὖν* sine praepositione. | 31. fort. delendum *ἐσθλὸν ἔμμεναι*.

ἔφη, λέγειν, ὦ Σώκρατες, Σιμωνίδην ἀλλ' ἢ τοῦτο, καὶ ὀνειδίζειν τῷ Πιττακῷ, ὅτι τὠνόματ' οὐκ ἠπίστατ' ὀρθῶς διαιρεῖν ἅτε Λέσβιος ὢν καὶ ἐν φωνῇ βαρβάρῳ τεθραμμένος; Ἀκούεις δή, ἔφην ἐγώ, ὦ Πρωταγόρα, Προδίκου τοῦδε. D ἔχεις τι πρὸς ταῦτα λέγειν; καὶ ὁ Πρωταγόρας, Πολλοῦ γε δεῖ, ἔφη, οὕτως ἔχειν, ὦ Πρόδικε· ἀλλ' ἐγὼ εὖ οἶδ' ὅτι καὶ Σιμωνίδης τὸ χαλεπὸν ἔλεγεν ὅπερ ἡμεῖς οἱ ἄλλοι, οὐ [τὸ] κακόν, ἀλλ' ὃ ἂν μὴ ῥᾴδιον ᾖ, ἀλλὰ διὰ πολλῶν πραγμάτων γίγνηται. Ἀλλὰ καὶ ἐγὼ οἶμαι, ἔφην, ὦ Πρωταγόρα, τοῦτο λέγειν Σιμωνίδην, καὶ Πρόδικόν γε τόνδε εἰδέναι, ἀλλὰ παίζειν καὶ σοῦ [δοκεῖν] ἀποπειρᾶσθαι, εἰ E οἷός τ' ἔσει τῷ σαυτοῦ λόγῳ βοηθεῖν· ἐπεὶ ὅτι γε Σιμωνίδης οὐ λέγει τὸ χαλεπὸν κακόν, μέγα τεκμήριόν ἐστιν εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα· λέγει γὰρ ὅτι

θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας,

οὐ δήπου τοῦτό γε λέγων, κακὸν ἐσθλὸν ἔμμεναι, εἶτα τὸν θεόν φησιν μόνον τοῦτ' ἂν ἔχειν καὶ τῷ θεῷ τοῦτο γέρας ἀπένειμε μόνῳ· ἀκόλαστον γὰρ ἄν τινα λέγοι Σιμωνίδην Πρόδικος καὶ οὐδαμῶς Κεῖον. ἀλλ' ἅ μοι δοκεῖ διανοεῖσθαι Σιμωνίδης ἐν τούτῳ τῷ ᾄσματι, ἐθέλω σοι εἰπεῖν, εἰ βούλει 342 λαβεῖν μου πεῖραν ὅπως ἔχω, ὃ σὺ λέγεις τοῦτο, περὶ ἐπῶν· ἐὰν δὲ βούλῃ, σοῦ ἀκούσομαι. ὁ μὲν οὖν Πρωταγόρας ἀκούσας μου ταῦτα λέγοντος, Εἰ σὺ βούλει, ἔφη, ὦ Σώκρατες· ὁ δὲ Πρόδικός τε καὶ ὁ Ἱππίας ἐκελευέτην πάνυ, καὶ οἱ ἄλλοι.

XXVIII. Ἐγὼ τοίνυν, ἦν δ' ἐγώ, ἅ γ' ἐμοὶ δοκεῖ περὶ τοῦ ᾄσματος τούτου, πειράσομαι ὑμῖν διεξελθεῖν. φιλοσοφία γάρ ἐστιν παλαιτάτη τε καὶ πλείστη τῶν Ἑλλήνων ἐν Κρήτῃ B τε καὶ ἐν Λακεδαίμονι, καὶ σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσίν· ἀλλ' ἐξαρνοῦνται καὶ σχηματίζονται ἀμαθεῖς εἶναι, ἵνα μὴ κατάδηλοι ὦσιν ὅτι σοφίᾳ τῶν Ἑλλήνων περίεισιν, ὥσπερ οὓς Πρωταγόρας ἔλεγε [τοὺς σοφιστάς], ἀλλὰ δοκῶσιν τῷ

---

1 sq. λέγειν et καὶ ante ὀνειδίζειν suspectat Zek. | 8. τὸ del. Hir. | 11. δοκεῖν del. Hartm. | 28. παλαιοτάτη codd. Vid. supra p. 341 A init. | 32. expunxi τοὺς σοφιστάς.

*μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖναι, ἡγούμενοι, εἰ γνωσθεῖεν ᾧ
περίεισιν, πάντας τοῦτ' ἀσκήσειν. νῦν δ' ἀποκρυψάμενοι
ἐκεῖν' ἐξηπατήκασιν τοὺς ἐν ταῖς πόλεσι λακωνίζοντας, καὶ
οἳ μὲν ὦτά τε κατάγνυνται μιμούμενοι αὐτούς, καὶ ἱμάντας* C
*περιειλίττονται καὶ φιλογυμναστοῦσιν καὶ βραχείας ἀναβολὰς
φοροῦσιν, ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς
Λακεδαιμονίους· οἱ δὲ Λακεδαιμόνιοι ἐπειδὰν βούλωνται
ἀνέδην τοῖς παρ' αὐτοῖς συγγενέσθαι σοφισταῖς, καὶ ἤδη
ἄχθωνται λάθρᾳ ξυγγιγνόμενοι, ξενηλασίας ποιοῦνται τῶν
τε λακωνιζόντων τούτων καὶ ἐάν τις ἄλλος ξένος ὢν ἐπιδη-
μήσῃ, [συγγίγνονται τοῖς σοφισταῖς λανθάνοντες τοὺς ξένους]
καὶ αὐτοὶ οὐδέν' ἐῶσιν τῶν νέων εἰς τὰς ἄλλας πόλεις ἐξιέ-* D
*ναι, ὥσπερ οὐδὲ Κρῆτες, ἵνα μὴ ἀπομανθάνωσιν ἃ αὐτοὶ
διδάσκουσιν. εἰσὶν δ' ἐν ταύταις ταῖς πόλεσιν οὐ μόνον
ἄνδρες ἐπὶ παιδεύσει μέγα φρονοῦντες, ἀλλὰ καὶ γυναῖκες.
γνοῖτε δ' ἄν, ὅτι ἐγὼ ταῦτ' ἀληθῆ λέγω καὶ Λακεδαιμόνιοι
πρὸς φιλοσοφίαν καὶ λόγους ἄριστα πεπαίδευνται, ὧδε· εἰ
γὰρ ἐθέλει τις Λακεδαιμονίων τῷ φαυλοτάτῳ συγγενέσθαι,* E
*τὰ μὲν πρῶτ' ἐν τοῖς λόγοις εὑρήσει αὐτὸν φαῦλόν τινα
φαινόμενον, ἔπειτα, ὅπου ἂν τύχῃ τῶν λεγομένων, ἐνέβαλεν
ῥῆμ' ἄξιον λόγου βραχὺ καὶ συνεστραμμένον ὥσπερ δεινὸς
ἀκοντιστής, ὥστε φαίνεσθαι τὸν προσδιαλεγόμενον παιδὸς
μηδὲν βελτίω. τοῦτ' οὖν αὐτὸ καὶ τῶν νῦν εἰσὶν οἳ κατανε-
νοήκασι καὶ τῶν πάλαι, ὅτι τὸ λακωνίζειν πολὺ μᾶλλόν
ἐστιν φιλοσοφεῖν ἢ φιλογυμναστεῖν, εἰδότες ὅτι τοιαῦθ' οἷόν
τ' εἶναι ῥήματα φθέγγεσθαι τελέως πεπαιδευμένου ἐστὶν
ἀνθρώπου. τούτων ἦν καὶ Θαλῆς ὁ Μιλήσιος καὶ Πιττακὸς* 343
*ὁ Μυτιληναῖος καὶ Βίας ὁ Πριηνεὺς καὶ Σόλων ὁ ἡμέτερος
καὶ Κλεόβουλος ὁ Λίνδιος καὶ Μύσων ὁ Χηνεύς, καὶ ἕβδο-
μος ἐν τούτοις ἐλέγετο ⟨ὁ⟩ Λακεδαιμόνιος Χίλων. οὗτοι πάντες
ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς Λακεδαιμονίων*

---

2. *τοῦτο* male suspectat Zek. | 5. De forma *εἱλίττω* fort. ubique Platoni reddenda pro *ἑλίττω* cf. Meist. p. 87, 4. | 8. *αὑτοῖς* Zek.] *αὐτοῖς*. | 9. *ποιοῦνται* dedi pro *ποιούμενοι*, deleto emblemate *συγγίγνονται — ξένους*. Zek. del. sola verba *λανθάνοντες τ. ξ.* | 19. *πρῶτα* Herm.] *πολλά*. | 30. inserui *ὁ*.

παιδείας· καὶ καταμάθοι ἂν τις αὐτῶν τὴν σοφίαν τοιαύτην
B *οὖσαν, ῥήματα βραχέα ἀξιομνημόνευθ' ἑκάστῳ εἰρημέν' ἃ*
οὗτοι καὶ κοινῇ ξυνελθόντες ἀπαρχὴν τῆς σοφίας ἀνέθεσαν
τῷ Ἀπόλλωνι εἰς τὸν νεὼν τὸν ἐν Δελφοῖς, γράψαντες ταῦτα,
ἃ δὴ πάντες ὑμνοῦσιν, γνῶθι σαυτόν καὶ μηδὲν ἄγαν.

Τοῦ δὴ ἕνεκα ταῦτα λέγω; ὅτι οὗτος ὁ τρόπος ἦν τῶν
παλαιῶν τῆς φιλοσοφίας, βραχυλογία τις Λακωνική· καὶ
δὴ καὶ τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα ἐγκω-
μιαζόμενον ὑπὸ τῶν σοφῶν, τὸ χαλεπὸν ἐσθλὸν ἔμ-
C *μεναι. ὁ οὖν Σιμωνίδης, ἅτε φιλότιμος ὢν ἐπὶ σοφίᾳ,*
ἔγνω ὅτι, εἰ καθέλοι τοῦτο τὸ ῥῆμα ὥσπερ εὐδοκιμοῦντ'
ἀθλητὴν [καὶ περιγένοιτ' αὐτοῦ], αὐτὸς εὐδοκιμήσει ἐν τοῖς
τότ' ἀνθρώποις. εἰς τοῦτ' οὖν τὸ ῥῆμα καὶ τούτου ἕνεκα
τούτῳ ἐπιβουλεύων [κολοῦσαι αὐτὸ] ἅπαν τὸ ᾆσμα πεποίη-
κεν, ὥς μοι φαίνεται.

XXIX. *Ἐπισκεψώμεθα δὴ αὐτὸ κοινῇ ἅπαντες, εἰ ἄρ'*
ἐγὼ ἀληθῆ λέγω. εὐθὺς γὰρ τὸ πρῶτον τοῦ ᾄσματος
D *μανικὸν ἂν φανείη, εἰ βουλόμενος λέγειν, ὅτι ἄνδρ' ἀγαθὸν*
γενέσθαι χαλεπόν, ἔπειτ' ἐνέβαλε τὸ μέν. τοῦτο γὰρ οὐδὲ
πρὸς ἕνα λόγον φαίνεται ἐμβεβλῆσθαι, ἐὰν μή τις ὑπολάβῃ
πρὸς τὸ τοῦ Πιττακοῦ ῥῆμ' ὥσπερ ἐρίζοντα λέγειν τὸν
Σιμωνίδην, λέγοντος τοῦ Πιττακοῦ ὅτι χαλεπὸν ἐσθλὸν
ἔμμεναι, ἀμφισβητοῦντ' εἰπεῖν ὅτι Οὔκ, ἀλλὰ γενέσθαι
μὲν χαλεπὸν ἄνδρ' ἀγαθόν ἐστιν, ὦ Πιττακέ, ὡς ἀληθῶς,
οὐκ ἀληθείᾳ ἀγαθόν, οὐδ' ἐπὶ τούτῳ λέγει τὴν ἀλήθειαν,
E *ὡς ἄρ' ὄντων τινῶν τῶν μὲν ὡς ἀληθῶς ἀγαθῶν, τῶν δ'*
ἀγαθῶν μέν, οὐ μέντοι ἀληθῶς· εὔηθες γὰρ τοῦτό γε φανείη
ἂν καὶ οὐ Σιμωνίδου· ἀλλ' ὑπερβατὸν δεῖ θεῖναι [ἐν τῷ
ᾄσματι] τὸ ἀλαθέως, οὑτωσί πως ὑπειπόντα τὸ τοῦ Πιττακοῦ,
ὥσπερ ἂν εἰ θεῖμεν αὐτὸν λέγοντα τὸν Πιττακὸν [καὶ Σιμω-
νίδην ἀποκρινόμενον, εἰπόντα] ὦ ἄνθρωποι, χαλεπὸν

---

2 sq. *ἃ οὗτοι]* *ὅτι* Kroschel, Zek. malit: *εἰρημένα ⟨ὧδε⟩· οὗτοι ⟨γὰρ⟩ κτέ.* Debuerat *εἰρημένα ⟨οὕτω⟩.* | 12. *καὶ — αὐτοῦ* del. Cob. | 14. delevi *κολοῦσαι αὐτό*, solum verbum Ast. An *αὐτός?* | 25. *οὐδ'* Herm.] *οὐκ.* | 27. fort. ⟨*ὡς*⟩ *ἀληθῶς.* | 28 sq. seclusi *ἐν τῷ ᾄσματι.* | 30 sq. *καὶ — εἰπόντα* del. Hartm.

ἐσθλὸν ἔμμεναι, τὸν δ' ἀποκρινόμενον ὅτι ὦ Πιττακέ, οὐκ ἀληθῆ λέγεις· οὐ γαρ εἶναι ἀλλὰ γενέσθαι μέν ἐστιν ἄνδρ' ἀγαθὸν χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τετυγμένον, χαλεπὸν ἀλαθέως. οὕτω φαίνεται [τὸ] πρὸς λόγον τὸ μὲν ἐμβεβλημένον καὶ τὸ ἀλαθέως ὀρθῶς ἐπ' ἐσχάτῳ κείμενον· καὶ τἄπιόντα πάντα τούτῳ μαρτυρεῖ, ὅτι οὕτως εἴρηται. πολλὰ μὲν γάρ ἔστι καὶ περὶ ἑκάστου τῶν ἐν τῷ ᾄσματι εἰρημένων B ἀποδεῖξαι ὡς εὖ πεποίηται· πάνυ γὰρ χαριέντως καὶ μεμελημένως ἔχει. ἀλλὰ μακρὸν ἂν εἴη αὔθ' οὕτω διελθεῖν· ἀλλὰ τὸν τύπον αὐτοῦ τὸν ὅλον διεξέλθωμεν καὶ τὴν βούλησιν, ὅτι παντὸς μᾶλλον ἔλεγχός ἐστιν τοῦ Πιττακείου ῥήματος διὰ παντὸς τοῦ ᾄσματος.

XXX. Λέγει γὰρ μετὰ τοῦτ' ὀλίγα διελθών, ὡς ἂν εἰ λέγοι [λόγον], ὅτι γενέσθαι μὲν ἄνδρ' ἀγαθὸν χαλεπὸν ἀλαθέως, οἷόν τε μέντοι ἐπί γε χρόνον τινά· γενόμενον δὲ διαμένειν ἐν ταύτῃ τῇ ἕξει καὶ εἶναι ἄνδρ' ἀγαθόν, ὡς C σὺ λέγεις, ὦ Πιττακέ, ἀδύνατον καὶ οὐκ ἀνθρώπειον, ἀλλὰ θεὸς ἂν μόνος τοῦτ' ἔχοι [τὸ] γέρας,

ἄνδρα δ' οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι,
ὃν ἂν ἀμήχανος συμφορὰ καθέλῃ.

τίν' οὖν ἀμήχανος συμφορὰ καθαιρεῖ [ἐν πλοίου ἀρχῇ]; δῆλον ὅτι οὐ τὸν ἰδιώτην· ὁ μὲν γὰρ ἰδιώτης ἀεὶ καθῄρηται· ὥσπερ οὖν οὐ τὸν κείμενόν τις ἂν καταβάλοι, ἀλλὰ τὸν μὲν ἑστῶτά ποτε [καταβάλοι ἄν τις, ὥστε κείμενον ποιῆσαι, τὸν δὲ κείμενον οὔ], οὕτω καὶ τὸν εὐμήχανον ὄντα ποτ' ἀμήχανος ἂν συμφορὰ καθέλοι, τὸν δ' ἀεὶ D ἀμήχανον ὄντ' οὔ· καὶ τον κυβερνήτην μέγας χειμὼν ἐπιπεσὼν ἀμήχανον ἂν ποιήσειεν, καὶ γεωργὸν χαλεπὴ ὥρα ἐπελθοῦσ' ἀμήχανον ἂν θείη, καὶ ἰατρὸν ταὐτὰ ταῦτα. τῷ μὲν γὰρ ἐσθλῷ ἐγχωρεῖ κακῷ γενέσθαι, ὥσπερ καὶ παρ' ἄλλου ποιητοῦ μαρτυρεῖται τοῦ εἰπόντος

αὐτὰρ ἀνὴρ ἀγαθὸς τότε μὲν κακός, ἄλλοτε δ' ἐσθλός·

---

15. seclusi λόγον. | 19. τὸ del. Hir. | 22. ἐν — ἀρχῇ del. Hartm. | 25 sq. καταβάλοι — οὔ olim delevi LRh. p. 43. | 33. τότε dedi pro τοτὲ.

E *τῷ δὲ κακῷ οὐκ ἐγχωρεῖ γενέσθαι, ἀλλ' ἀεὶ εἶναι ἀνάγκη· ὥστε τὸν μὲν εὐμήχανον καὶ σοφὸν καὶ ἀγαθὸν ἐπειδὰν ἀμήχανος συμφορὰ καθέλῃ, οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι· σὺ δὲ φῄς, ὦ Πιττακέ, χαλεπὸν ἐσθλὸν ἔμμεναι· τὸ δ' ἐστὶν γενέσθαι μὲν χαλεπόν, δυνατὸν δὲ [ἐσθλόν], ἔμμεναι δ' ἀδύνατον·*

πράξας [μὲν] γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός,
κακὸς δ', εἰ κακῶς.

345 *τίς οὖν εἰς γράμματ' ἀγαθὴ πρᾶξίς ἐστιν, καὶ τίς ἄνδρ' ἀγαθὸν ποιεῖ εἰς γράμματα; δῆλον ὅτι ἡ τούτων μάθησις. τίς δ' εὐπραγία ἀγαθὸν ἰατρὸν ποιεῖ; δῆλον ὅτι ἡ τῶν καμνόντων τῆς θεραπείας μάθησις. κακὸς δ', εἰ κακῶς· τίς οὖν ἂν κακὸς ἰατρὸς γένοιτο; δῆλον ὅτι ᾧ πρῶτον μὲν ὑπάρχει ἰατρῷ εἶναι, ἔπειτ' ἀγαθῷ ἰατρῷ· οὗτος γὰρ ἂν καὶ κακὸς γένοιτο· ἡμεῖς δ' οἱ [ἰατρικῆς] ἰδιῶται οὐκ ἄν ποτε γενοίμεθα κακῶς πράξαντες οὔτ' ἰατροὶ οὔτε τέκτονες* B *οὔτ' ἄλλ' οὐδὲν τῶν τοιούτων· ὅστις δὲ μὴ ἰατρὸς ἂν γένοιτο κακῶς πράξας, δῆλον ὅτι οὐδὲ κακὸς ἰατρός. οὕτω καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ γένοιτ' ἄν ποτε καὶ κακὸς ἢ ὑπὸ χρόνου ἢ ὑπὸ πόνου ἢ ὑπὸ νόσου ἢ ὑπ' ἄλλου τινὸς περιπτώματος[. αὕτη γὰρ μόνη ἐστὶ κακὴ πρᾶξις, ἐπιστήμης στερηθῆναι]· ὁ δὲ κακὸς ἀνὴρ οὐκ ἄν ποτε γένοιτο κακός· ἔστιν γὰρ ἀεί· ἀλλ' εἰ μέλλει κακὸς γενέσθαι, δεῖ αὐτὸν πρότερον ἀγαθὸν γενέσθαι. ὥστε καὶ τοῦτο τοῦ ᾄσματος πρὸς τοῦτο* C *τείνει, ὅτι εἶναι μὲν ἄνδρ' ἀγαθὸν οὐχ οἷόν τε [διατελοῦντα ἀγαθόν], γενέσθαι δ' [ἀγαθὸν] οἷόν τε, καὶ κακόν γε τὸν αὐτὸν τοῦτον· ἐπὶ πλεῖστον δὲ καὶ ἄριστοί εἰσιν οὓς ἂν οἱ θεοὶ φιλῶσιν.*

XXXI. *Ταῦτά τ' οὖν πάντα πρὸς τὸν Πιττακὸν εἴρηται, καὶ τἀπιόντα γε τοῦ ᾄσματος ἔτι μᾶλλον δηλοῖ. φησὶ γάρ·*

---

7. *πράξαις* (aeolice) Boeckh] *πράξας.* | *μὲν* del. Herm. | 8. *δ', εἰ* sc. *πράσσοι. δ' εἰ* Ast] *δὲ.* | 16. *ἰατρικῆς* del. Hartm. | 21 sq. *αὕτη — στερηθῆναι* Hoen. transp. post *τῶν τοιούτων* p. 346, A, 3. Del. Hartm. | 25. *διατελοῦντα ἀγαθόν* e Sch. coni. delevi, *διὰ τέλους* Cob., deleto cum Schneidewino *ἀγαθόν.* Zek. requirit *διὰ τέλους τὸν ἀγαθόν.* | 30. an [*τοῦ ᾄσματος*]?

τοὔνεκεν οὔ ποτ' ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν
διζήμενος κενεὰν ἐς ἄπρακτον ἐλπίδα μοῖραν
αἰῶνος βαλέω,
πανάμωμον ἄνθρωπον, εὐρυεδοῦς ὅσοι καρ-
πὸν αἰνύμεθα χθονός·
ἐπὶ δ' ὔμμιν εὑρὼν ἀπαγγελέω,

φησίν· οὕτω σφόδρα καὶ δι' ὅλου τοῦ ᾄσματος ἐπεξέρ- D
χεται τῷ τοῦ Πιττακοῦ ῥήματι·

πάντας δ' ἐπαίνημι καὶ φιλέω
ἑκὼν ὅστις ἔρδῃ
μηδὲν αἰσχρόν· ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται·

καὶ τοῦτ' ἐστὶ πρὸς ταὐτὸ τοῦτ' εἰρημένον. οὐ γὰρ οὕτως
ἀπαίδευτος ἦν Σιμωνίδης, ὥστε τούτους φάναι ἐπαινεῖν, ὃς
ἂν ἑκὼν μηδὲν κακὸν ποιῇ, ὡς ὄντων τινῶν οἳ ἑκόντες
κακὰ ποιοῦσιν. ἐγὼ γὰρ σχεδόν τι οἶμαι τοῦτο, ὅτι οὐδεὶς
τῶν σοφῶν ἀνδρῶν ἡγεῖται οὐδέν' ἀνθρώπων ἑκόντ' ἐξα-
μαρτάνειν οὐδ' αἰσχρά τε καὶ κακὰ ἑκοντ' ἐργάζεσθαι, ἀλλ' E
εὖ ἴσασιν ὅτι πάντες οἱ τὰ αἰσχρὰ καὶ τὰ κακὰ ποιοῦντες
ἄκοντες ποιοῦσιν· καὶ δὴ καὶ ὁ Σιμωνίδης οὐχ ὃς ἂν μὴ
κακὰ ποιῇ ἑκών, τούτων φησὶν ἐπαινέτης εἶναι, ἀλλὰ περὶ
ἑαυτοῦ λέγει τοῦτο τὸ ἑκών. ἡγεῖτο γὰρ ἄνδρα καλὸν κἀγα-
θὸν πολλάκις αὑτὸν ἐπαναγκάζειν φίλον τινὶ γίγνεσθαι καὶ
ἐπαινέτην [φιλεῖν καὶ ἐπαινεῖν], οἷον ἀνδρὶ πολλάκις συμ- 346
βῆναι μητέρ' ἢ πατέρ' ἀλλόκοτον ἢ πατρίδ' ἢ ἄλλο τι τῶν
τοιούτων. τοὺς μὲν οὖν πονηρούς, ὅταν τοιοῦτόν τι αὐτοῖς
συμβῇ, ὥσπερ ἀσμένους ὁρᾶν καὶ ψέγοντας ἐπιδεικνύναι
καὶ κατηγορεῖν τὴν πονηρίαν τῶν γονέων ἢ πατρίδος ἵν'
αὐτοῖς ἀμελοῦσιν αὐτῶν μὴ ἐγκαλῶσιν ἄνθρωποι μηδ'
ὀνειδίζωσιν [ὅτι ἀμελοῦσιν], ὥστ' ἔτι μᾶλλον ψέγειν τ' B
αὐτοὺς καὶ ἔχθρας ἑκουσίους πρὸς ταῖς ἀναγκαίαις προστί-
θεσθαι· τοὺς δ' ἀγαθοὺς ἐπικρύπτεσθαί τε καὶ ἐπαινεῖν

---

6. ἐπὶ (per tmesin) δ' ὔμμιν Bergk] ἐπειθ' ὑμῖν, alii aliter. | 11. ἀνάγκᾳ Diog. La.] ἀνάγκῃ codd. (Sch.). | 18 sq. nota Platonis doctrina, quae causa fuit falsae interpretationis. | 29. ὅτι ἀμελοῦσιν del. Zek.

ἀναγκάζεσθαι, καὶ ἐάν τι ὀργισθῶσιν τοῖς γονεῦσιν ἢ πατρίδι ἀδικηθέντες, αὐτοὺς ἑαυτοὺς παραμυθεῖσθαι καὶ διαλλάττεσθαι προσαναγκάζοντας ἑαυτοὺς φιλεῖν τοὺς ἑαυτῶν καὶ ἐπαινεῖν. πολλάκις· δέ, οἶμαι, καὶ Σιμωνίδης ἡγήσατο καὶ αὐτὸς ἢ τύραννον ἢ ἄλλον τινὰ τῶν τοιούτων ἐπαινέσαι καὶ
C ἐγκωμιάσαι οὐχ ἑκών, ἀλλ' ἀναγκαζόμενος. ταῦτα δὴ καὶ τῷ Πιττακῷ λέγει ὅτι ἐγώ, ὦ Πιττακέ, οὐ διὰ ταῦτά σε ψέγω· ὅτι εἰμὶ φιλόψογος, ἐπεὶ

ἔμοιγ' ἐξαρκεῖ ὃς ἂν μὴ κακὸς ᾖ
μηδ' ἄγαν ἀπάλαμνος, εἰδώς τ' ὀνασίπολιν
δίκαν ὑγιὴς ἀνήρ·
οὔ μιν ἐγὼ μωμήσομαι.
οὐ γάρ φιλόμωμός εἰμι·
τῶν γὰρ ἠλιθίων ἀπείρων γενέθλα,

ὥστ' εἴ τις χαίρει ψέγων, ἐμπλησθείη ἂν ἐκείνους μεμφόμενος.

πάντα τοι καλά, τοῖσί τ' αἰσχρὰ μὴ μέμεικται.

D οὐ τοῦτο λέγει, ὥσπερ ἂν εἰ ἔλεγε πάντα τοι λευκά, οἷς μέλανα μὴ μέμεικται· γελοῖον γὰρ ἂν εἴη πολλαχῇ· ἀλλ' ὅτι αὐτὸς καὶ τὰ μέσ' ἀποδέχεται ὥστε μὴ ψέγειν· καὶ οὐ ζητῶ, ἔφη, πανάμωμον ἄνθρωπον, εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθονός, ἐπὶ δ' ὔμμιν εὑρὼν ἀπαγγελέω· ὥστε τούτου γ' ἕνεκ' οὐδέν' ἐπαιτιάσομαι, ἀλλά μοι ἐξαρκεῖ, ἐὰν ᾖ μέσος καὶ μηδὲν κακὸν ποιῇ, ὡς ἐγὼ πάντας φιλέω καὶ ἐπαίνημι καὶ τῇ φωνῇ ἐνταῦθα κέχρηται τῇ τῶν Μυτιληναίων, ὡς πρὸς Πιττακὸν
E λέγων τὸ πάντας δ' ἐπαίνημι καὶ φιλέω ἑκών [ἐνταῦθα δεῖ ἐν τῷ ἑκὼν διαλαβεῖν λέγοντα] ὅστις ἔρδῃ μηδὲν αἰσχρόν, ἄκων δ' ἔστιν οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ. σὲ οὖν, καὶ εἰ μέσως ἔλεγες ἐπιεικῆ καὶ ἀληθῆ, ὦ

---

10. τ' ὀνασίπολιν Schneidewin] γε ὀνησίπολιν codd. (τ' ὀνησ. Herm.). | 13. φιλόμωμος εἰμι Sauppe Simonidi tribuens] εἰμι φιλόμωμος. | 17 et 19. μέμικται codd. et Sch. | 23. ἐπαιτιάσομαι (cf. μωμήσομαι 8)] Nab.] ἐπαινέσομαι. | 24. fort. ἀλλ' ἔμοιγ' ἐξαρκεῖ. | 28. emblema del. Hoen.

Πιττακέ, οὐκ ἄν ποτ' ἔψεγον. νῦν δέ — σφόδρα γὰρ καὶ 347
περὶ τῶν μεγίστων ψευδόμενος δοκεῖς ἀληθῆ λέγειν, διὰ
ταῦτά σ' ἐγὼ ψέγω.

Ταῦτά μοι δοκεῖ, ὦ Πρόδικε καὶ Πρωταγόρα, ἦν δ'
ἐγώ, Σιμωνίδης διανοούμενος πεποιηκέναι τοῦτο τὸ ᾆσμα.

XXXII. *Καὶ ὁ Ἱππίας, Εὖ μέν μοι δοκεῖς, ἔφη, ὦ*
Σώκρατες, καὶ σὺ περὶ τοῦ ᾄσματος διεληλυθέναι· ἔστι
μέντοι, ἔφη, καὶ ἐμοὶ λόγος περὶ αὐτοῦ εὖ ἔχων, ὃν ὑμῖν B
ἐπιδείξω, ἐὰν βούλησθε. καὶ ὁ Ἀλκιβιάδης, Ναί, ἔφη, ὦ
Ἱππία, εἰσαῦθίς γε· νῦν δὲ δίκαιόν ἐστιν, ἃ ὡμολογησάτην
πρὸς ἀλλήλω Πρωταγόρας καὶ Σωκράτης, Πρωταγόρας μὲν
εἰ ἔτι βούλεται ἐρωτᾶν, ἀποκρίνεσθαι Σωκράτη, εἰ δὲ δὴ
βούλεται Σωκράτει ἀποκρίνεσθαι, ἐρωτᾶν τὸν ἕτερον. καὶ
ἐγὼ εἶπον Ἐπιτρέπω μὲν ἔγωγε Πρωταγόρᾳ ὁπότερον αὐτῷ
ἥδιον· εἰ δὲ βούλεται, περὶ μὲν ᾀσμάτων τε καὶ ἐπῶν ἐάσω- C
μεν, περὶ δ' ὧν τὸ πρῶτον ἐγώ σ' ἠρώτησα, ὦ Πρωταγόρα,
ἡδέως ἂν ἐπὶ τέλος ἔλθοιμι μετὰ σοῦ σκοπούμενος. καὶ γὰρ
δοκεῖ μοι τὸ περὶ ποιήσεως διαλέγεσθαι ὁμοιότατον εἶναι
τοῖς συμποσίοις τοῖς τῶν φαύλων καὶ ἀγοραίων ἀνθρώπων.
καὶ γὰρ οὗτοι, διὰ τὸ μὴ δύνασθαι ἀλλήλοις δι' ἑαυτῶν
συνεῖναι ἐν τῷ πότῳ μηδὲ διὰ τῆς ἑαυτῶν φωνῆς καὶ τῶν
λόγων τῶν ἑαυτῶν ὑπ' ἀπαιδευσίας, τιμίας ποιοῦσι τὰς
αὐλητρίδας, πολλοῦ μισθούμενοι ἀλλοτρίαν φωνὴν [τὴν τῶν D
αὐλῶν], καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλήλοις σύνεισιν· ὅπου
δὲ καλοὶ κἀγαθοὶ συμπόται καὶ πεπαιδευμένοι εἰσίν, οὐκ ἂν
ἴδοις οὔτ' αὐλητρίδας οὔτ' ὀρχηστρίδας οὔτε ψαλτρίας, ἀλλ'
αὐτοὺς αὑτοῖς ἱκανοὺς ὄντας συνεῖναι ἄνευ τῶν λήρων τε
καὶ παιδιῶν τούτων διὰ τῆς αὑτῶν φωνῆς, λέγοντάς τε
καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως, κἢν πάνυ πολὺν E
οἶνον πίωσιν. οὕτω δὲ καὶ αἱ τοιαίδε συνουσίαι, ἐὰν μὲν

---

3. De carmine Simonideo egit F. Schwenck (Jahresbericht des k. k. ersten Staats-Gymnasiums in Graz 1889), Das Sim. Gedicht in Plat. Prot. und die Versuche dasselbe zu reconstruiren. | 19 sqq. cf. Plat. Symp. p. 176 E. | 23. delevi post Hartm. *τὴν — αὐλῶν*. | 25. *πεπαιδευμένοι* del. Sch. *καὶ πεπ.* t. et Ath., *καὶ ἐπαιδούμενοι* male Liebhold. Cum Burn. sequor Athenaeum. | 29. *κἢν] κἂν* libri.

λάβωνται ἀνδρῶν, οἷοίπερ ἡμῶν οἱ πολλοί φασιν εἶναι, οὐδὲν δέονται ἀλλοτρίας φωνῆς οὐδὲ ποιητῶν, οὓς οὔτ' ἀνερέσθαι οἷόν τ' ἐστὶν περὶ ὧν λέγουσιν, ἐπαγόμενοί τ' αὐτοὺς οἱ πολλοὶ ἐν τοῖς λόγοις οἱ μὲν ταὐτά φασιν τὸν ποιητὴν νοεῖν, οἱ δ' ἕτερα, περὶ πράγματος διαλεγόμενοι ⟨δ⟩ ἀδυνατοῦσιν ἐξελέγξαι· ἀλλὰ τὰς μὲν τοιαύτας συνου-
348 σίας ἐῶσιν χαίρειν, αὐτοὶ δ' ἑαυτοῖς σύνεισιν δι' ἑαυτῶν, ἐν τοῖς ἑαυτῶν λόγοις πεῖραν ἀλλήλων λαμβάνοντες καὶ διδόντες. τοὺς τοιούτους μοι δοκεῖ χρῆναι μᾶλλον μιμεῖσθαι ἐμέ τε καὶ σέ, καταθεμένους τοὺς ποιητὰς αὐτοὺς δι' ἡμῶν αὐτῶν πρὸς ἀλλήλους τοὺς λόγους ποιεῖσθαι, τῆς ἀληθείας καὶ ἡμῶν αὐτῶν πεῖραν λαμβάνοντας· κἢν μὲν βούλῃ ἔτι ἐρωτᾶν, ἑτοῖμός εἰμί σοι παρέχειν ἀποκρινόμενος· ἐὰν δὲ βούλῃ, σὺ ἐμοὶ παράσχες, περὶ ὧν μεταξὺ ἐπαυσάμεθα διεξιόντες, τούτοις τέλος ἐπιθεῖναι.

B Λέγοντος οὖν ἐμοῦ ταῦτα καὶ τοιαῦτ' ἄλλ' οὐδὲν ἀπεσάφει ὁ Πρωταγόρας ὁπότερα ποιήσοι. εἶπεν οὖν ὁ Ἀλκιβιάδης πρὸς τὸν Καλλίαν βλέψας, Ὦ Καλλία, δοκεῖ σοι, ἔφη, καὶ νῦν καλῶς Πρωταγόρας ποιεῖν, οὐκ ἐθέλων εἴτε δώσει λόγον εἴτε μὴ διασαφεῖν; ἐμοὶ γὰρ οὐ δοκεῖ· ἀλλ' ἤτοι διαλεγέσθω ἢ εἰπέτω ὅτι οὐκ ἐθέλει διαλέγεσθαι, ἵνα τούτῳ μὲν ταῦτα
C συνειδῶμεν, Σωκράτης δ' ἄλλῳ τῳ διαλέγηται ἢ ἄλλος ὅστις ἂν βούληται ἄλλῳ. καὶ ὁ Πρωταγόρας αἰσχυνθείς, ὥς γ' ἐμοὶ ἔδοξεν, τοῦ τ' Ἀλκιβιάδου ταῦτα λέγοντος καὶ τοῦ Καλλίου δεομένου καὶ τῶν ἄλλων σχεδόν τι ⟨πάντων⟩ τῶν παρόντων, μόγις προὐτράπετ' εἰς τὸ διαλέγεσθαι καὶ ἐκέλευεν ἐρωτᾶν αὐτὸν ὡς ἀποκρινούμενος.

XXXIII. Εἶπον δὴ ἐγώ, Ὦ Πρωταγόρα, μὴ οἴου διαλέγεσθαί μέ σοι ἄλλο τι βουλόμενον ἢ ἃ αὐτὸς ἀπορῶ ἑκάστοτε, ταῦτα διασκέψασθαι. ἡγοῦμαι γὰρ πάνυ λέγειν τὶ [τὸν Ὅμηρον] τὸ

D σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὁ τοῦ ἐνόησεν.

---

12. κἂν codd. | 25. Zek. post παρόντων add. πάντων, ego post τι. | 31. dedi τὶ pro τι, deleto cum Sch. nomine. | 32. Hom. Il. X 224.

εὐπορώτεροι γάρ ⟨οὕτως⟩ πως ἅπαντές ἐσμεν ἄνθρωποι πρὸς ἅπαν ἔργον καὶ λόγον καὶ διανόημα· μοῦνος δ' εἴπερ τε νοήσῃ, αὐτίκα περιιὼν ζητεῖ ὅτῳ ἐπιδείξεται καὶ μεθ' ὅτου βεβαιώσεται, ἕως ἂν ἐντύχῃ. ὥσπερ καὶ ἐγὼ ἕνεκα τούτου σοὶ ἡδέως διαλέγομαι μᾶλλον ἢ ἄλλῳ τινί, ἡγούμενός σε βέλτιστ' ἂν ἐπισκέψασθαι καὶ περὶ τῶν ἄλλων περὶ ὧν εἰκὸς σκοπεῖσθαι τὸν ἐπιεικῆ, καὶ δὴ καὶ περὶ ἀρετῆς. τίνα E
γὰρ ἄλλον ἢ σέ; ὅς γ' οὐ μόνον αὐτὸς οἴει καλὸς κἀγαθὸς εἶναι, ὥσπερ τινὲς ⟨καὶ⟩ ἄλλοι· αὐτοὶ μὲν ⟨γὰρ⟩ ἐπιεικεῖς εἰσιν, ἄλλους δ' οὐ δύνανται ποιεῖν· σὺ δὲ καὶ αὐτὸς ἀγαθὸς εἶ καὶ ἄλλους οἷός τ' εἶ ποιεῖν ἀγαθούς. καὶ οὕτω πεπίστευκας σαυτῷ, ὥστε καὶ ἄλλων ταύτην τὴν τέχνην ἀποκρυπτομένων σύ γ' ἀναφανδὸν σεαυτὸν ὑποκηρυξάμενος εἰς πάντας τοὺς Ἕλληνας, σοφιστὴν ἐπονομάσας, σεαυτὸν ἀπέφηνας παιδεύ- 349
σεως καὶ ἀρετῆς διδάσκαλον, πρῶτος τούτου μισθὸν ἀξιώσας ἄρνυσθαι. πῶς οὖν οὐ σὲ χρῆν παρακαλεῖν ἐπὶ τὴν τούτων σκέψιν καὶ ἐρωτᾶν καὶ ἀνακοινοῦσθαι; οὐκ ἔσθ' ὅπως οὔ. καὶ νῦν δὴ ἐγὼ ἐκεῖνα, ἅπερ τὸ πρῶτον ἠρώτων περὶ τούτων, πάλιν ἐπιθυμῶ ἐξ ἀρχῆς τὰ μὲν ἀναμνησθῆναι παρὰ σοῦ, τὰ δὲ συνδιασκέψασθαι. ἦν δέ, ὡς ἐγῷμαι, τὸ ἐρώτημα B
τόδε· σοφία καὶ σωφροσύνη καὶ ἀνδρεία καὶ δικαιοσύνη καὶ ὁσιότης, πότερον ταῦτα, πέντ' ὄντ' ὀνόματα, ἐφ' ἑνὶ πράγματι ἔστιν, ἢ ἑκάστῳ τῶν ὀνομάτων τούτων ὑπόκειταί τις ἴδιος οὐσία καὶ πρᾶγμ' ἔχον ἑαυτοῦ δύναμιν ἕκαστον, οὐκ ὂν οἷον θάτερον αὐτῶν θάτερον; ἔφησθ' οὖν σὺ οὐκ ὀνόματα ⟨πέντ'⟩ ἐφ' ἑνὶ εἶναι, ἀλλ' ἕκαστον ἰδίῳ πράγματι [τῶν ὀνομάτων τούτων] ἐπικεῖσθαι, πάντα δὲ ταῦτα μόρι' εἶναι C
ἀρετῆς, οὐχ ὡς τὰ τοῦ χρυσοῦ μόρι' ὅμοι' ἐστὶν ἀλλήλοις καὶ τῷ ὅλῳ οὗ μόρι' ἐστίν, ἀλλ' ὡς τὰ τοῦ προσώπου μόρια καὶ τῷ ὅλῳ οὗ μόρι' ἐστὶν καὶ ἀλλήλοις ἀνόμοια, ἰδίαν ἕκαστον δύναμιν ἔχοντα. ταῦτ' εἰ μέν σοι δοκεῖ ἔτι ὥσπερ τότε, φάθι· εἰ δ' ἄλλως πως, τοῦτο διόρισαι, ὡς

---

1. οὕτως πως vel οὕτως Heind.] πως. | 9 sq. καὶ et γὰρ add. Zek. | 14. σεαυτὸν del. Hartm. | 15 sq. μισθὸν — ἄρνυσθαι poetice pro μισθαρνεῖν sive μ. φέρειν. | 23. πράγματι ἔστιν Zek.] πράγματ' ἐστιν. | 25. ⟨καὶ⟩ οὐκ idem. | 26. πέντε (ε') add. Rich. | 31. ἕκαστον Hir.] ἕκαστα.

ἔγωγ᾽ οὐδέν σοι ὑπόλογον τίθεμαι, ἐάν πῃ ἄλλῃ νῦν φήσῃς·
D οὐ γὰρ ἂν θαυμάζοιμι, εἰ τότ᾽ ἀποπειρώμενός μου ταῦτ᾽
ἔλεγες.

XXXIV. Ἀλλ᾽ ἐγώ σοι, ἔφη, λέγω, ὦ Σώκρατες, ὅτι
ταῦτα πάντα μόρια μέν ἐστιν ἀρετῆς, καὶ τὰ μὲν τέτταρ᾽
αὐτῶν ἐπιεικῶς παραπλήσι᾽ ἀλλήλοις ἐστίν, ἡ δ᾽ ἀνδρεία
πάνυ πολὺ διαφέρον πάντων τούτων. ὧδε δὲ γνώσει ὅτι
ἐγὼ ἀληθῆ λέγω· εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων
ἀδικωτάτους μὲν ὄντας καὶ ἀνοσιωτάτους καὶ ἀκολαστοτάτους
καὶ ἀμαθεστάτους, ἀνδρείους δὲ διαφερόντως. Ἔχε δή,
E ἔφην ἐγώ· ἄξιον γάρ τοι ἐπισκέψασθαι ὃ λέγεις. πότερον
τοὺς ἀνδρείους θαρραλέους λέγεις ἢ ἄλλο τι; Καὶ ἴτας γ᾽,
ἔφη, ἐφ᾽ ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι. Φέρε δή, τὴν ἀρετὴν
καλόν τι φῂς εἶναι, καὶ ὡς καλοῦ ὄντος αὐτοῦ σὺ διδάσκαλον
σαυτὸν παρέχεις; Κάλλιστον μὲν οὖν, ἔφη, εἰ μὴ μαίνομαί γε.
Πότερον οὖν, ἦν δ᾽ ἐγώ, τὸ μέν τι αὐτοῦ αἰσχρόν, τὸ δέ τι
καλόν, ἢ ὅλον καλόν; Ὅλον που καλὸν ὡς οἷόν τε μάλιστα.
350 Οἶσθ᾽ οὖν τίνες εἰς τὰ φρέατα κολυμβῶσιν θαρραλέως;
Ἔγωγε, ὅτι οἱ κολυμβηταί. Πότερον διότι ἐπίστανται ἢ δι᾽
ἄλλο τι; Ὅτι ἐπίστανται. Τίνες δ᾽ ἀπὸ τῶν ἵππων πολεμεῖν
θαρραλέοι εἰσίν; πότερον οἱ ἱππικοὶ ἢ οἱ ἄφιπποι; Οἱ ἱππικοί.
Τίνες δὲ πέλτας ἔχοντες; οἱ πελταστικοὶ ἢ οἱ μή; Οἱ πελταστικοί.
καὶ τἆλλα γε πάντα, εἰ τοῦτο ζητεῖς, ἔφη, οἱ ἐπιστήμονες
τῶν μὴ ἐπισταμένων θαρραλεώτεροί εἰσιν, καὶ αὐτοὶ ἑαυτῶν,
B ἐπειδὰν μάθωσιν, ἢ πρὶν μαθεῖν. Ἤδη δέ τινας ἑόρακας,
ἔφην, πάντων τούτων ἀνεπιστήμονας ὄντας, θαρροῦντας δὲ
πρὸς ἕκαστα τούτων; Ἔγωγε, ἦ δ᾽ ὅς, καὶ λίαν γε θαρροῦντας.
Οὐκοῦν οἱ θαρραλέοι οὗτοι καὶ ἀνδρεῖοί εἰσιν;
Αἰσχρὸν μεντἄν, ἔφη, εἴη ἡ ἀνδρεία· ἐπεὶ οὗτοί γε μαινόμενοί
εἰσιν. Πῶς οὖν, ἔφην ἐγώ, ἔλεγες τοὺς ἀνδρείους;
οὐχὶ [τοὺς] θαρραλέους εἶναι; Καὶ νῦν γ᾽, ἔφη. Οὐκοῦν
C οὗτοι, ἦν δ᾽ ἐγώ, οἱ οὕτω θαρραλέοι ὄντες οὐκ ἀνδρεῖοι

---

1. ὑπόλογον τίθεμαι = ὑπολογίζομαι. | 10. ἀνδρείους Cob.] ἀνδρειοτάτους. Perperam Sch. del. διαφερόντως. Similia vitia et alibi occurrunt. | 25. ἑώρακας tralaticio errore codd. | 30. ἔλεγες Hir.] λέγεις.

ἀλλὰ μαινόμενοι φαίνονται; καὶ ἐκεῖ αὖ οἱ σοφώτατοι, οὗτοι
καὶ θαρραλεώτατοί εἰσιν, θαρραλεώτατοι δ' ὄντες ἀνδρειό-
τατοι; καὶ κατὰ τοῦτον τὸν λόγον ἡ σοφία ἂν ἀνδρεία εἴη;
Οὐ καλῶς, ἔφη, μνημονεύεις, ὦ Σώκρατες, ἃ ἔλεγόν τε
καὶ ἀπεκρινόμην σοι. ἐγὼ γὰρ ἐρωτηθεὶς ὑπὸ σοῦ, εἰ οἱ
ἀνδρεῖοι θαρραλέοι εἰσίν, ὡμολόγησα· εἰ δὲ καὶ οἱ θαρρα-
λέοι ἀνδρεῖοι, οὐκ ἠρωτήθην· εἰ γάρ με τοῦτ' ἤρου, εἶπον
ἂν ὅτι οὐ πάντες· τοὺς δ' ἀνδρείους ὡς [οὐ] θαρραλέοι εἰσίν, D
τοὐμὸν ὁμολόγημα, οὐδαμοῦ ὠποδείξας ὡς οὐκ ὀρθῶς
ὡμολόγησα, ἔπειτα τοὺς ἐπισταμένους αὐτοὺς ἑαυτῶν θαρ-
ραλεωτέρους ὄντας ἀποφαίνεις καὶ μὴ ἐπισταμένων ἄλλων,
καὶ ἐν τούτῳ οἴει τὴν ἀνδρείαν καὶ τὴν σοφίαν ταὐτὸν εἶναι·
τούτῳ δὲ τῷ τρόπῳ μετιὼν καὶ τὴν ἰσχὺν οἰηθείης ἂν εἶναι
σοφίαν. πρῶτον μὲν γὰρ εἰ οὕτω μετιὼν ἔροιό μ' εἰ οἱ
ἰσχυροὶ δυνατοί εἰσιν, φαίην ἄν· ἔπειτα, εἰ οἱ ἐπιστάμενοι E
παλαίειν δυνατώτεροί εἰσιν τῶν μὴ ἐπισταμένων [παλαίειν]
καὶ αὐτοὶ αὑτῶν, ἐπειδὰν μάθωσιν, ἢ πρὶν μαθεῖν, φαίην ἄν·
ταῦτα δ' ἐμοῦ ὁμολογήσαντος ἐξείη ἄν σοι, χρωμένῳ τοῖς
αὐτοῖς τεκμηρίοις τούτοις, λέγειν ὡς κατὰ τὴν ἐμὴν ὁμολο-
γίαν ἡ σοφία ἐστὶν ἰσχύς. ἐγὼ δ' οὐδαμοῦ οὐδ' ἐνταῦθ'
ὁμολογῶ τοὺς δυνατοὺς ἰσχυροὺς εἶναι, τοὺς μέντοι ἰσχυροὺς
δυνατούς· οὐ γὰρ ταὐτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ 351
τὸ μὲν καὶ ἀπ' ἐπιστήμης γίγνεσθαι, τὴν δύναμιν, καὶ ἀπὸ
μανίας τε καὶ ἀπὸ θυμοῦ, ἰσχὺν δ' ἀπὸ φύσεως καὶ εὐτρο-
φίας τῶν σωμάτων. οὕτω δὲ κἀκεῖ οὐ ταὐτὸν εἶναι θάρρος
τε καὶ ἀνδρείαν· ὥστε συμβαίνει τοὺς μὲν ἀνδρείους θαρ-
ραλέους εἶναι, μὴ μέντοι τούς γε θαρραλέους ἀνδρείους
πάντας· θάρρος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις
καὶ ἀπὸ θυμοῦ τε καὶ [ἀπὸ] μανίας, ὥσπερ ἡ δύναμις, B
ἀνδρεία δ' ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν [γίγνεται].

XXXV. Λέγεις δέ τινας ⟨μέν⟩, ἔφην, ὦ Πρωταγόρα, τῶν
ἀνθρώπων εὖ ζῆν, τοὺς δὲ κακῶς; Ἔφη. Ἆρ' οὖν δοκεῖ σοι

---

5. ἔγω γὰρ Hir.] ἔγωγε. | 8. οὐ del. Zek. Frustra tuetur Kroschel. | 9. ἐπιδείξας Hir.] ἐπέδειξας. Malui ἀποδείξας. | 16. delevi παλαίειν. | 25 et 28. θάρρος dedi pro θάρσος. Cf. p. 204, 13 et 17. | 29. ἀπὸ del. Nab. | 30. γίγνεται, quod Hir. del. vs. 28, hic abesse malim. | 31. addidi μέν.

ἄνθρωπος ἂν εὖ ζῆν, εἰ ἀνιώμενός τε καὶ ὀδυνώμενος ζῴη; Οὐκ ἔφη. Τί δ', εἰ ἡδέως βιοὺς τὸν βίον τελευτήσειεν, οὐκ εὖ ἄν σοι δοκοίη οὕτως βεβιωκέναι; Ἔμοιγ', ἔφη. Τὸ μὲν
C ἄρ' ἡδέως ζῆν ἀγαθόν, τὸ δ' ἀηδῶς κακόν. Εἴπερ τοῖς καλοῖς γ', ἔφη, ζῴη ἡδόμενος. Τί δή, ὦ Πρωταγόρα; μὴ καὶ σύ, ὥσπερ οἱ πολλοί, ἡδέ' ἄττα καλεῖς κακὰ καὶ ἀνιάρ' ἀγαθά; ἐγὼ γὰρ λέγω, καθ' ὃ ἡδέα ⟨τὰ ἡδέα⟩ ἐστίν, ἆρα κατὰ τοῦτ' οὐκ ἀγαθά, ⟨εἰ⟩ μὴ εἴ τι ἀπ' αὐτῶν ἀποβήσεται ἄλλο; καὶ αὖθις αὖ τἀνιάρ' ὡσαύτως οὕτως οὐ καθ' ὅσον ἀνιαρά, κακά; Οὐκ οἶδα, ὦ Σώκρατες, ἔφη, ἁπλῶς οὕτως,
D ὡς σὺ ἐρωτᾷς, εἰ ἐμοὶ ἀποκριτέον ἐστίν, ὡς τὰ ἡδέα τ' ἀγάθ' ἐστιν ἅπαντα καὶ τἀνιαρὰ κακά· ἀλλά μοι δοκεῖ οὐ μόνον πρὸς τὴν νῦν ἀπόκρισιν ἐμοὶ ἀσφαλέστερον εἶναι ἀποκρίνασθαι, αλλὰ καὶ πρὸς πάντα τὸν ἄλλον βίον τὸν ἐμόν, ὅτι ἔστι μὲν ἃ τῶν ἡδέων οὐκ ἔστιν ἀγαθά, ἔστι δ' αὖ καὶ ἃ τῶν ἀνιαρῶν οὐκ ἔστι κακά, ἔστι δ' ἃ ἔστιν, καὶ τρίτον ἃ οὐδέτερα, οὔτε κάκ' οὔτ' ἀγαθά. Ἡδέα δὲ καλεῖς, ἦν δ' ἐγώ, οὐ τὰ ἡδονῆς μετέχοντ' ἢ ποιοῦνθ' ἡδονήν;
E Πάνυ γ', ἔφη. Τοῦτο τοίνυν λέγω, καθ' ὅσον ἡδέ' ἐστίν, εἰ οὐκ ἀγαθά, τὴν ἡδονὴν αὐτὴν ἐρωτῶν εἰ οὐκ ἀγαθόν ἐστιν. Ὥσπερ σὺ λέγεις, ἔφη, ἑκάστοτε, ὦ Σώκρατες, σκοπώμεθ' αὐτό, καὶ ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα καὶ ταὐτὸ φαίνεται ἡδύ τε καὶ ἀγαθόν, συγχωρησόμεθα· εἰ δὲ μή, τότ' ἤδη ἀμφισβητήσομεν. Πότερον οὖν, ἦν δ' ἐγώ, σὺ βούλει ἡγεμονεύειν τῆς σκέψεως, ἢ ἐγὼ ἡγῶμαι; Δίκαιος, ἔφη, σὺ ἡγεῖσθαι· σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου.
352 Ἆρ' οὖν, ἦν δ' ἐγώ, τῇδέ πῃ καταφανὲς ἂν ἡμῖν γένοιτο; ὥσπερ εἴ τις ἄνθρωπον σκοπῶν ἐκ τοῦ εἴδους ἢ πρὸς ὑγίειαν ἢ πρὸς ἄλλο τι τῶν τοῦ σώματος ἔργων, ἰδὼν τὸ πρόσωπον καὶ τὰς χεῖρας ἄκρας εἴποι· ἴθι δή μοι ἀποκαλύψας καὶ τὰ στήθη καὶ τὸ μετάφρενον ἐπίδειξον, ἵν' ἐπισκέψωμαι σαφέστερον· καὶ ἐγὼ τοιοῦτόν τι ποθῶ πρὸς τὴν σκέψιν· θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τἀγαθὸν καὶ τὸ ἡδύ, ὡς φῄς,

---

6. *ἀνιάρ' ἄττ' ἀγαθά* Nab. fort. recte. | 7. *τὰ ἡδέα* add. Heind. | 8. *εἰ* add. Thompson. | 9. *ὡσαύτως οὕτως*, *prorsus eodem modo*.

δέομαι τοιοῦτόν τι εἰπεῖν· ἴθι δή μοι, ὦ Πρωταγόρα, καὶ τόδε τῆς διανοίας ἀποκάλυψον· πῶς ἔχεις πρὸς ἐπιστήμην; B *πότερον καὶ τοῦτό σοι δοκεῖ ὥσπερ τοῖς πολλοῖς [ἀνθρώποις], ἢ ἄλλως; δοκεῖ δὲ τοῖς πολλοῖς περὶ ἐπιστήμης τοιοῦτόν τι, οὐκ ἰσχυρὸν οὐδ' ἡγεμονικὸν οὐδ' ἀρχικὸν εἶναι· οὐδ' ὡς περὶ τοιούτου αὐτοῦ ὄντος διανοοῦνται, ἀλλ' ἐνούσης πολλάκις ἀνθρώπῳ ἐπιστήμης οὐ τὴν ἐπιστήμην αὐτοῦ ἄρχειν, ἀλλ' ἄλλο τι, τότε μὲν θυμόν, τότε δ' ἡδονήν, τότε δὲ λύπην, ἐνίοτε δ' ἔρωτα, πολλάκις δὲ φόβον, ἀτεχνῶς* C *διανοούμενοι περὶ τῆς ἐπιστήμης, ⟨ὡς⟩ ὥσπερ [περὶ] ἀνδραπόδου περιελκομένης ὑπὸ τῶν ἄλλων ἁπάντων. ἆρ' οὖν καὶ σοὶ τοιοῦτόν τι περὶ αὐτῆς δοκεῖ, ἢ καλόν τ' εἶναι ἡ ἐπιστήμη καὶ οἷον ἄρχειν τἀνθρώπου, καὶ ἐάνπερ γιγνώσκῃ τις τἀγαθὰ καὶ τὰ κακά, μὴ ἂν κρατηθῆναι ὑπὸ μηδενός, ὥστ' ἄλλ' ἄττα πράττειν ἢ ἂν ἐπιστήμη κελεύῃ, ἀλλ' ἱκανὴν εἶναι τὴν φρόνησιν βοηθεῖν τἀνθρώπῳ; Καὶ δοκεῖ, ἔφη, ὥσπερ σὺ λέγεις, ὦ Σώκρατες, καὶ ἅμα, εἴπερ τῳ ἄλλῳ, αἰσχρόν ἐστι καὶ ἐμοὶ σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων* D *κράτιστον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Καλῶς γε, ἔφην ἐγώ, σὺ λέγων καὶ ἀληθῆ. οἶσθ' οὖν ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμοί τε καὶ σοὶ οὐ πείθονται, ἀλλὰ πολλούς φασι γιγνώσκοντας τὰ βέλτιστ' οὐκ ἐθέλειν πράττειν, ἐξὸν αὐτοῖς, ἀλλ' ἄλλα πράττειν· καὶ ὅσους δὴ ἐγὼ ἠρόμην ὅ τί ποτ' αἴτιόν ἐστι τούτου, ὑφ' ἡδονῆς φασὶν ἡττωμένους ἢ λύπης ἢ ὧν νυνδὴ ἐγὼ ἔλεγον ὑπό τινος τούτων κρατου-* E *μένους ταῦτα ποιεῖν τοὺς ποιοῦντας. Πολλὰ γὰρ οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ἄλλ' οὐκ ὀρθῶς λέγουσιν ἄνθρωποι. Ἴθι δὴ μετ' ἐμοῦ ἐπιχείρησον πείθειν τοὺς ἀνθρώπους καὶ διδάσκειν ὅ ἐστιν αὐτοῖς τοῦτο τὸ πάθος, ὅ φασιν ὑπὸ τῶν* 353 *ἡδονῶν ἡττᾶσθαι καὶ οὐ πράττειν διὰ ταῦτα τὰ βέλτιστα, ἐπεὶ γιγνώσκειν γ' αὐτά. ἴσως γὰρ ἂν λεγόντων ἡμῶν ὅτι οὐκ ὀρθῶς λέγετε, ὦ ἄνθρωποι, ἀλλὰ ψεύδεσθε, ἔροιντ' ἂν ἡμᾶς· ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστιν*

---

3 sq. delevi *ἀνθρώποις*. Mox requiro *τοιόνδε τι.* | 8. *τότε]* *τοτὲ.* | 10. *ὡς* add. et *περὶ* del. Zek., qui cft Ar. Eth. Nic. II. 3. Sensus: ***ut de re, quae servi ad instar circumraptatur.***

τοῦτο τὸ πάθημ' ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστίν, καὶ τί ὑμεῖς αὐτό φατ' εἶναι; εἴπατον ἡμῖν. Τί δέ, ὦ Σώκρατες, δεῖ ἡμᾶς σκοπεῖσθαι τὴν τῶν πολλῶν δόξαν [ἀνθρώπων], B *οἳ ὅ τι ἂν τύχωσι τοῦτο λέγουσιν; Οἶμαι, ἦν δ' ἐγώ, εἶναι τὶ ἡμῖν τοῦτο πρὸς τὸ ἐξευρεῖν περὶ ἀνδρείας, πρὸς τἆλλα μόρια τὰ τῆς ἀρετῆς πῶς ποτ' ἔχει. εἰ οὖν σοι δοκεῖ ἐμμένειν οἷς ἄρτι ἔδοξεν ἡμῖν, ἐμ' ἡγήσασθαι, ᾗ οἶμαι ἂν ἔγωγε κάλλιστα φανερὸν γενέσθαι, ἕπου· εἰ δὲ μὴ [βούλει, εἴ] σοι φίλον, ἐῶ χαίρειν. Ἀλλ' ἔφη, ὀρθῶς λέγεις· καὶ πέραιν' ὥσπερ ἤρξω.*

C XXXVI. *Πάλιν τοίνυν, ἔφην ἐγώ, εἰ ἔροινθ' ἡμᾶς· τί οὖν φατὲ τοῦτ' εἶναι, ὃ ἡμεῖς ἥττω εἶναι τῶν ἡδονῶν λέγομεν; εἴποιμ' ἂν ἔγωγε πρὸς αὐτοὺς ὡδί· ἀκούετε δή. πειρασόμεθα γὰρ ὑμῖν ἐγώ τε καὶ Πρωταγόρας φράσαι. ἄλλο τι γάρ, ὦ ἄνθρωποι, φαθ' ὑμῖν τοῦτο γίγνεσθαι ἐν τοῖσδε, οἷον πολλάκις ὑπὸ σίτων καὶ ποτῶν καὶ ἀφροδισίων κρατούμενοι ἡδέων ὄντων, γιγνώσκοντες ὅτι πονήρ' ἐστιν, ὅμως αὐτὰ πράττειν; Φαῖεν ἄν. Οὔκουν ἐροίμεθ' ἂν αὐτοὺς ἐγώ τε καὶ σὺ πάλιν· πονηρὰ δ' αὐτὰ πῇ φατ' εἶναι; πότερον* D *ὅτι τὴν ἡδονὴν ταύτην ἐν τῷ παραχρῆμα παρέχει καὶ ἡδύ ἐστιν ἕκαστον αὐτῶν, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον νόσους τε ποιεῖ καὶ πενίας καὶ ἄλλα τοιαῦτα πολλὰ παρασκευάζει; ἢ κἂν εἴ [τι] τούτων εἰς τὸ ὕστερον μηδὲν παρασκευάζοι, χαίρειν δὲ μόνον ποιοίη, ὅμως [δ'] ἂν κάκ' εἴη, ⟨εἰ⟩ ὅτι⟨δὴ⟩ παθόντα χαίρειν ποιεῖ καὶ ὁπηοῦν; ἆρ' οἰόμεθ' ἂν αὐτούς, ὦ Πρωταγόρα, ἄλλο τι ἀποκρίνασθαι, ἢ ὅτι οὐ κατὰ τὴν* E *αὐτῆς τῆς ἡδονῆς τῆς παραχρῆμ' ἐργασίαν κάκ' ἐστιν, ἀλλὰ διὰ τὰ ὕστερον γιγνόμενα, νόσους τε καὶ τἆλλα. Ἐγὼ μὲν*

---

2. *εἴπατον*. Poenitet me in praegressis non ubique Platoni reddidisse formas atticas *εἶπας, εἴπατε, εἴπατον, εἰπάτην* pro formis *εἶπες, εἴπετε, εἴπετον, εἰπέτην*. Cf. *Praefatio*. | 3. *ἀνθρώπων* del. Hir. | 4 sq. *εἶναι τὶ* vH.] *εἶναί τι*. | 8. delevi *βούλει, εἴ* L. Rh. p. 43. Post me in idem incidit Hartm. | 12 sq. *λέγομεν* Cob.] *ἐλέγομεν*. | 16. *τοιοῖσδε* Kroschel. | 17. *ὄντων ⟨πάσχειν⟩* Zek. | 23. *τι* del. Nattmann. | 23 sq. *παρασκευάζοι — ποιοῖ* Baiter] *-ζει — εἶ*. Dedi *ποιοίη*. Rich. *παρεσκεύαζε — ἐποίει*. | 24. *δ'* del. Schleiermacher | *εἰ* et *δὴ* add. Zek.

οἶμαι, ἔφη ὁ Πρωταγόρας, τοὺς πολλοὺς ἂν ταῦτ' ἀποκρίνασθαι. Οὔκουν νόσους [ποιοῦντα ἀνίας ποιεῖ] καὶ πενίας ποιοῦντ' ἀνίας ποιεῖ; ὁμολογοῖεν ἄν, ὡς ἐγᾦμαι. Συνέφη 354 *ὁ Πρωταγόρας. Οὔκουν φαίνεται, ὦ ἄνθρωποι, ὑμῖν, ὥς φαμεν ἐγώ τε καὶ Πρωταγόρας, δι' οὐδὲν ἄλλο ταῦτα κάκ' ὄντα, ἢ διότι εἰς ἀνίας τ' ἀποτελευτᾷ καὶ ἄλλων ἡδονῶν ἀποστερεῖ; ὁμολογοῖεν ἄν; Συνεδόκει ἡμῖν ἀμφοῖν. Οὔκουν πάλιν αὖ· αὐτοὺς τοὐναντίον εἰ ἐροίμεθα· ὦ ἄνθρωποι οἱ λέγοντες αὖ ἀγάθ' ἀνιάρ' εἶναι, ἆρ' οὐ τὰ τοιάδε λέγετε, οἷον τά τε γυμνάσια καὶ τὰς στρατείας καὶ τὰς ὑπὸ τῶν ἰατρῶν θεραπείας τὰς διὰ καύσεών τε καὶ τομῶν καὶ φαρμακειῶν καὶ λιμοκτονιῶν γιγνομένας, ὅτι ταῦτ' ἀγαθὰ μέν ἐστιν, ἀνιαρὰ δέ; φαῖεν ἄν; Συνεδόκει. Πότερον οὖν κατὰ* B *τόδ' ἀγάθ' αὐτὰ καλεῖτε, ὅτι ἐν τῷ παραχρῆμ' ὀδύνας τὰς ἐσχάτας παρέχει καὶ ἀλγηδόνας, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον ὑγίειαί τ' ἀπ' αὐτῶν γίγνονται καὶ εὐεξίαι τῶν σωμάτων καὶ τῶν πόλεων σωτηρίαι καὶ [ἄλλων] ἀρχαὶ καὶ πλοῦτοι; φαῖεν ἄν, ὡς ἐγᾦμαι. Συνεδόκει. Ταῦτα δ' ἀγάθ' ἐστὶ δι' ἄλλο τι, ἢ ὅτι εἰς ἡδονὰς ἀποτελευτᾷ καὶ λυπῶν ἀπαλλαγάς τε καὶ ἀποτροπάς; ἢ ἔχετέ τι ἄλλο τέλος λέγειν, εἰς ὃ ἀποβλέψαντες αὐτ' ἀγαθὰ καλεῖτε, [ἀλλ' ἢ ἡδονάς τε* C *καὶ λύπας]; οὐκ ἂν φαῖεν, ὡς ἐγᾦμαι. Οὐδ' ἐμοὶ δοκεῖ, ἔφη ὁ Πρωταγόρας. Οὔκουν τὴν μὲν ἡδονὴν διώκεθ' ὡς ἀγαθὸν ὄν, τὴν δὲ λύπην φεύγεθ' ὡς κακόν; Συνεδόκει. Τοῦτ' ἄρ' ἡγεῖσθ' εἶναι κακόν, [τὴν λύπην,] καὶ ἀγαθὸν τὴν ἡδονήν, ἐπεὶ καὶ αὐτὸ τὸ χαίρειν τότε λέγετε κακὸν εἶναι, ὅταν μειζόνων ἡδονῶν ἀποστερῇ ἢ ὅσας αὐτ' ἔχει, ἢ λύπας μείζους παρασκευάζῃ τῶν ἐν αὐτῷ ἡδονῶν· ἐπεὶ εἰ κατ'* D *ἄλλο τι αὐτὸ τὸ χαίρειν κακὸν καλεῖτε καὶ εἰς ἄλλο τι τέλος ἀποβλέψαντες, ἔχοιτ' ἂν καὶ ἡμῖν εἰπεῖν· ἀλλ' οὐχ ἕξετε. Οὐδ' ἐμοὶ δοκοῦσιν, ἔφη ὁ Πρωταγόρας. Ἄλλο τι οὖν πάλιν καὶ περὶ αὐτοῦ τοῦ λυπεῖσθαι αὐτὸς τρόπος; τότε καλεῖτ' αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ὅταν ἢ μείζους λύπας τῶν ἐν*

---

2. *ποιοῦντα — ποιεῖ* delevi L. Rh. p. 43. | 17. *ἄλλων* del. vel in *ἄλλαι* mut. Heind. | 18. *δὲ* BT: *δὴ* Sauppe. | 21. *ἀλλ' — λύπας* del. Hir. | 25. seclusi *τὴν λύπην*. An servandum omissis virgulis, ut *τοῦτο* sit *ideo*?

αὐτῷ οὐσῶν ἀπαλλάττῃ ἢ μείζους ἡδονὰς τῶν λυπῶν παρασκευάζῃ; ἐπεὶ εἰ πρός ἄλλο τι τέλος ἀποβλέπετε, ὅταν καλῆτε E αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ἢ πρὸς ὃ ἐγὼ λέγω, ἔχεθ' ἡμῖν εἰπεῖν· ἀλλ' οὐχ ἕξετε. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Πρωταγόρας. Πάλιν τοίνυν, ἔφην ἐγώ, εἴ μ' ἀνέροισθε, ὦ ἄνθρωποι, τίνος οὖν δήποθ' ἕνεκα πολλὰ περὶ τούτου λέγεις καὶ πολλαχῇ; συγγιγνώσκετέ μοι, φαίην ἂν ἔγωγε. πρῶτον μὲν γὰρ οὐ ῥάδιον ἀποδεῖξαι, τί ἐστίν ποτε τοῦτο, ὃ ὑμεῖς καλεῖτε τῶν ἡδονῶν ἥττω εἶναι· ἔπειτ' ἐν τούτῳ εἰσὶν πᾶσαι αἱ 355 ἀποδείξεις. ἀλλ' ἔτι καὶ νῦν ἀναθέσθαι ἔξεστιν, εἴ πῃ ἔχετ' ἄλλο τι φάναι εἶναι τἀγαθὸν ἢ τὴν ἡδονήν, ἢ τὸ κακὸν ἄλλο τι ἢ τὴν ἀνίαν, ἢ ἀρκεῖ ὑμῖν τὸ ἡδέως καταβιῶναι τὸν βίον ἄνευ λυπῶν; εἰ δὲ ⟨μὴ⟩ ἀρκεῖ καὶ μὴ ἔχετε μηδὲν ἄλλο φάναι εἶναι ἀγαθὸν ἢ κακόν, ὃ μὴ εἰς ταῦτα τελευτᾷ, τὸ μετὰ τοῦτ' ἀκούετε. φημὶ γὰρ ὑμῖν τούτου οὕτως ἔχοντος γελοῖον τὸν λόγον γίγνεσθαι, ὅταν λέγητε, ὅτι πολλάκις γιγνώσκων τὰ κάκ' ἄνθρωπος, ὅτι κάκ' ἐστιν, ὅμως πράττει B αὐτά, ἐξὸν μὴ πράττειν, ὑπὸ τῶν ἡδονῶν ἀγόμενος καὶ ἐκπληττόμενος· καὶ αὖθις αὖ [λέγετε], ὅτι γίγνώσκων ἄνθρωπος τἀγαθὰ πράττειν οὐκ ἐθέλει διὰ τὰς παραχρῆμ' ἡδονάς, ὑπὸ τούτων ἡττώμενος.

XXXVII. Ὡς δὲ ταῦτα γελοῖ' ἐστιν, κατάδηλον ἔσται, ἐὰν μὴ πολλοῖς ὀνόμασι χρώμεθ' ἅμα, ἡδεῖ τε καὶ ἀνιαρῷ καὶ ἀγαθῷ καὶ κακῷ, ἀλλ' ἐπειδὴ δύ' ἐφάνη ταῦτα, δυοῖν καὶ ὀνόμασιν προσαγορεύωμεν αὐτά, πρῶτον μὲν ἀγαθῷ C ⟨τε⟩ καὶ κακῷ, ἔπειτ' αὖθις ἡδεῖ τε καὶ ἀνιαρῷ. θέμενοι δὴ οὕτω λέγωμεν, ὅτι γιγνώσκων ἄνθρωπος τὰ κάκ' ὅτι κάκ' ἐστιν, ὅμως αὐτὰ ποιεῖ. ἐὰν οὖν τις ἡμᾶς ἔρηται, διὰ τί, ἡττώμενος, φήσομεν· ὑπὸ τοῦ; ἐκεῖνος ἐρήσεται ἡμᾶς· ἡμῖν δ' ὑπὸ μὲν ἡδονῆς οὐκέτι ἔξεστιν εἰπεῖν· ἄλλο γάρ ὄνομα μετείληφεν ἀντὶ τῆς ἡδονῆς τἀγαθόν· ἐκείνῳ δὴ ἀποκρινώμεθα καὶ λέγωμεν, ὅτι ἡττώμενος — ὑπὸ τίνος; φήσει· τἀγαθοῦ, φήσομεν νὴ Δία. ἐὰν οὖν τύχῃ ὁ ἐρόμενος ἡμᾶς

---

13. μὴ add. Richards. | 19. ἐὰν λέγητε Zek. | 26. addidi τε. | 30. malim ἐξέσται.

ὑβριστὴς ὤν, γελάσεται καὶ ἐρεῖ· ἢ γελοῖον λέγετε πρᾶγμα,
εἰ πράττει τις κακά, γιγνώσκων ὅτι κάκ' ἐστιν, οὐ δέον D
αὐτὸν πράττειν, ἡττώμενος ὑπὸ τῶν ἀγαθῶν. ἆρα, φήσει,
οὐκ ἀξίων ὄντων νικᾶν ἐν ὑμῖν τῶν ἀγαθῶν τὰ κακά,
ἢ ἀξίων; φήσομεν δῆλον ὅτι ἀποκρινόμενοι, ὅτι οὐκ
ἀξίων ὄντων· οὐ γὰρ ἂν ἐξημάρτανεν ὅν φαμεν ἥττω
εἶναι τῶν ἡδονῶν. κατὰ τί δέ, φήσει ἴσως, ἀνάξι' ἐστὶν
τἀγαθὰ τῶν κακῶν ἢ τὰ κακὰ τῶν ἀγαθῶν; ἢ κατ' ἄλλο
τι ἢ ὅταν τὰ μὲν μείζω, τὰ δὲ σμικρότερ' ᾖ; ἢ πλείω, τὰ
δ' ἐλάττω [ᾖ]; οὐχ ἕξομεν εἰπεῖν ἄλλ' ἢ τοῦτο. δῆλον ἄρα, E
φήσει, ὅτι τὸ ἡττᾶσθαι τοῦτο λέγετε, ἀντ' ἐλαττόνων ἀγαθῶν
μείζω κακὰ λαμβάνειν. ταῦτα μὲν οὖν οὕτω. μεταλάβωμεν
δὴ τὠνόματα πάλιν τὸ ἡδύ τε καὶ τἀνιαρὸν ἐπὶ τοῖς αὐτοῖς
τούτοις, καὶ λέγωμεν ὅτι ἄνθρωπος πράττει, τότε μὲν ἐλέ-
γομεν τὰ κακά, νῦν δὲ λέγωμεν τἀνιαρά, γιγνώσκων, ὅτι
ἀνιάρ' ἐστίν, ἡττώμενος ὑπὸ τῶν ἡδέων, δῆλον ὅτι ἀναξίων
ὄντων νικᾶν. καὶ τίς ἄλλη δὴ ἀξία ἡδονῇ πρὸς λύπην ἐστίν, 356
ἀλλ' ἢ ὑπερβολὴ ἀλλήλων καὶ ἔλλειψις; ταῦτα δ' ἐστὶ μείζω
τε καὶ σμικρότερα γιγνόμεν' ἀλλήλων καὶ πλείω καὶ ἐλάττω
καὶ μᾶλλον καὶ ἧττον. εἰ γάρ τις λέγοι ὅτι ἀλλὰ πολὺ διαφέρει,
ὦ Σώκρατες, τὸ παραχρῆμ' ἡδὺ ⟨καὶ λυπηρὸν⟩ τοῦ εἰς τὸν
ὕστερον χρόνον καὶ ἡδέος καὶ λυπηροῦ, μῶν ἄλλῳ τῳ,
φαίην ἂν ἔγωγε, ἢ ἡδονῇ καὶ λύπῃ; οὐ γὰρ ἔσθ' ὅτῳ ἄλλῳ.
ἀλλ' ὥσπερ ἀγαθὸς ἱστάναι ἄνθρωπος, συνθεὶς τὰ ἡδέα καὶ B
συνθεὶς τὰ λυπηρά, καὶ τὸ ἐγγὺς καὶ τὸ πόρρω στήσας ἐν
τῷ ζυγῷ εἰπὲ πότερα πλείω ἐστίν. ἐὰν μὲν γὰρ ἡδέα πρὸς
ἡδέα ἱστῇς, τὰ μείζω ἀεὶ καὶ πλείω ληπτέα· ἐὰν δὲ λυπηρὰ
πρὸς λυπηρά, τὰ ἐλάττω καὶ σμικρότερα· ἐὰν δ' ἡδέα πρὸς
λυπηρά, ἐὰν μὲν τἀνιάρ' ὑπερβάλληται ὑπὸ τῶν ἡδέων, ἐάν
τε τὰ ἐγγὺς ὑπὸ τῶν πόρρω ἐάν τε τὰ πόρρω ὑπὸ τῶν
ἐγγύς, ταύτην τὴν πρᾶξιν πρακτέον ἐν ᾗ ἂν ταῦτ' ἐνῇ· ἐὰν C
δὲ τὰ ἡδέ' ὑπὸ τῶν ἀνιαρῶν, οὐ πρακτέα· μή πῃ ἄλλῃ
ἔχει, φαίην ἄν, ταῦτα, ὦ ἄνθρωποι; οἶδ' ὅτι οὐκ ἂν ἔχοιεν

---

10. *ᾖ* del. Hir. | 13. *τἀνιαρὸν* vH.] *ἀνιαρόν.* | 21. *καὶ λυπηρὸν* add. v. Heusde.

ἄλλως λέγειν. Συνεδόκει κἀκείνῳ. Ὅτε δὴ τοῦθ' οὕτως ἔχει, τόδε μοι ἀποκρίνασθε, φήσω. φαίνεται ὑμῖν τῇ ὄψει ταὐτὰ μεγέθη ἐγγύθεν μὲν μείζω, πόρρωθεν δ' ἐλάττω· ἢ οὔ; Φήσουσι. Καὶ τὰ παχέα καὶ τὰ πόλλ' ὡσαύτως; καὶ αἱ φωναὶ ⟨αἱ⟩ ἴσαι ἐγγύθεν μὲν μείζους, πόρρωθεν D *δὲ σμικρότεραι; Φαῖεν ἄν. Εἰ οὖν ἐν τούτῳ ἡμῖν ἦν τὸ εὖ πράττειν, ἐν τῷ τὰ μὲν μεγάλα μήκη καὶ πράττειν καὶ λαμβάνειν, τὰ δὲ σμικρὰ καὶ φεύγειν καὶ μὴ πράττειν, τίς ἂν ἡμῖν σωτηρία ἐφάνη τοῦ βίου; ἆρ' ἡ μετρητικὴ τέχνη ἢ ἡ τοῦ φαινομένου δύναμις; ἢ αὕτη μὲν ἡμᾶς ἐπλάνα καὶ ἐποίει ἄνω τε καὶ κάτω πολλάκις μεταλαμβάνειν ταὐτὰ καὶ μεταμέλειν καὶ ἐν ταῖς πράξεσιν καὶ ἐν ταῖς αἱρέσεσιν τῶν μεγάλων τε καὶ σμικρῶν, ἡ δὲ μετρητικὴ ἄκυρον μὲν ἂν* E *ἐποίησε τοῦτο τὸ φάντασμα, δηλώσασα δὲ τἀληθὲς ἡσυχίαν ἂν ἐποίησεν ἔχειν τὴν ψυχὴν μένουσαν ἐπὶ τῷ ἀληθεῖ καὶ ἔσωσεν ἂν τὸν βίον; ἆρ' ἂν ὁμολογοῖεν ἄνθρωποι πρὸς ταῦθ' ἡμᾶς τὴν μετρητικὴν σῴζειν ἂν τέχνην, ἢ ἄλλην; Τὴν μετρητικήν, ὡμολόγει. Τί δ', εἰ ἐν τῇ τοῦ περιττοῦ καὶ ἀρτίου αἱρέσει ἡμῖν ἦν ἡ σωτηρία τοῦ βίου, ὁπότε τὸ πλέον ὀρθῶς ἔδει ἑλέσθαι καὶ ὁπότε τοὔλαττον, ἢ αὐτὸ πρὸς ἑαυτὸ ἢ θἄτερον πρὸς θἄτερον, εἴτ' ἐγγὺς εἴτε πόρρω εἴη,* 357 *τί ἂν ἔσῳζεν ἡμῖν τὸν βίον; ἆρ' ἂν οὐκ ἐπιστήμη; καὶ ἆρ' ἂν οὐ μετρητική τις, ἐπειδήπερ ὑπερβολῆς τε καὶ ἐνδείας ἐστὶν ἡ τέχνη; ἐπειδὴ δὲ περιττοῦ τε καὶ ἀρτίου, ἆρ' ἄλλη τις ἢ ἀριθμητική; ὁμολογοῖεν ἂν ἡμῖν ἄνθρωποι, ἢ οὔ; Ἐδόκουν ἂν καὶ τῷ Πρωταγόρᾳ ὁμολογεῖν. Εἶεν, ὦ ἄνθρωποι· ἐπειδὴ δ' ἡδονῆς τε καὶ λύπης ἐν ὀρθῇ τῇ αἱρέσει ἐφάνη ἡμῖν ἡ σωτηρία τοῦ βίου οὖσα, τοῦ τε πλείονος καὶ* B *ἐλάττονος καὶ μείζονος καὶ σμικροτέρου καὶ πορρωτέρω καὶ ἐγγυτέρω, ἆρα πρῶτον μὲν οὐ μετρητικὴ φαίνεται, ὑπερβολῆς τε καὶ ἐνδείας οὖσα καὶ ἰσότητος πρὸς ἀλλήλας σκέψις; Ἀλλ' ἀνάγκη. Ἐπεὶ δὲ μετρητική, ἀνάγκη δήπου τέχνη καὶ ἐπιστήμη. Συμφήσουσιν. Ἥτις μὲν τοίνυν τέχνη καὶ ἐπιστήμη*

---

4. *Καὶ — ὡσαύτως*, scil. *ἐγγύθεν μὲν παχύτερα καὶ πλείω, πόρρωθεν δὲ λεπτότερα καὶ ὀλιγώτερα φαίνεται.* | 22. *καὶ* del. Zek.

ἐστὶν αὕτη, εἰσαῦθις σκεψόμεθα· ὅτι δ' ἐπιστήμη ἐστίν,
τοσοῦτον ἐξαρκεῖ πρὸς τὴν ἀπόδειξιν, ἣν ἐμὲ δεῖ καὶ Πρω-
ταγόραν ἀποδεῖξαι περὶ ὧν ἤρεσθ' ἡμᾶς. ἤρεσθε δέ, εἰ
μέμνησθε, ἡνίχ' ἡμεῖς ἀλλήλοις ὡμολογοῦμεν ἐπιστήμης C
μηδὲν εἶναι κρεῖττον, ἀλλὰ τοῦτ' ἀεὶ κρατεῖν, ὅπου ἂν ἐνῇ,
καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἁπάντων· ὑμεῖς δὲ δὴ ἔφατε
τὴν ἡδονὴν πολλάκις κρατεῖν καὶ τοῦ εἰδότος ἀνθρώπου,
ἐπειδὴ δ' ὑμῖν οὐχ ὡμολογοῦμεν, μετὰ τοῦτ' ἤρεσθ' ἡμᾶς·
ὦ Πρωταγόρα τε καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημ'
ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστὶν καὶ τί ὑμεῖς αὐτό φατ'
εἶναι; εἴπατ' ἡμῖν. εἰ μὲν οὖν τότ' εὐθὺς ὑμῖν εἴπομεν ὅτι D
ἀμαθία, κατεγελᾶτ' ἂν ἡμῶν· νῦν δ' ἐὰν ἡμῶν καταγελᾶτε,
καὶ ὑμῶν αὐτῶν καταγελάσεσθε. καὶ γὰρ ὑμεῖς ὡμολογήκατ'
ἐπιστήμης ἐνδείᾳ ἐξαμαρτάνειν περὶ τὴν τῶν ἡδονῶν αἵρεσιν
καὶ λυπῶν τοὺς ἐξαμαρτάνοντας· ταῦτα δ' ἐστιν ἀγαθά τε
καὶ κακά· καὶ οὐ μόνον ἐπιστήμης, ἀλλὰ καὶ ἧς τὸ πρόσθεν
ἔτι ὡμολογήκατε [ὅτι] μετρητικῆς· ἡ δ' ἐξαμαρτανομένη E
πρᾶξις ἄνευ ἐπιστήμης ἴστε που καὶ αὐτοὶ ὅτι ἀμαθίᾳ πράτ-
τεται. ὥστε τοῦτ' ἐστὶν τὸ ἡδονῆς ἥττω εἶναι, ἀμαθία ἡ
μεγίστη· ἧς Πρωταγόρας ὅδε φησὶν ἰατρὸς εἶναι καὶ Πρό-
δικος καὶ Ἱππίας· ὑμεῖς δὲ διὰ τὸ οἴεσθαι ἄλλο τι ἢ ἀμα-
θίαν εἶναι οὔτ' ⟨ἦτ'⟩ αὐτοὶ οὔτε τοὺς ὑμετέρους παῖδας παρὰ
τοὺς τούτων διδασκάλους τούσδε [τοὺς σοφιστὰς] πέμπετε,
ὡς οὐ διδακτοῦ ὄντος, ἀλλὰ κηδόμενοι τἀργυρίου καὶ οὐ
διδόντες τούτοις κακῶς πράττετε καὶ ἰδίᾳ καὶ δημοσίᾳ.

XXXVIII. Ταῦτα μὲν τοῖς πολλοῖς ἀποκεκριμένοι ἂν
ἦμεν· ὑμᾶς δὲ δὴ μετὰ Πρωταγόρου ἐρωτῶ, ⟨ὦ⟩ Ἱππία 358
τε καὶ Πρόδικε — κοινὸς γὰρ δὴ ἔστω ὑμῖν ὁ λόγος —
πότερον δοκῶ ὑμῖν ἀληθῆ λέγειν ἢ ψεύδεσθαι. Ὑπερφυῶς
ἐδόκει ἅπασιν ⟨ὡς⟩ ἀληθῆ εἶναι τὰ εἰρημένα. Ὁμολογεῖτ'
ἄρα, ἦν δ' ἐγώ, τὸ μὲν ἡδὺ ἀγαθὸν εἶναι, τὸ δ' ἀνιαρὸν
κακόν. τὴν δὲ Προδίκου τοῦδε διαίρεσιν τῶν ὀνομάτων
παραιτοῦμαι· εἴτε γὰρ ἡδὺ εἴτε τερπνὸν λέγεις εἴτε χαρτὸν,

---

16. ἧς τὸ BT, codex A Stobaei, probavit deleto ὅτι Hir.] εἰς τὸ apogr. Sch. | 22. ἦτε add. Adam. | 23. τοὺς σοφιστὰς del. Nab. | 30. addidi ὡς.

B εἴθ' ὁπόθεν καὶ ὅπως χαίρεις τὰ ποιαῦτ' ὀνομάζων, ὦ βέλ-
τιστε [Πρόδικε], τοῦτό μοι πρὸς ὃ βούλομαι ἀπόκριναι.
Γελάσας οὖν ὁ Πρόδικος συνωμολόγησε, καὶ οἱ ἄλλοι. Τί
δὲ δή, ὦ ἄνδρες, ἔφην ἐγώ, τὸ τοιόνδε; αἱ ⟨ἄγουσαι⟩ ἐπὶ
τούτου πράξεις ἅπασαι, ἐπὶ τοῦ ἀλύπως ζῆν καὶ ἡδέως,
ἆρ' οὐ καλαί [καὶ ὠφέλιμοι]; καὶ τὸ καλὸν ἔργον ἀγαθόν
τε καὶ ὠφέλιμον; Συνεδόκει. Εἰ ἄρα, ἔφην ἐγώ, τὸ ἡδὺ
ἀγαθόν ἐστιν, οὐδεὶς οὔτ' εἰδὼς οὔτ' οἰόμενος ἄλλα βελτίω
C εἶναι, ἢ ἃ ποιεῖ, καὶ δυνατά, ἔπειτα ποιεῖ ταῦτα, ἐξὸν τὰ
βελτίω· οὐδὲ τὸ ἥττω εἶναι αὑτοῦ ἄλλο τι τοῦτ' ἐστὶν ἢ
ἀμαθία, οὐδὲ κρείττω ἑαυτοῦ ἄλλο τι ἢ σοφία. Συνεδόκει
πᾶσιν. Τί δὲ δή; ἀμαθίαν ἄρα τὸ τοιόνδε λέγετε, τὸ ψευδῆ
ἔχειν δόξαν καὶ ἐψεῦσθαι περὶ τῶν πραγμάτων τῶν πολλοῦ
ἀξίων; Καὶ τοῦτο πᾶσι συνεδόκει. Ἄλλο τι οὖν, ἔφην ἐγώ,
ἐπί γε τὰ κάκ' οὐδεὶς ἑκὼν ἔρχεται οὐδ' ἐφ' ἃ οἴεται κάκ'
D εἶναι, οὐδ' ἔστι τοῦτο, ὡς ἔοικεν, ἐν ἀνθρώπου φύσει ἐφ' ἃ
οἴεται κάκ' εἶναι ἐθέλειν ἰέναι ἀντὶ τῶν ἀγαθῶν· ὅταν τ'
ἀναγκασθῇ δυοῖν κακοῖν θάτερον αἱρεῖσθαι, οὐδεὶς τὸ μεῖζον
αἱρήσεται ἐξὸν τὸ ἔλαττον. Ἅπαντα ταῦτα συνεδόκει ἅπασιν
ἡμῖν. Τί οὖν; ἔφην ἐγώ, καλεῖτέ ⟨τι⟩ δέος καὶ φόβον; ἆρ'
ὅπερ καὶ ἐγώ; πρὸς σὲ λέγω, ὦ Πρόδικε. προσδοκίαν τινὰ
λέγω κακοῦ τοῦτο, εἴτε φόβον εἴτε δέος καλεῖτε. Ἐδόκει
Πρωταγόρᾳ μὲν καὶ Ἱππίᾳ δέος τε καὶ φόβος εἶναι τοῦτο,
E Προδίκῳ δὲ δέος ⟨μὲν⟩ φόβος δ' οὔ. Ἀλλ' οὐδέν, ἔφην
ἐγώ, ⟨ὦ⟩ Πρόδικε, διαφέρει· ἀλλὰ τόδε. εἰ ἀληθῆ τἄμ-
προσθέν ἐστιν, ἆρά τις ἀνθρώπων ἐθελήσει ἐπὶ ταῦτ' ἰέναι
ἃ δέδοικεν, ἐξὸν ἐφ' ἃ μή; ἢ ἀδύνατον ἐκ τῶν ὡμολογη-
μένων; ἃ γὰρ δέδοικεν, ὡμολόγηται ἡγεῖσθαι κάκ' εἶναι·
ἃ δ' ἡγεῖται κακά, οὐδένα οὔτ' ἰέναι ἐπὶ ταῦτ' οὔτε λαμ-
359 βάνειν ἑκόντα. Ἐδόκει καὶ ταῦτα πᾶσιν.

XXXIX. Οὕτω δὴ τούτων ὑποκειμένων, ἦν δ' ἐγώ,

---

2. delevi nomen. | 4. ἄγουσαι add. Adam. | 9. καὶ ⟨ταῦτα⟩ δυνατά Zek. | 15. ἢ ante ἐπὶ add. Zek., hic et alibi non ferens ἄλλο τι, *utrum*, sine ea vocula, cui sententiae potius subscribam quam Hartmanianae eam particulam, longe plerisque locis lectam, nusquam in hac formula admittenti. | 20 sq. ἆρ' ὅπερ καὶ vH.] καὶ ἆρ' ὅπερ. | 24. μὲν add. Cobet.

⟨ὦ⟩ *Πρόδικέ τε καὶ Ἱππία, ἀπολογείσθω ἡμῖν, Πρωταγόρας
ὅδε, ἃ τὸ πρῶτον ἀπεκρίνατο, πῶς ὀρθῶς ἔχει, μὴ ἃ τὸ
πρῶτον παντάπασι· τότε μὲν γὰρ δὴ πέντ᾽ ὄντων μορίων
τῆς ἀρετῆς οὐδὲν ἔφη εἶναι θἄτερον οἷον θἄτερον, ἰδίαν δ᾽
αὐτοῦ ἕκαστον ἔχειν δύναμιν· ἀλλ᾽ οὐ ταῦτα λέγω, ἀλλ᾽ ἃ
τὸ ὕστερον εἶπεν. τὸ γὰρ ὕστερον ἔφη τὰ μὲν τέτταρ᾽ ἐπιει-
κῶς παραπλήσι᾽ ἀλλήλοις εἶναι, τὸ δ᾽ ἓν πάνυ πολὺ διαφέρει
τῶν ἄλλων, τὴν ἀνδρείαν, γνώσεσθαι δέ μ᾽ ἔφη τεκμηρίῳ* B
*τῷδε· εὑρήσεις γάρ, ὦ Σώκρατες, ἀνθρώπους ἀνοσιωτάτους
μὲν ὄντας καὶ ἀδικωτάτους καὶ ἀκολαστοτάτους καὶ ἀμα-
θεστάτους, ἀνδρειοτάτους δέ· ᾧ γνώσει ὅτι πολὺ διαφέρει
ἡ ἀνδρεία τῶν ἄλλων μορίων τῆς ἀρετῆς. καὶ ἐγὼ εὐθὺς
τότε πάνυ ἐθαύμασα τὴν ἀπόκρισιν, καὶ ἔτι μᾶλλον ἐπειδὴ
ταῦτα μεθ᾽ ὑμῶν διεξῆλθον. ἠρόμην δ᾽ οὖν τοῦτον, εἰ τοὺς
ἀνδρείους λέγοι θαρραλέους· ὃ δέ, καὶ ἴτας γ᾽, ἔφη. μέ-* C
*μνησαι, ἦν δ᾽ ἐγώ, ὦ Πρωταγόρα, ταῦτ᾽ ἀποκρινόμενος;
Ὡμολόγει. Ἴθι δή, ἔφην ἐγώ, εἰφ᾽ ἡμῖν, ἐπὶ τί λέγεις ἴτας
εἶναι τοὺς ἀνδρείους; ἢ ἐφ᾽ ἅπερ οἱ δειλοί; Οὐκ ἔφη. Οὐκοῦν
ἐφ᾽ ἕτερα; Ναί, ἦ δ᾽ ὅς. Πότερον οἱ μὲν δειλοὶ ἐπὶ τὰ
θαρραλέ᾽ ἔρχονται, οἱ δ᾽ ἀνδρεῖοι ἐπὶ τὰ δεινά; Λέγεται
δή, ὦ Σώκρατες, οὕτως ὑπὸ τῶν ἀνθρώπων. Ἀληθῆ, ἔφην
ἐγώ, λέγεις· ἀλλ᾽ οὐ τοῦτ᾽ ἐρωτῶ, ἀλλὰ σὺ ἐπὶ τί φῄς ἴτας* D
*εἶναι τοὺς ἀνδρείους; ἆρ᾽ ἐπὶ τὰ δεινά, ἡγουμένους δείν᾽
εἶναι, ἢ ἐπὶ τὰ μή; Ἀλλὰ τοῦτό γ᾽, ἔφη, ἐν οἷς σὺ ἔλεγες
τοῖς λόγοις ἀπεδείχθη ἄρτι ὅτι ἀδύνατον. Καὶ τοῦτο, ἔφην
ἐγώ, ἀληθὲς λέγεις· ὥστ᾽, εἰ τοῦτ᾽ ὀρθῶς ἀπεδείχθη, ἐπὶ
μὲν ἃ δείν᾽ ἡγεῖται εἶναι οὐδεὶς ἔρχεται[, ἐπειδὴ τὸ ἥττω
εἶναι ἑαυτοῦ εὑρέθη ἀμαθία οὖσα]. Ὡμολόγει. Ἀλλὰ μὴν
ἐφ᾽ ἅ γε θαρροῦσιν πάντες αὖ ἔρχονται, καὶ δειλοὶ καὶ
ἀνδρεῖοι, καὶ ταύτῃ γ᾽ ἐπὶ ταὔτ᾽ ἔρχονται οἱ δειλοί τε καὶ
οἱ ἀνδρεῖοι. Ἀλλὰ μέντοι, ἔφη, ὦ Σώκρατες, πᾶν γε τοὐ-* E
*ναντίον ἐστὶν ἐφ᾽ ἃ οἵ τε δειλοὶ ἔρχονται καὶ οἱ ἀνδρεῖοι.
αὐτίκ᾽ εἰς τὸν πόλεμον οἱ μὲν ἐθέλουσιν ἰέναι, οἱ δ᾽ οὐκ
ἐθέλουσιν. Πότερον, ἔφην ἐγώ, καλὸν ὂν ἰέναι ἢ αἰσχρόν;*

---

2. *πρῶτον*] male *ὕστερον* Zek. | 27 sq. *ἐπειδὴ* — *οὖσα* delevit Ast.

Καλόν, ἔφη. Οὔκουν εἴπερ καλόν, καὶ ἀγαθὸν ὡμολογήσαμεν ἐν τοῖς ἔμπροσθεν; τὰς γὰρ καλὰς πράξεις ἁπάσας ἀγαθὰς ὡμολογήσαμεν. Ἀληθῆ λέγεις, καὶ ἀεὶ ἔμοιγε δοκεῖ οὕτως.
360 *Ὀρθῶς γε, ἔφην ἐγώ. ἀλλὰ ποτέρους φῂς εἰς τὸν πόλεμον οὐκ ἐθέλειν ἰέναι, καλὸν ὂν καὶ ἀγαθόν; Τοὺς δειλούς, ἦ δ' ὅς. Οὔκουν, ἦν δ' ἐγώ, εἴπερ καλὸν καὶ ἀγαθόν, καὶ ἡδύ; Ὡμολόγηται γοῦν, ἔφη. Ἆρ' οὖν γιγνώσκοντες οἱ δειλοὶ οὐκ ἐθέλουσιν ἰέναι ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον; Ἀλλὰ καὶ τοῦτ' ἐὰν ὁμολογῶμεν, ἔφη, διαφθεροῦμεν τὰς ἔμπροσθεν ὁμολογίας. Τί δ' ἀνδρεῖος; οὐκ ἐπὶ τὸ κάλλιόν*
B *τε καὶ ἄμεινον καὶ ἥδιον ἔρχεται; Ἀνάγκη, ἔφη, ὁμολογεῖν. Οὔκουν ὅλως οἱ ἀνδρεῖοι οὐκ αἰσχροὺς φόβους φοβοῦνται, ὅταν φοβῶνται, οὐδ' αἰσχρὰ θάρρη θαρροῦσιν; Ἀληθῆ, ἔφη. Εἰ δὲ μὴ αἰσχρά, ἆρ' οὐ καλά; Ὡμολόγει. Εἰ δὲ καλά, καὶ ἀγαθά; Ναί. Οὔκουν καὶ οἱ δειλοὶ [καὶ οἱ θρασεῖς καὶ οἱ μαινόμενοι] τοὐναντίον αἰσχρούς τε φόβους φοβοῦνται καὶ αἰσχρὰ θάρρη θαρροῦσιν; Ὡμολόγει. Θαρροῦσιν δὲ τὰ αἰσχρὰ καὶ κακὰ δι' ἄλλο τι ἢ δι' ἄγνοιαν καὶ ἀμαθίαν; Οὕτως*
C *ἔχει, ἔφη. Τί οὖν; τοῦτο δι' ὃ δειλοί εἰσιν οἱ δειλοί, δειλίαν ἢ ἀνδρείαν καλεῖς; Δειλίαν ἔγωγ', ἔφη. Δειλοὶ δ' οὐ διὰ τὴν τῶν δεινῶν ἀμαθίαν ἐφάνησαν ὄντες; Πάνυ γ', ἔφη. Διὰ ταύτην ἄρα τὴν ἀμαθίαν δειλοί εἰσιν; Ὡμολόγει. Δι' ὃ δὲ δειλοί εἰσιν, δειλία ὁμολογεῖται παρὰ σοῦ; Συνέφη. Οὔκουν ἡ τῶν δεινῶν καὶ μὴ δεινῶν ἀμαθία δειλία ἂν*
D *εἴη; Ἐπένευσεν. Ἀλλὰ μήν, ἦν δ' ἐγώ, ἐναντίον ἀνδρεία δειλίᾳ. Ἔφη. Οὔκουν ἡ τῶν δεινῶν καὶ μὴ δεινῶν σοφία ἐναντία τῇ τούτων ἀμαθίᾳ ἐστίν; Κἀνταῦθ' ἔτι ἐπένευσεν. Ἡ δὲ τούτων ἀμαθία δειλία; Πάνυ μόγις ἐνταῦθ' ἐπένευσεν. Ἡ σοφία ἄρα τῶν δεινῶν καὶ μὴ δεινῶν ἀνδρεία ἐστίν, ἐναντία οὖσα τῇ τούτων ἀμαθίᾳ; οὐκέτι ἐνταῦθ' οὔτ' ἐπινεῦσαι ἠθέλησεν ἐσίγα τε· καὶ ἐγὼ εἶπον· Τί δή, ὦ Πρωταγόρα, οὔτε σὺ φῂς ἃ ἐρωτῶ οὔτ' ἀπόφῃς; Αὐτός, ἔφη,*
E *πέρανον. Ἕν γ', ἔφην ἐγώ, μόνον ἐρόμενος ἔτι σέ, εἴ σοι*

---

15 sq. *καὶ — μαινόμενοι* del. Král, sola *καὶ οἱ θρασεῖς* Sch. cum Dobreo. | 30 sq. *οὔτ' — τε] οὐδ' — δέ* Rich. | 32. *οὔτε σὺ] σὺ οὔτε* Zek.

ὥσπερ τὸ πρῶτον ἔτι δοκοῦσιν εἶναί τινες ἄνθρωποι ἀμαθέστατοι μέν, ἀνδρειότατοι δέ. Φιλονικεῖν μοι, ἔφη, δοκεῖς, ὦ Σώκρατες, ⟨πρὸς⟩ τὸ ἔμ' εἶναι τὸν ἀποκρινόμενον· χαριοῦμαι οὖν σοι, καὶ λέξω ὅτι ἐκ τῶν ὡμολογημένων ἀδύνατόν μοι δοκεῖ εἶναι.

XL. Οὔτοι, ἦν δ' ἐγώ, ἄλλου ἕνεκ' ἐρωτῶ πάντα ταῦτα, ἢ σκέψασθαι βουλόμενος, πῶς ποτ' ἔχει τὰ περὶ τῆς ἀρετῆς
καὶ τί ποτ' ἐστὶν αὐτό[, ἡ ἀρετή]. οἶδα γὰρ ὅτι τούτου 361
φανεροῦ γενομένου μάλιστ' ἂν κατάδηλον γένοιτ' ἐκεῖνο, περὶ οὗ ἐγώ τε καὶ σὺ μακρὸν λόγον ἑκάτερος ἀπετείναμεν, ἐγὼ μὲν λέγων ὡς οὐ διδακτὸν ἀρετή, σὺ δ' ὡς διδακτόν. καί μοι δοκεῖ ἡμῶν ἡ ἄρτι ἔξοδος τῶν λόγων ὥσπερ ἄνθρωπος κατηγορεῖν τε καὶ καταγελᾶν, καὶ εἰ φωνὴν λάβοι, εἰπεῖν ἂν ὅτι ἄτοποί γ' ἐστέ, ὦ Σώκρατές τε καὶ Πρωταγόρα· σὺ μὲν λέγων ὅτι οὐ διδακτόν ἐστιν ἀρετὴ ἐν τοῖς
ἔμπροσθεν, νῦν σεαυτῷ τἀναντία σπεύδεις, ἐπιχειρῶν ἀπο- B
δεῖξαι ὡς πάντα χρήματ' ἐστὶν ἐπιστήμη, καὶ ἡ δικαιοσύνη καὶ ⟨ἡ⟩ σωφροσύνη καὶ ἡ ἀνδρεία, ᾧ τρόπῳ μάλιστ' ἂν διδακτὸν φανείη ἡ ἀρετή· εἰ μὲν γὰρ ἄλλο τι ἦν ἢ ἐπιστήμη [ἡ ἀρετή], ὥσπερ Πρωταγόρας ἐπεχείρει λέγειν, σαφῶς οὐκ ἂν ἦν διδακτόν· νῦν δ' εἰ φανήσεται ἐπιστήμη ὅλον, ὡς σὺ σπεύδεις, ὦ Σώκρατες, θαυμάσιον ἔσται μὴ διδακτὸν ὄν. Πρωταγόρας δ' αὖ διδακτὸν τόθ' ὑποθέμενος νῦν τοὐναν-
τίον ἔοικεν σπεύδοντι, ὀλίγου πάντα μᾶλλον φανῆναι αὐτ' C
ἢ ἐπιστήμην· καὶ οὕτως ἂν ἥκιστ' εἴη διδακτόν. ἐγὼ οὖν, ὦ Πρωταγόρα, πάντα ταῦτα καθορῶν ἄνω ⟨καὶ⟩ κάτω ταραττόμενα δεινῶς, πᾶσαν προθυμίαν ἔχω καταφανῆ αὐτὰ γενέσθαι, καὶ βουλοίμην ἂν ταῦτα διεξελθόντας ἡμᾶς [ἐξ]ελθεῖν καὶ ἐπὶ τὴν ἀρετὴν ὅ τι ἔστιν, καὶ πάλιν ἐπισκέψασθαι περὶ αὐτοῦ, εἴτε διδακτὸν εἴτε μὴ διδακτόν, μὴ πολλάκις ἡμᾶς ὁ Ἐπιμηθεὺς ἐκεῖνος καὶ ἐν τῇ σκέψει σφήλῃ ἐξαπα-
τήσας, ὥσπερ καὶ ἐν τῇ διανομῇ ἠμέλησεν ἡμῶν, ὡς φῂς D

---

3. addidi πρὸς ex Schanzii coniectura | 4. λέξω Rich.] λέγω. | 8. delevi ἡ ἀρετή. | 18. addidi ἡ. | 20. delevi ἡ ἀρετή. | 24. post μᾶλλον add. Zek. ὄν. | 26. καὶ add. Zek. | 28. ἐλθεῖν Rich.] ἐξελθεῖν. | 32. φῂς] ἔφησθα?

σύ. ἤρεσεν οὖν μοι καὶ ἐν τῷ μύθῳ ὁ Προμηθεὺς μᾶλλον τοῦ Ἐπιμηθέως· ᾧ χρώμενος ἐγὼ καὶ προμηθούμενος ὑπὲρ τοῦ βίου τοῦ ἐμαυτοῦ παντὸς πάντα ταῦτα πραγματεύομαι, καὶ εἰ σὺ ἐθέλοις, ὅπερ καὶ κατ' ἀρχὰς ἔλεγον, μετὰ σοῦ ἂν ἥδιστα ταῦτα συνδιασκοποίην. καὶ ὁ Πρωταγόρας, Ἐγὼ μέν, ἔφη, ὦ Σώκρατες, ἐπαινῶ σου τὴν προθυμίαν καὶ τὴν E *διέξοδον τῶν λόγων. καὶ γὰρ οὔτε τἆλλ' οἶμαι κακὸς εἶναι ἄνθρωπος, φθονερός θ' ἥκιστ' ἀνθρώπων, ἐπεὶ καὶ περὶ σοῦ πρὸς πολλοὺς δὴ εἴρηκα, ὅτι ὧν ἐντυγχάνω πολὺ μάλιστ' ἄγαμαι σέ, τῶν μέν⟨τοι⟩ τηλικούτων καὶ πάνυ· καὶ λέγω γ' ὅτι οὐκ ἂν θαυμάζοιμ' εἰ τῶν ἐλλογίμων γένοι' ἀνδρῶν ἐπὶ σοφίᾳ. καὶ περὶ τούτων δ' εἰσαῦθις, ὅταν βούλῃ, διέξιμεν·* 362 *νῦν δ' ὥρα ἤδη καὶ ἐπ' ἄλλο τι τρέπεσθαι. Ἀλλ', ἦν δ' ἐγώ, οὕτω χρὴ ποιεῖν, εἴ σοι δοκεῖ. καὶ γὰρ ἐμοί, ὅπερ ἔφην, ἰέναι πάλαι ὥρα, ἀλλὰ Καλλίᾳ τῷ καλῷ χαριζόμενος παρέμεινα.*

Ταῦτ' εἰπόντες καὶ ἀκούσαντες ἀπῆμεν.

---

8. *ἄνθρωπος* abesse malim. | 10. *μέν⟨τοι⟩* Zek. | 14. *ὅπερ* Schirlitz] *οἷπερ* Vid. 335 C. | 15. Fort. *ἰέναι ⟨ποι⟩* aut *ἀπιέναι*.

CORRIGENDA.

P. 157, 11. Revoco ποιεῖν, nam ὑπισχνεῖσθαι hic est *profiteri*, non *polliceri*.

P. 162, 28. In nota χάριν pro ἕνεκα Platonicum esse iniuria negavi.

P. 183, 30. Nihil opus articulo, nam Χίλων est *appositum*.

